Cod. f. 112 a. προσληφθεῖσα φύσις ἐστὶν, ὑπὸ τῆς ἡνωμένης | αὐτῇ καθ' ὑπόστασιν ἀληθῶς [35] κινουμένῃ θεότητος, καὶ τὴν συστατικὴν αὐτῆς ἀφαιρούμεθα κίνησιν, μηδ' αὐτὴν τὴν οὐσίαν [36] ὁμολογήσομεν, οὐκ ἀνθυπόστατον φανεῖσαν, τουτέστι καθ' ἑαυτὴν, ἀλλ' ἐν αὐτῷ τῷ κατ' ἀλήθειαν αὐτὴν οὐσιωθέντι θεῷ λόγῳ τὸ εἶναι λαβοῦσαν, ἴσην ἐπ' ἀμφοῖν τὴν αἰτίαν ἔχοντες τῆς παραιτήσεως, [37] ἢ καὶ τὴν κίνησιν τῇ φύσει συνομολογήσωμεν, ἧς χωρὶς οὐδὲ φύσις ἐστὶ, γινώσκοντες ὡς ἕτερος μὲν ὁ τοῦ εἶναι λόγος ἐστὶν, ἕτερος δὲ ὁ τοῦ πῶς εἶναι τρόπος, ὁ μὲν τὴν φύσιν, ὁ δὲ τὴν οἰκονομίαν πιστούμενος. Ὢν ἡ σύνοδος τὸ μέγα τῆς ὑπερφυοῦς Ἰησοῦ φυσιολογίας ποιησα-
Ed. Gal. p. 63. μένη μυστήριον σωζομένην ἔδειξεν ἐν ταὐτῷ τὴν διαφορὰν τῶν ἐνεργειῶν καὶ τὴν ἕνωσιν, τὴν μὲν ἀδιαιρέτως ἐν τῷ φυσικῷ θεωρουμένην λόγῳ τῶν ἡνωμένων, τὴν δὲ ἀσυγχύτως ἐν τῷ μοναδικῷ γνωριζομένην τρόπῳ τῶν γινομένων. Τί γὰρ καὶ τίς, ποῦ τε καὶ πῶς φύσις ἔσται συστατικῆς ἔρημος γενομένη δυνάμεως; Τὸ γὰρ καθόλου μηδὲ μίαν ἔχον δύναμιν [38] οὔτε ἔστιν, [39] οὔτε τί ἐστιν, οὔτε ἔστι τις αὐτοῦ παντελῶς θέσις, φησὶν ὁ πολὺς οὗτος διδάσκαλος. Εἰ δὲ τούτων λόγος οὐδεὶς, εὐσεβῶς ὁμολογεῖσθαι χρὴ τάς τε τοῦ Χριστοῦ φύσεις ἂν αὐτὸς ὑπόστασις ἦν, καὶ τὰς αὐτοῦ φυσικὰς ἐνεργείας, ὧν αὐτὸς ἕνωσις ἦν ἀληθὴς, κατ' ἄμφω τὰς φύσεις· εἴπερ ἑαυτῷ προσφυῶς, μοναδικῶς, ἤγουν ἑνοειδῶς, ἐνεργῶν, καὶ διὰ πάντων ἀχωρίστως τῇ θείᾳ δυνάμει συνεκφαίνων
Cod. f. 112 b. τῆς οἰκείας σαρκὸς τὴν ἐνέργειαν. | Πῶς γὰρ ἔσται φύσει θεὸς, καὶ φύσει πάλιν ἄνθρωπος ὁ αὐτὸς, οὐκ ἔχων [40] ἀνελλιπῶς

30. ἀφαντασιαστῶς ed. Gal. 31. τὴν cod. Gud.

Digitized by Google

et vere dictam, vel ut proprie loquar, ipse sine mutatione id ipsum re ipsa factus est quod natura erat pro nobis dispensationem, non tamen in phantasmate, adimplevit. Non igitur abolevit operationem, quae erat constitutiva ratio assumptae essentiae, quemadmodum nec ipsam sententiam sustulit magister cum diceret, ‚Super substantiam substantiatus est, et supra conditionem hominis ea quae hominis sunt operabatur', sed utrinque ostendit quandam modorum novitatem, salvis iisdem rationibus naturalibus, quibus ablatis nihil est id quod esse natum erat. Si vero dixerimus quod assumptae substantiae positionem itemque operationis eam constituentis ablationem contineat in se supereminens negatio, qua tandem ratione eandem, utrique aequaliter attributam, istius respectu existentiam, huius vero sublationem designare ostendemus? Si rursus, quandoque non est per se mobilis assumpta natura, sed movetur a deitate sibi per hypostasin vere unita, motum qui eam constituit auferimus, nec ipsam substantiam, sive essentiam, conservaverimus, ut quae non fuerit per se subsistens, sed in verbo deo vere ei consubstantiato suum esse obtineat, quia par est utrinque ratio ad postulandum, etiam motum cum natura confiteamur, sine qua ne stare quidem potest natura, illud tenentes, quod alia sit essendi simpliciter, alia autem hoc modo essendi ratio, quarum illi natura, huic dispensatio innititur. Harum consursus magnum illud Iesu supernaturalis physiologiae mysterium perficiens in eo ostendit conservari operationum distinctionem simul et unitionem, dum haec cernitur indivisim in naturali unitorum ratione, illa vero inconfusim dignoscitur in simplici operationum modo. Quae enim aut qualis, ubi aut quomodo natura erit constitutiva privata potentia? Nam quod omnino nullam habet potentiam, neque ipsum est, neque ipsius ulla omnino est positio, ut ait alibi magnus hic magister. Iam si haec nullo modo fieri possint, oportet pie confiteri cum naturas Christi, quarum ipse sit hypostasis, tum etiam naturales operationes, quarum vera ipse est unitio, secundum utramque naturam, si verum illud sit quod sibi ipsi congruenter, simpliciter et uniformiter operabatur, perque omnia simul et inseparabiliter demonstravit una cum divina virtute suae carnis operationem. Qui enim vere deus, et vere homo esse posset, si careret eo quod utramque naturam vere constituit? Porro quid, quaeso, aut quis esse existimabitur, si per naturales operationes suas non faciat fidem nullam se conver-

---

32. *ὑπερουσίαν* cod. Gud. 33. *ἐνείργει* ed. Gal. 34. *τὶ καθ'* ed. Gal. 35. *καὶ κινουμένῃ* ed. Gal. 36. *ὁμολογήσαμεν* ed. Gal. 37. *ἢ* om. ed. Gal. 38. *οὔτε ἔστιν* desideratur in ed. Gal. 39. *οὔτ' ἔτι ἐστὶν* ed. Gal. 40. *ἀνελλειπῶς* ed. Gal.

Digitized by Google

τὸ φύσει κατ' ἄμφω πεφυκός; Τί τε καὶ τίς ὑπάρχων γνωσθήσεται, μὴ πιστούμενος οἷς ἐνήργει φυσικῶς ὅπερ ἐστὶ μὴ τρεπόμενον; πῶς δὲ[41] πιστώσεται καθ' ἓν τῶν ἐξ ὧν, ἐν οἷς τε καὶ ἅπερ ἐστὶν ἀκίνητος μένων καὶ ἀνενέργητος; Ὑπὲρ οὐσίαν οὖν οὐσιώθη, γενέσεως ἀρχὴν καὶ γεννήσεως ἑτέραν τῇ φύσει δημιουργήσας, συλληφθεὶς μὲν σπορᾷ τῆς οἰκείας σαρκὸς, τεχθεὶς δὲ σφραγὶς τῆς παρθενίας τῇ τεκούσῃ γενόμενος, καὶ τῶν ἀμίκτων ἐπ'[42] αὐτῆς τὴν ἀντίφασιν δείξας συναληθεύουσαν. Ἡ γὰρ αὐτὴ καὶ παρθένος καὶ μήτηρ, καινοτομοῦσα τὴν φύσιν τῇ συνόδῳ τῶν ἀντικειμένων, εἴπερ τῶν ἀντικειμένων παρθενία καὶ γέννησις, ὧν ἐκ φύσεως οὐκ
Ed. Gal. p. 64. ἄν τις ἐπινοηθήσεται σύμβασις. Διὸ καὶ θεοτόκος ἀληθῶς ἡ παρθένος, ὑπερφυῶς δίκην σπορᾶς συλλαβοῦσά τε καὶ τεκοῦσα τὸν ὑπερούσιον λόγον· ἐπείπερ τοῦ σπαρέντος τε καὶ συλληφθέντος κυρίως ἡ τίκτουσα μήτηρ. Καὶ ὑπὲρ ἄνθρωπον[43] ἐνήργει τὰ ἀνθρώπου, κατ' ἄκραν ἕνωσιν δίχα τροπῆς συμφυεῖσαν δεικνὺς τῇ θείκῃ δυνάμει τὴν ἀνθρωπίνην ἐνέργειαν· ἐπειδὴ καὶ ἡ φύσις ἀσυγχύτως ἑνωθεῖσα τῇ φύσει δι' ὅλου περιεχώρηκε, μηδὲν ἀπόλυτον παντάπασιν ἔχουσα, καὶ τῆς ἡνωμένης αὐτῇ καθ' ὑπόστασιν κεχωρισμένον θεότητος. Ὑπὲρ ἡμᾶς γὰρ ἀληθῶς τὴν ἡμῶν οὐσίαν οὐσιωθεὶς ὁ ὑπερούσιος λόγος συνῆψε τῇ καταφάσει τῆς φύσεως καὶ τῶν
Cod. f. 113 a. αὐτῆς φυσικῶν | καθ' ὑπεροχὴν τὴν ἀπόφασιν, καὶ γέγονεν ἄνθρωπος, τὸν ὑπὲρ φύσιν τοῦ πῶς εἶναι τρόπον ἔχων συνημμένον τῷ τοῦ εἶναι λόγῳ τῆς φύσεως, ἵνα καὶ τὴν φύσιν πιστώσηται τῇ τῶν τρόπων καινότητι, μὴ δεχομένην κατὰ τὸν λόγον ἀλλοίωσιν, καὶ δείξῃ τὴν ὑπεράπειρον δύναμιν ὡςαύτως κἂν τῇ τῶν ἐναντίων γενέσει γνωριζομένην· ἀμέλει[44] ἐξουσίᾳ γνώμης ἔργα πεποιηκὼς τὰ πάθη τῆς φύσεως, ἀλλ' οὐχ ὡς ἡμεῖς ἀνάγκης ἀποτελέσματα φυσικῆς, ἔμπαλιν[45] ἢ ἐφ' ἡμῶν ἔχει, τὸ καθ' ἡμᾶς φύσει παθητὸν διεξῆλθεν, ἐξουσίᾳ[46] γνώμῃ κινητὸν δείξας ἐφ' ἑαυτοῦ τὸ πεφυκὸς ἐφ' ἡμῶν εἶναι γνώμης κινητικόν. Ὅπερ τοῖς ἐξῆς σαφηνίζων φησὶν ὁ διδάσκαλος. „Τί ἄν τις τὰ λοιπὰ πάμπολλα ὄντα διέλθοι; δι' ὧν ὁ θεῖος ὁρῶν ὑπὲρ νοῦν γνώσεται καὶ τὰ ἐπὶ τῇ φιλανθρωπίᾳ τοῦ Ἰησοῦ καταφασκόμενα, δύναμιν ὑπεροχικῆς
Ed. Gal. p. 65. ἀποφάσεως ἔχοντα.“ Τὰ γὰρ τῆς φύσεως πάντα μετὰ τῆς φύσεως κατὰ σύλληψιν ἄῤῥητον ὑποδὺς ὁ ὑπερούσιος λόγος

41. πιστώσηται ed. Gal. 42. αὐτοῖς ed. Gal.

Digitized by Google

sionem subiisse? quomodo etiam fidem faciet se unum esse ex duabus naturis, si talis cum sit, et ex talibus, nihilominus et sine motu et sine operatione permaneat? Super substantiam igitur substantiatus est, fabricans in natura novum generationis et nativitatis principium? Concipiebatur et suae carnis ipse rudimentum fuit; nascebatur et sigillum parenti factus est, ostenditque ea simul vera esse quae propter contradictionem inter se nullo modo concordare posse videbantur. Ea ipsa et virgo fuit et mater; innovata erat natura, ut opposita inter se concordarent; nam opposita sunt virginitas et partus, in natura horum nullus potest intelligi concursus. Quapropter etiam deipara vere fuit virgo; supernaturali modo ad seminis ritum concepit et peperit superessentiale verbum: nam quae peperit haud dubie mater est eius qui in ea satus fuit et conceptus.

Et supra conditionem hominis ea quae sunt hominis operabatur, per exactissimam unitionem, sine omni conversione, per divinam potentiam ostendens humanam operationem. Quandoquidem et natura humana inconfusim unita naturae divinae totam circum incessit, solutum nihil aut divisum possidens a deitate, quae ei per hypostasin unita fuit. Nam pro nobis vere nostramque substantiam suscipiens verbum supersubstantiale connexuit ea quae de natura affirmantur, et ea quae per eminentiam naturalium eiusdem potentiarum continent negationem. Factus est homo, sed modum essendi habuit, qui naturam supereminebat, connexum cum essendi modum secundum naturam; ut et naturam, ex novitate istorum modorum, non admisisse in essentia alterationem ostenderet, simulque super immensam potentiam in contrariorum effectione conspicuam daret. Quippe quod naturae infirmitates suae fecit indicia potestatis, non necessitatis naturalis, ut sunt quae nos gerimus, effecta, secusque quam se habet in nobis naturae passibilitatem administravit. Quod enim in nobis nostram voluntatem solet commovere, ille in se non nisi ex suo arbitrio moveri docuit. Quid aliud dicit magister in sequentibus? ubi hoc ipsum explanat: ‚Quid vero cetera quae valde multa quis commemoret? in quae si divinus quispiam intueatur, supra intellectum intelliget etiam ea quae de Iesu humanitate affirmantur virtutem excellentis negationis continere.‘ Supersubstantiale enim verbum omnia quae ad naturam pertinent una cum natura in conceptione illa ineffabili suscipiens, nihil habuit humanum de se affirmatum, naturali ratione, quin idem erat divinum, modoque

---

43. ἐνείργει ed. Gal., pro more. 44. ἐξουσίας ἔργα ed. Gal. Unde corrigenda eius versio. 45. ἡ cod. Gud. 46. γνώμῃ non extat in ed. Gal.

Digitized by Google

οὐδὲν εἶχεν ἀνθρώπινον φυσικῷ λόγῳ καταφασκόμενον, ὃ μὴ καὶ θεῖον ἦν, τρόπῳ τῷ ὑπὲρ φύσιν ἀποφασκόμενον. Ὧν ὑπὲρ νοῦν ὡς ἀναπόδειπτος ὑπῆρχεν ἡ γνῶσις, μόνην κατάληψιν ἔχουσα τὴν πίστιν τῶν γνησίως τὸ τοῦ Χριστοῦ σεβαζομένων μυστήριον. Οὗτινος ὥςπερ συνοπτικὸν τὸν λόγον ἀποδιδούς φησι, Καὶ γὰρ, ἵνα συνελόντες εἴπωμεν, οὐδὲ ἄνθρωπος ἦν, ὅτι φύσει τῆς κατὰ φύσιν ἀνάγκης [47] ἄνετος
Cod. f. 112 b. ἦν, [48] τῷ καθ' ἡμᾶς | οὐχ ὑπαχθεὶς θεσμῷ τῆς γενέσεως. „Οὐχ ὡς μὴ ἄνθρωπος“, ὅτι κατ' οὐσίαν ὅλην ἀληθῶς ἄνθρωπος ἦν, φύσει τῶν καθ' ἡμᾶς φυσικῶν ἀνεχόμενος, „ἀλλ' ὡς ἐξ ἀνθρώπων·“ ἐπείπερ ἡμῖν ὁμοούσιος ἦν, ὅπερ ἡμεῖς κατὰ φύσιν ἄνθρωπος ὤν, „ἀνθρώπων ἐπέκεινα“, καινότητι τρόπων, ὅπερ οὐχ ἡμεῖς, τὴν φύσιν περιγράφων. „Καὶ ὑπὲρ ἄνθρωπον ἀληθῶς ἄνθρωπος γεγονὼς“, τοὺς ὑπὲρ φύσιν τρόπους καὶ τοὺς κατὰ φύσιν λόγους ἀλυμάντως [49] ἔχων ἀλλήλοις συνημμένους, ὧν ἀμήχανος ἡ σύμβασις ἦν, αὐτὸς ᾧ μηδὲν ἐστιν ἀμήχανον ἀληθὴς γενόμενος ἕνωσις μηδετέρῳ τὸ παράπαν ὧν ὑπόστασις ἦν θατέρου κεχωρισμένως ἐνεργῶν, δι' ἑκατέρου δὲ μᾶλλον πιστούμενος θάτερον· εἴπερ ἄμφω κατ' ἀλήθειαν ὢν ὡς μὲν θεὸς τῆς ἰδίας ἦν κινητικὸς ἀνθρωπότητος, ὡς ἄνθρωπος δὲ τῆς οἰκείας ἐκφαντικὸς ὑπῆρχε θεότητος· θεϊκῶς μὲν, ἵν' οὕτως εἴπω, τὸ πάσχειν ἔχων, ἑκούσιον γὰρ, ἐπεὶ μὴ ψιλὸς ἄνθρωπος ἦν, ἀνθρωπικῶς δὲ
Ed. Gal. p. 66. τὸ θαυματουργεῖν, διὰ σαρκὸς γὰρ, ἐπεὶ μὴ γυμνὸς ὑπῆρχε θεός. Ὡς εἶναι τὰ μὲν πάθη θαυμαστὰ τῇ κατὰ φύσιν θεϊκῇ δυνάμει τοῦ πάσχοντος καινιζόμενα, τὰ δὲ θαύματα παθητὰ, τῇ κατὰ φύσιν τοῦ αὐτὰ θαυματουργοῦντος παθητικῇ δυνάμει συμπληρούμενα τῆς σαρκός. Ὅπερ εἰδὼς ὁ διδάσκαλός φησι, „Καὶ τὸ λοιπὸν οὐ κατὰ θεὸν τὰ θεῖα δράσας“, ὅτι μὴ μόνον θεϊκῶς κεχωρισμένα σαρκὸς, οὐ γὰρ ὑπερούσιος μόνον, οὔτε τὰ ἀνθρώπινα κατὰ ἄνθρωπον, ὅτι μὴ μόνον σαρκικῶς κεχωρισμένα θεότητος, οὐ γὰρ ἄνθρωπος μόνον, |
Cod. f. 114 a. „ἀλλ' ἀνδρωθέντος θεοῦ καινήν τινα τὴν θεανδρικὴν ἐνέργειαν ἡμῖν πεπολιτευμένος.“ Καὶ γὰρ προσλήψει σαρκὸς νοερῶς [50] ἐψυχωμένης ἀληθῶς ἄνθρωπος γεγονὼς, ὁ διαφερόντως φιλάνθρωπος, τὴν δὲ θεϊκὴν ἐνέργειαν καθ' ἕνωσιν ἄῤῥητον τῇ [51] συμφυΐᾳ τῆς σαρκικῆς ἐσχηκὼς ἀνδρωθεῖσαν, τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν πεπλήρωκε· θεανδρικῶς, ἤγουν θεϊκῶς

47. ἀναίτιος ed. Gal. 48. πῷ ed. Gal., quod mendum est.

Digitized by Google

supra naturam negari potuit Horum omnium cognitio, utpote supra intellectum, erat etiam supra demonstrationem, solaque est perceptibilis fide eorum qui Christi mysterium sincere venerantur. Huius mysterii rationem quandam contractam exhibet conspectui Dionysius cum dicit: ‚Nam ut summatim dicamus, ne homo quidem erat', quoniam ex natura sua omnis naturalis necessitatis expers erat, et supra legem nascendi cui nos subiicimur. ‚Non quod non esset homo', quoniam secundum totam essentiam vere homo erat, iisque omnibus obnoxius quae naturam nostram comitantur. ‚Sed quod natus more humano'; siquidem eiusdem nobiscum erat essentiae, et homo per naturam, per quam et nos. ‚Supra homines', modo novo, quod nos non facimus, naturam circumscribens. ‚Et supra hominem vere factus homo.' Modos enim supra naturam, et rationes secundum naturam invicem sine fraude connexuit. Horum concursus cum per se impossibilis esset, ille, cui nihil est impossibile, eos in se vere univit, neutram in partem omnino eorum quorum erat hypostasis ab alterutro in operando declinans, imo potius per alterutrum confirmans; siquidem utrumque vere est, et ut deus suam ipse movet humanitatem, quatenus autem homo, suam declarat deitatem. In natura divina, si sic loqui liceat, passus est, nam voluntarie passus est, et merus homo non fuit; in natura humana miracula patravit, nam in carne fuit, nec nudus extitit deus. Ita quidem passiones erant mirabiles et novi generis, propter potentiam divinam naturae eius qui passus est, et miracula erant inter passiones, quoniam patrata erant in passibili potentia carnis, eius qui ea mirifice secundum naturam operatus est. Quod intellexit magister cum diceret, ‚Postremo non qua deus divina gessit.' Non tantum ut deus, et seorsum a carne, neque enim tantum superessentialis erat: ‚neque humana ut homo'; non enim tantum ut caro, separatim a deitate, neque enim homo tantum: ‚sed deus factus homo novam quandam dei-virilem operationem nobiscum conversando exhibuit.' Assumptione enim carnis mente animaque praeditae vere homo factus est ille supra modum erga homines benignus, divinamque operationem uniens ineffabiliter humanae, per carnis coalitionem, pro nobis adimplevit dispensationem θεανδρικῶς, hoc est et tanquam deus et tanquam homo, divinaque et humana administravit, vel, ut clarius loquar, eius politia divina simul et humanas operationes exhibebat. Cum igitur divina et humana inter se dividi negabat sapiens magister, quando unionem affirmabat, non nescivit unita etiam inter se differre; unio

---

49. ἀλλήλοις ἔχων ed. Gal. 50. ἐμψυχωμένης ed. Gal. 51. συμφωνείᾳ ed. Gal.

Digitized by Google

ἅμα καὶ ἀνδρικῶς τά τε θεῖα καὶ τὰ ἀνθρώπινα δράσας, ἢ σαφέστερον εἰπεῖν, θεϊκὴν ἐν ταὐτῷ καὶ ἀνδρικὴν ἐνέργειαν πεπολιτευμένος. Οὐκοῦν ἀποφάσει τῆς τῶν[49] θείων καὶ ἀνθρωπίνων πρὸς ἄλληλα διαιρέσεως τὴν τῆς ἑνώσεως κατάφασιν ὁ σοφὸς ποιησάμενος τὴν φυσικὴν τῶν ἡνωμένων διαφορὰν οὐκ ἠγνόησεν· ἡ γὰρ ἕνωσις τὴν διαίρεσιν ἀπωσαμένη τὴν διαφορὰν οὐκ ἐλώβησεν. Εἰ δὲ τῆς διαφορᾶς τὸν λόγον ὁ τῆς ἑνώσεως τρόπος ἔχει σωζόμενον, [52]ἄρα περίφρασίς ἐστιν ἡ τοῦ ἁγίου φωνὴ, καταλλήλῳ κλήσει τοῦ [53]διττοῦ τὴν φύσιν Χριστοῦ τὴν [54]διττὴν παραδηλοῦντος ἐνέργειαν· εἴπερ φύσει [55]τε καὶ ποιότητι κατ᾽ οὐδένα τρόπον ἐκ τῆς ἑνώσεως ὁ τῶν ἡνωμένων οὐσιώδης μεμείωται λόγος. Ἀλλ᾽ οὐχ ὡς [56]τινι, ἀποφάσει τῶν ἄκρων τινὸς μέσου [57]ποιουμένου κατάφασιν. Οὐκ ἔστι γάρ τι μέσον [58]ἐπὶ Χριστοῦ, τῇ τῶν ἄκρων
Ed. Gal p. 67. ἀποφάσει καταφασκόμενον. Καινὴν μὲν, ὡς καινοῦ μυστηρίου χαρακτηριστικὴν, οὗ λόγος ἐστὶν ὁ ἀπόῤῥητος τρόπος τῆς [59]συμφυΐας. Τίς γὰρ ἔγνω πῶς σαρκοῦται Θεὸς, καὶ μένει Θεός;
Cod. f. 114 b. πῶς μένων Θεὸς ἀληθὴς ἄνθρωπός | ἐστιν ἀληθής; ἄμφω δεικνὺς ἑαυτὸν ἀληθῶς ὑπάρξει φυσικῇ, καὶ δι᾽ ἑκατέρου θάτερον, καὶ μηδετέρῳ τρεπόμενος. Ταῦτα μόνη πίστις χωρεῖ, σιγῇ τιμῶσα τὸν λόγον, οὗτινος τῇ φύσει τῶν ὄντων ἐμπέφυκε λόγος οὐδείς. Θεανδρικὴν δὲ, οὐχ ὡς ἁπλῆν, οὐδὲ πρᾶγμά τι σύνθετον, καὶ ἡ μόνης γυμνῆς κατὰ φύσιν θεότητος, ἢ μόνης ψιλῆς ὑπάρχουσαν ἀνθρωπότητος, ἢ συνθέτῳ φύσει τινῶν ἄκρων μεταιχμίῳ προσήκουσαν, ἀλλ᾽ ἀνδρωθέντι θεῷ, τουτέστι τελείως ἐνανθρωπήσαντι, προσφυεστάτην. Οὐδ᾽ αὖ πάλιν μίαν, [60]ὡς οὐκ ἂν ἄλλως νοηθῆναι Τῆς καινῆς καθά τισιν ἔδοξεν, ἢ Μιᾶς δυναμένης· ποιότητος γὰρ, ἀλλ᾽ οὐ ποσότητος ἡ καινότης, ἐπεὶ καὶ φύσιν ἐξ ἀνάγκης ἑαυτῇ συνεισάξει τοιαύτην· εἴπερ πάσης φύσεως ὅρος ὁ τῆς οὐσιώδους αὐτῆς ἐνεργείας καθέστηκε λόγος, ἣν [61]οὐ διπλῆν [62]εἴποι ποτ᾽ ἂν τραγελάφων μύθοις φιλοτιμούμενος. Πῶς δὲ καὶ τούτου δοθέντος ὁ τοῦτο πεφυκὼς μίαν ἔχων ἐνέργειαν, καὶ ταύτην φυσικὴν, ἐπιτελέσει τῇ αὐτῇ τὰ θαύματα καὶ τὰ πάθη, λόγῳ φύσεως ἀλλήλων διαφέροντα, δίχα στερήσεως ἐπισυμβαινούσης τῇ ἀπογενέσει τῆς ἕξεως; Οὐδὲν γὰρ τῶν ὄντων μιᾷ καὶ τῇ αὐτῇ ἐνεργείᾳ τἀναντία πέφυκε δρᾶν, ὅρῳ τε καὶ λόγῳ συνεχόμενον φύσεως. Διὸ μίαν ἁπλῶς ἡ φυσικὴν ἐπὶ Χριστοῦ

52. ἆρα ed. Gal.

Digitized by Google

enim divisionem removens non offecit differentiae. Si autem differentiae rationem unionis modus conservat, sane hic sermo viri sancti periphrasis erit, per quam ostendit, bene congruenti oratione, duplicem operationem in Christo duas naturas habente. Quoniam nullo pacto per unionem, sive naturam spectes sive qualitatem, eorum quae uniuntur, essentialis laeditur ratio. Nec ut volunt aliqui, extrema negando medium quoddam affirmat; nihil enim est medium quod de Christo per extremorum negationem affirmari potest. ‚Novam' dixit, hoc est novum mysterium characterizat, cuius ratio est ineffabilis modus naturalis coniunctionis. Quis enim novit quomodo deus incarnatur, et tamen manet deus? quomodo maneat deus verus, et verus homo? ostendens se vere esse utrumque naturali existentia, et per alterutrum utrumque in neutro alteratus. Haec fides sola capit, silentio venerans Verbum, cuius naturae nulla in rebus creatis oratio respondet. *Θεανδρικὴν*, ‚dei-virilem', addidit, non quod intelligat vel simplicem operationem, vel re ipsa compositam, nec adhuc, eam quae solius nudaeque esset deitatis, aut solius et merae humanitatis, aut postremo naturae cuiusdam compositae, quae media esset inter duo extrema: sed eam quae naturalissime competeret deo inhumanato, hoc est qui perfecte factus est homo. Rursus unam dixit, non tamen ita ac si ‚nova' operatio non posset intelligi nisi per ‚unam', ut nonnullis placet; nam ad qualitatem, non vero ad quantitatem *καινότης*, ‚innovatio', pertinet, quoniam naturam necessario inducit talem; nam omnis naturae definitio petitur ab eius essentialis operationis ratione, quam duplicem esse ne is quidem dixerit qui tragelaphorum fabulas amplectitur. Imo, hoc dato, talis qui fuerit, una tantum operatione, eaque naturali praeditus, quomodo per eam et miracula et passiones ostendit, quorum ratio naturaliter multum diversa est, quin habitus corruptionem privatio consequatur. Nihil enim est quod una eademque operatione contraria potest efficere, si maneat intra suae naturae terminum et rationem. Quapropter non est fas affirmare de Christi deitate et carne unam simpliciter et naturalem operationem, si modo idem non sit penes qualitatem naturalem deitas et caro. Hoc enim pacto et unam naturam affirmabimus, et trinitas fiet quaternitas. Filius enim idem erat patri et spiritui per unitatem essentiae, sed non fuit idem carni per unionem, etiamsi vivificam eam fecit, cum eam sibi uniret; habuit enim ea in se adhuc

---

53. *διχτοῦ* ed. Gal. In cod. Gud. a pr. m. est *διπλοῦ*. 54. *διχτὴν* ed. Gal. 55. *τὲ* om. ed. Gal. 56. *τινες* ed. Gal. 57. *ποιουμένον* (sic) cod. Gud. *ποιούμενον* ed. Gal. 58. *ἐστὶ* ed. Gal. 59. *συμφυτείας* ed. Gal. Uti constanter. 60. *ὡς κἂν* ed. Gal. 61. *οὐ διπλῆν* ed. Gal. *οὐδὲ πλάστης* cod. Gud. 62. *εἴπῃ* ed. Gal.

Digitized by Google

θεότητος καὶ σαρκὸς ἐνέργειαν λέγειν οὐ θέμις, εἴπερ μὴ ταὐτὸν ποιότητι φυσικῇ θεότης καὶ σὰρξ, ἐπεὶ καὶ φύσιν,
Cod. f. 115 a. καὶ γενήσεται τετρὰς ἡ τριάς. | [63] Οὔτε γὰρ κατὰ φύσιν, οὔτε
Ed. Gal. p. 68. κατὰ δύναμιν, οὔτε κατ' ἐνέργειαν, γέγονε ταὐτὸν, φησὶ, τῇ σαρκί. Οὐδενὶ γὰρ ᾧ πέφυκεν εἶναι διὰ τὴν μίαν οὐσίαν πατρὶ καὶ πνεύματι ταὐτὸν ὁ υἱὸς, γέγονε ταὐτὸν τῇ σαρκὶ διὰ τὴν ἕνωσιν, κἂν πεποίηκεν αὐτὴν ζωοποιὸν ἑνώσει τῇ πρὸς αὐτὸν, ἔχουσαν τὸ φύσει θνητόν. Ἐπεὶ καὶ τρεπτῆς ὑπάρχων δειχθήσεται φύσεως, καὶ τὴν οὐσίαν τῆς σαρκὸς εἰς ὅπερ οὐκ ἦν ἀλλοιώσας, καὶ ταὐτὸν πεποιηκὼς τῇ φύσει τὴν ἕνωσιν. Τὴν γὰρ θεανδρικὴν ἐνέργειαν, ὡς ἀπεδόθη νοήσωμεν· ἣν ἡμῖν οὐκ ἑαυτῷ πολιτευσάμενος τὴν φύσιν τοῖς ὑπὲρ φύσιν [64] ἐκαίνισε. Πολιτεία γάρ ἐστι βίος κατὰ νόμον φύσεως διεξαγόμενος. Ἁπλοῦς δὲ [65] ὢν τὴν φύσιν ὁ κύριος, εἰκότως βίον ἔχων ἐφάνη κατάλληλον, νόμῳ τε θείῳ καὶ ἀνθρωπίνῳ, [66] κατὰ ταὐτὸν ἀσυγχύτως συγκεκροτημένον· καινὸν καὶ αὐτὸν, οὐχ ὡς μόνον ξένον τοῖς ἐπὶ γῆς καὶ παράδοξον, καὶ οὔπω τῇ φύσει τῶν ὄντων διεγνωσμένον, ἀλλὰ καὶ χαρακτῆρα καινῆς τοῦ καινῶς βιώσαντος ἐνεργείας. Ἣν θεανδρικὴν τυχὸν προσεγόρευσεν ὁ τῷ μυστηρίῳ τούτῳ κλῆσιν ἐπινοήσας ἁρμόδιον, ἵνα δείξῃ τὸν κατὰ τὴν ἀπόῤῥητον ἕνωσιν τῆς ἀντιδόσεως τρόπον, κατ' ἐπαλλαγὴν τὰ φυσικῶς ἑκατέρῳ μέρει τοῦ Χριστοῦ προσόντα θατέρῳ πεποιημένον, χωρὶς τῆς ἑκατέρου μέρους πρὸς θάτερον κατὰ τὸν φύσει λόγον μεταβολῆς καὶ [67] συμφύρσεως. Ὥσπερ γὰρ τοῦ πυρακτωθέντος ξίφους τὸ τμητικὸν γέγονε καυστικὸν, καὶ τὸ καυστικὸν τμητικὸν (ἡνώθη γὰρ ὥσπερ [68] σιδήρῳ τὸ πῦρ), οὕτω καὶ τῷ τοῦ σιδήρου τμητικῷ
Cod. f. 115 b. τὸ τοῦ πυρὸς | καυστικὸν, καὶ γέγονε μὲν καυστικὸς ὁ σίδηρος ἑνώσει τῇ πρὸς τὸ πῦρ, καὶ τμητικὸν τὸ πῦρ ἑνώσει τῇ πρὸς τὸν σίδηρον· οὐδέτερον δὲ [69] τρόπον τῇ καθ' ἕνωσιν
Ed. Gal. p. 69. ἀντιδόσει [70] πρὸς θάτερον πέπονθεν, ἀλλ' ἑκάτερον [71] κἂν τῇ τοῦ συγκειμένου καθ' ἕνωσιν ἰδιότητι μεμένηκε τῆς κατὰ φύσιν οἰκείας ἀνέκπτωτον· οὕτω [72] κἂν τῷ μυστηρίῳ τῆς θείας σαρκώσεως θεότης καὶ ἀνθρωπότης ἡνώθη καθ' ὑπόστασιν, μηδετέρας τῆς φυσικῆς ἐκστάσης ἐνεργείας διὰ τὴν ἕνωσιν, [73] μήτε μὴν ἄσχετον αὐτὴν κεκτημένης μετὰ τὴν ἕνωσιν, καὶ τῆς συγκειμένης καὶ [74] συνυφεστώσης διακεκριμμένην. Ὅλῃ γὰρ τῇ δραστικῇ δυνάμει τῆς οἰκείας θεότητος ὁ σαρκωθεὶς

63. Verba Οὔτε γὰρ — — — τῇ σαρκὶ non comparent in ed. Gal.

Digitized by Google

mortalem sortem. Et ipse Christus naturae mutabilis fuisse reperietur; etiam carnis essentiam in id quod non erat mutavit, et unionem cum natura identidem conciliavit. Consideremus enim dei-virilem operationem, qualis apparuit; certe non sui, sed nostri gratia hic versatus est, naturamque ad supernaturalem conditionem evexit. Iam politia est vita secundum naturae leges traducta; et Christus natura est duplex: merito igitur vitam suam ostendit legi divinae et legi humanae congruentem, et ad utramque sine confusione contemperatam. Nova vita fuit, non tantum incognita et mira eorum respectu qui in terris tunc erant et adhuc rerum natura incomperta, verum etiam quoniam character erat novae cuiusdam operationis, eius qui novo ritu vivebat. Hanc forte qui primus huic mysterio appellationem convenientem excogitavit, ‚dei-virilem' dixit, ut ostenderet modum illum communicationis in ineffabili unione, qui facit ut vicissim proprietates naturales, quae alteri Christi parti conveniunt, sunt utriusque, absque tamen illius partis cum hac, penes naturalem rationem, permutatione aut confusione. Quemadmodum enim in gladio ignito secandi vis fit ustio, et ustio vicissim secandi vis (nam sicut gladio ignis, ita et gladii actioni, qua secat, unitur vis ignis quae urit, perque unionem hanc et gladius nanciscitur urendi actionem, et ignis secandi), neutrum tamen ex hac unione et communicatione aliquam patitur immutationem, sed utrumque, etiam in illa unione, in qua certa quaedam est compositi ratio, naturalem sibi servat proprietatem: pari ratione et in mysterio sanctae incarnationis deitas et humanitas uniuntur hypostatice, ita ut neutra amittat per unionem naturalem operationem, et tamen distincta sit ab ea quae una secum coniungitur et consistit. Toti siquidem divinae et efficaci potestati suae deitatis verbum incarnatum nexuit, per inseparabilem unionem, humanitatis suae passibilem conditionem, homo deus existens miracula patrabat, in carne natura sua passibili: rursus deus existens homo naturae passiones subibat, ita tamen ut constaret eas per potestatem divinam illum administrasse; imo potius utrumque praestitit *θεανδρικῶς*, deus utique simul et homo erat. Per passiones nosmet ipsos nobis, quales eramus reddidit, per miracula nos sibi tradidit, si simus ad eius exemplar conformes, et per utraque fidem fecit de veritate eorum ex quibus se esse, et in quibus et quae professus est: solus certe ille verus est, et fidelis, et id quod est

64. *ἐκαίνησε* ed. Gal. 65. *ὢν* om. ed. Gal. 66. *κατ' αὐτόν* ed. Gal. 67. *συμφύσεως* ed. Gal. 68. *τῷ σιδήρῳ* ed. Gal. 69. *τροπὴν* ed. Gal. 70. *τῇ πρὸς ἕτερον* ed. Gal. 71. *κἂν* cod. Gud. et ed. Gal. 72. *κἂν* ed. Gal. 73. Verba *μήτε μὴν — — — τὴν ἕνωσιν* om. ed. Gal. 74. *τῆς συνεφεστώσης διακεκριμένην* ed. Gal.



Digitized by Google

λόγος ὅλην ἐσχηκὼς συμφυεῖσαν καθ' ἕνωσιν ἄλυτον τὴν παθητικὴν τῆς ἰδίας ἀνθρωπότητος δύναμιν ἀνθρωπίνως θεὸς ὢν [75] ἐνήργει τὰ θαύματα, διὰ σαρκὸς φύσει παθητῆς συμπληρούμενα, καὶ θεϊκῶς ἄνθρωπος ὢν διεξῄει τὰ πάθη τῆς φύσεως, κατ' ἐξουσίαν [76] ἐπιτελούμενα θεϊκήν· ἄμφω δὲ μᾶλλον θεανδρικῶς, ὡς θεὸς ὁμοῦ καὶ ἄνθρωπος [77] ὢν τοῖς μὲν ἡμᾶς ἑαυτοῖς ἀποδιδοὺς, φανέντας ὅπερ γεγόναμεν, τοῖς δὲ [78] διδοὺς ἡμᾶς ἑαυτῷ, γενομένους ὅπερ παρέδειξε, καὶ δι' ἀμφοτέρων πιστούμενος τὴν τῶν ἐξ ὧν, ἐν οἷς τε καὶ ἅπερ ὑπῆρχεν ἀλήθειαν, ὡς μόνος ἀληθὴς καὶ πιστὸς, καὶ ὅπερ ἐστὶ παρ' ἡμῶν ὁμολογεῖσθαι βουλόμενος. Ὃν ἔχοντες, [79] ἡγιασμένοι λόγῳ τε καὶ βίῳ, μορφούμενον μιμήσασθε τὴν [80] μακροθυμίαν, καὶ τὴν παροῦσαν δεχόμενοι γραφὴν, φάνητέ μοι
Cod. f. 116 a. τῶν ἐμφερομένων φιλάνθρωποι κριταὶ, | νικῶντες συμπαθείᾳ τὰ τοῦ παιδὸς [81] ὑμῶν ὀλισθήματα, μόνην ταύτην [82] ἐκδεχομένῳ τῆς εὐπειθείας ἀντίδοσιν, καὶ [83] γένεσθέ μοι μεσῖται τῆς πρὸς αὐτὸν καταλλαγῆς, εἰρήνην δημιουργοῦντες τὴν πάντα νοῦν ὑπερέχουσαν, ἧς [84] αὐτὸς ἄρχων ἐστὶν ὁ σωτὴρ, ἕξει πρακτικὴ τῆς τῶν παθῶν ταραχῆς ἐλευθερῶν τοὺς φοβουμένους αὐτὸν, καὶ πατὴρ τοῦ μέλλοντος αἰῶνος, πνεύματι γεννῶν δι' ἀγάπης καὶ γνώσεως τοὺς τὸν ἄνω κόσμον πληρώ-
Ed. Gal. p. 70. σαντας. Αὐτῷ δόξα, [85] μεγαλωσύνη, κράτος, σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι εἰς τοὺς [86] αἰῶνας. Ἀμήν.

---

75. ἐνείργει ed. Gal. 76. ἐστι τελούμενα ed. Gal. 77. ὢν ed. Gal. 78. διδοὰς ed. Gal. 79. ἡγιασμένε ed. Gal. 80. μικροθυμίαν ed. Gal. 81. ἡμῶν ed. Gal. 82. ἐκδεχομένου ed. Gal. 83. γενήσεσθέ μοι τῆς πρὸς αὐτὸν μεσῖται ed. Gal. 84. αὐτὸς om. ed. Gal. 85. μεγαλοσύνη ed. Gal. 86. αἰῶνας τῶν αἰώνων ed. Gal.

Digitized by Google

a nobis dici haberique cupit. Hunc igitur, o sanctissime et verbo et opere, quoniam in vobismet possidetis formatum, eius quaeso imitamini longanimitatem: hanc scriptionem accipite, ita ut experiar vos iudices eorum quae attuli clementes, vestra aequanimitas servi vestri errata tegat, qui nullum quaerit alium obedientiae suae fructum. Estote mihi apud Christum reconciliationis sequestri, pacemque conficite illam quae omnem intellectum superat: servator solus est pacis princeps, solus timentes se a passionum salo per habitus practicos liberat, solus pater venturi seculi per caritatem et cognitionem in spiritu generat eos qui mundum superiorem complebunt. Ei sit gloria, maiestas et imperium, cum patre et sancto spiritu, in secula seculorum. Amen.

---

## DOMINO GLORIOSISSIMO PIISSIMOQUE

### DIVINA PROVIDENTIA ATQUE ADIUVANTE GRATIA REGI

## KAROLO

### Iohannes

### Extremus servorum vestrorum perpetuam in Christo salutem.

Hoc opus Maximi Monachi et Abbatis, quod Sanctissimo atque Beatissimo Archiepiscopo [1] Kyzico Iohanne postulante de quorundam in sermonibus beatissimi Gregorii theologi [2] Ambiguorum, hoc est intellectu difficilium, explanationibus composuit, de Graeco in Latinum vobis iubentibus edidi; difficillimum prorsus, Orthodoxissime Regum, servulo vestro imbecilli valde etiam in Latinis, multo magis in Graecis, laborem iniunxistis, insuper etiam accelerare veluti erudito utriusque linguae citoque perficere imperastis. Sed pro viribus ingenioli

1. Lege *Cyzici*. (Gale.) 2. Is est huius operis titulus. Nam *Scholia* aliud opus est huius Maximi. Horum *Ambiguorum* ipse meminit Maximus p. 15. tomi II. Opp. editorum, meminit Photius, meminit Baronius et in codicibus Vaticanis servari testatur. (Gale.)



Digitized by Google

mei et acceleravi, et divina ducente ac largiente gratia ad finem usque perduxi. Fortassis autem qualicunque apologia defensus, non tam densas subierim caligines, nisi viderem praefatum beatissimum Maximum saepissime in processu sui operis obscurissimas sanctissimi theologi Dionysii Areopagitae sententias, cuius symbolicos theologicosque sensus nuper vobis similiter iubentibus transtuli, introduxisse, mirabilique modo dilucidasse, in tantum ut nullo modo dubitarem divinam clementiam, quae illuminat abscondita tenebrarum, sua ineffabili providentia hoc disposuisse, ut ea quidem quae nobis maxime obstrusa in praedictis beati Dionysii libris, aut vix pervia, sensusque nostros fugere videbantur, aperiret, sapientissimo praefato Maximo lucidissime explanante. Exempli gratia, ut pauca de pluribus dicam, quomodo causa omnium, quae deus est, una sit simplex ac multiplex, qualis sit processio, id est multiplicatio divinae bonitatis per omnia quae sunt, a summo usque deorsum per generalem omnium essentiam primo, deinceps per genera generalissima, deinde per genera generaliora, inde per species specialiores usque ad species specialissimas per differentias proprietatesque descendens. Et iterum, eiusdem divinae videlicet bonitatis qualis sit reversio, id est congregatio, per eosdem gradus ab infinita eorum quae sunt variaque multiplicatione usque ad simplicissimam omnium unitatem, quae in deo est et deus est, ita ut et deus omnia sit et omnia deus sint. Et quomodo praedicta quidem divina in omnia processio ἀναλυτικὴ dicitur, hoc est resolutio, reversio vero θεῶσις, hoc est deificatio. Et qua ratione quae sunt maxima multiplicatione minima sunt virtute, quae vero minima multiplicatione, maxima virtute. Quid καταφατικὴν et ἀποφατικὴν dicam θεολογίαν, in quibus maxime praedicti beati Dionysii Areopagitae profundissima divinissimaque admiranda est disputatio? quam clare pulchreque aperit, quomodo cum inter se oppositae valdeque contraria videantur, ad unum tamen consensum perveniunt, ut dum una neget, altera confirmet, quod ἀποφατικὴ abnegat, quod καταφατικὴ adfirmat; et non solum has duas maximas theologiae partes in deo, sed etiam in omni creatura esse manifestissimis declarat exemplis; per eas namque ordines caelestium essentiarum et discernuntur et ordinantur. Et qua ratione deus dicitur movere et moveri, dum sit immutabilis; et quod nec sensibilia per sensum deus sentiat, nec intelligibilia per intellectum, nec sensibilia per intellectum, nec intelligibilia per sensum, sed omnia in aeternis suis rationibus contemplatur. De unitate quoque trium divinarum substantiarum, deque tribus substantiis divinae unitatis veluti mysticissimo mirabiliter disputat senario, et multa alia, quae studiosus praesentis operis lector inve-

Digitized by Google

niet. [3] Eusebestate igitur Regum, opus quod ad communem catholicae fidei illuminationem iussisti fieri, altissimae auctoritatis vestrae iudicio non respuatis roborari, et inter similia sanae doctrinae instrumenta recipi, cum ex praeclarissimis Graecorum fontibus non dubitetis derivari; in quibus si quid incognitae adhuc nobis doctrinae inveniatur, auctoribus ipsis est deputandum, quia nemo aliud in hoc opere recte mihi debet tribuere, nisi solummodo simpliciter transtulisse.

---

3. Eadem manu in margine scriptum reperi ***Piissime.*** Credo Scotum Graeca affectasse, ut alibi. (Gale.)

Digitized by Google

Ἐκ τοῦ αὐτοῦ.

Ed. Gal. p. 1.

## Πρὸς Ἰωάννην ἀρχιεπίσκοπον Κυζίκου

# ΜΑΞΙΜΟΣ

## ἐν Κυρίῳ χαίρειν.

Ἐπαινοῦνται μὲν, καὶ τυχὸν δικαίως, παρὰ πάντων τῆς φιλομαθείας ἕνεκεν οἱ προθυμότεροι τῶν καλῶν ἐρασταὶ καὶ τῆς ἐπ' αὐτοῖς ἐπιστήμης ἐπιμεληταὶ σπουδαιότεροι τοῖς κρείττοσι καὶ τῶν κρειττόνων διδασκάλοις προσιόντες, ὅτι δὲ ἐρωτήσεως τὴν γνῶσιν τῶν ἠγνοημένων καὶ τὴν ἐπιστήμην ἀνεπαισχύντως λαμβάνοντες σφᾶς αὐτοὺς ἀγνοίας καὶ ἀπειρίας καὶ τοῦ κατ' αὐτὰς ὀνείδους ἐλευθεροῦσιν. Ὑμᾶς δὲ τίς ἂν ἀξίως ἐπαινέσειε λόγος; ἢ τίς ἀνθρώπων [1] κἂν διανοίᾳ περιλαβεῖν ὑμῶν τὸ τῆς ἀρετῆς μέγεθος ἱκανὸς εὑρεθήσεται; ὅτι δόκιμοι λογικῶν προβάτων ποιμένες ὑπάρχοντες, καὶ πρὸς τὴν ἄνω μάνδραν φωναῖς σύριγγος πνευματικῆς ἀνάγειν τε

Ed. Gal. p. 2. καὶ [2] ἐπάγειν εἰδότες, [3] οἷα δὴ τῆς ἀνεφίκτου τοῖς ἄλλοις τῶν θείων μυστικῆς γνώσεως τὴν ἕξιν προειληφότες· καθ' ἣν τῆς

Cod. f. 116 b. Χριστοῦ ἐκκλησίας ἀξίως πεπιστωμένοι | τοὺς οἰακας νηὸς τρόπον ἐπιστημόνως ἰθύνετε, μετὰ τοῦ φόρτου τῆς πίστεως καὶ τῆς τοῦ κατὰ θεὸν βίου εὐπρεπείας, πρὸς τὸν λιμένα τοῦ θείου θελήματος, μηδὲν τῶν κατὰ τὴν θάλασσαν τοῦ βίου πειρασμῶν παραβλαβεῖσαν. Περὶ τῶν ἐγνωσμένων ὑμῖν, ὧν καὶ ἐξηγητὰς ὑμᾶς κατέστησεν ὁ θεὸς, οὐ μόνον τοὺς σοφωτέρους, εἴπερ τις ὑμῶν ἐστιν ὅλως κατὰ τὴν γνῶσιν ἀνώτερος, ἀλλὰ καὶ τοὺς μηδενὸς ἀξίους καὶ παντελῶς παντὸς ἀπείρους μαθήματος, πίστει τοῦ εὑρεῖν τι, καθὼς εἰώθατε, καὶ παρὰ τοῖς ἀσήμοις ἐπίσημον ἐρωτᾶν οὐχ ἡγεῖσθε ἀνάξιον. Διὸ κἀγὼ δεξάμενος τὴν τιμίαν ὑμῶν ἐπιστολὴν τὸν περὶ ἑκάστου τῶν ἀπορηθέντων [4] ὑμῖν κεφαλαίων ἐν τοῖς τοῦ ἁγίου [5] Γρηγορίου τοῦ θεολόγου λόγοις, περὶ ὧν ἐφιλοπονοῦμεν ἡνίκα σὺν ἀλλήλοις ἦμεν, ἀποδοθέντα τὸ τηνικαῦτα λόγου γραφῇ καταθεμένῳ στεῖλαι ὑμῖν κελεύουσαν, ὑμᾶς μὲν εἰκότως τῆς ἀρετῆς ἐθαύμασα [6] καὶ τῆς κατ' αὐτὴν χριστοπρεποῦς ὑμῶν

---

1. Haec imperite vertit Scotus, quod cuilibet patet. (Gale.)

Digitized by Google

Ex eodem.

## Sanctissimo ac beatissimo archiepiscopo Cyzici Ioanni MAXIMUS humilis monachus S.

IOANNE ERIGENA SCOTO INTERPRETE.

Laudantur quidem, et fortassis iuste, ab omnibus qui bona propter studium doctrinae promptiores amant, et disciplinam, quae in eis est, sollicitiores cogitant, ad meliores et meliorum magistros accedentes, quia per interrogationem sapientum disciplinam reverenter accipientes se ipsos ab ignorantia et imperitia et earum opprobrio liberant. Vos autem quis digne laudarit sermo? aut quis hominem, etsi diligentiae experimentum accipiens, vestrae virtutis magnitudinem idoneus inveniet? Quia probabiles ovium rationabilium pastores dum sitis, et ad supernum ovile vocibus fistulae spiritualis eas ducere et introducere nostis, singularem, multis impossibilem, mysticae divinorum scientiae habitudinem praeoccupastis, per quam Christi ecclesiae digni fidelesque gubernacula, navis in modum, disciplinate dirigitis, cum onere fidei, divinaeque conversationis decore ad portum divinae voluntatis, per mare seculi tentationibus illaesam. De his autem, quae vobis cognita sunt, quorum etiam magistros vos constituit Dominus, non solum sapientiores, si quis [1] vestrum est omnino secundum scientiam superior, sed et nullo dignos, et penitus omnis imperitos doctrinae, fide inveniendi quid nobile etiam apud [2] immundos, sicut soliti estis, indignum interrogare non ducitis. Ac per hoc accipiens et ego venerabilem vestram epistolam, scribere vobis iubentem de unoquoque dubiorum [3] vobis capitulorum in Sancti theologi Gregorii sermonibus, de quibus studium habebam, quando cum convenientibus eram, redditam tunc rationem scripturae commendo.

---

2. *ἐπανάγειν* ed. Gal. 3. Scotus male legit *οἶαν*. (Gale.) 4. *ἡμῖν* ed. Gal. 5. *Θεολόγου Γρηγορίου* ed. Gal. 6. *καὶ τὸ παμφαὲς καὶ ὑψηλὸν τῆς κατ' αὐτὴν χριστοπρεποῦς ὑμῶν πτωχείας* ed. Gal.

1. Verte *vobis*. (Gale.) 2. Credo legerat *ἀσέμνους*. (Gale.) 3. Lege *nobis*. (Gale.)

Digitized by Google

πτωχείας τὸ παμφαὲς καὶ ὕψηλον ἀνύμνησα, μᾶλλον δὲ τὸν κατὰ πάντα τρόπον δι' ὑμῶν τε καὶ ἐν ὑμῖν δοξαζόμενον κύριον, τὸν καὶ ποιήσαντα ὑμᾶς καὶ τὴν πρὸς τὸ ἀξίους αὐτοῦ γενέσθαι χαρισθεῖσαν ὑμῖν δύναμιν τοῖς ἑαυτοῦ ἰδιώμασι δι' αὐτῶν [7]τῶν ἔργων καὶ τῆς ἀληθείας ἀριδήλως ὡραϊσμένην ἐκφαίνοντα, μέχρις ἐμοῦ τοῦ μικροῦ καὶ μηδενὸς ἀξίου καὶ ἀμαθοῦς καὶ πάσης γυμνοῦ παντάπασιν ἀρετῆς καὶ γνώσεως.

Cod. f. 117 a. Περὶ τούτου ταπεινωθέντας θεώμενος ἐμαυτὸν δὲ | καταδέξασθαι ὑμῶν τὸ ἐπίταγμα κατὰ δύναμιν ἐβιασάμην, μηδένα τοῦ προπετὴς νομισθῆναι τοῖς πολλοῖς ὑμῶν χάριν ποιησάμενος λόγον· ἀλλὰ καὶ ὑμεῖς τὸν προσφιλῆ καὶ ἐράσιον τῆς εὐπει-

Ed. Gal. p. 3. θείας μισθὸν ἀντιλαβεῖν ἐκδεχομένῳ τὰς ὑμετέρας ἐκτενεῖς εὐχὰς συνήθως χαρίσασθε, ὅπως Χριστὸς ὁ θεὸς, ἡ ἑτοίμη τῶν φοβουμένων αὐτὸν βοήθεια, [8]ἔλθοι μοι τῷ λόγῳ σύμμαχος, μᾶλλον δὲ τὸν τοῦ λέγειν ὅλον εὐσεβῶς ὡς λόγος χορηγήσοι λόγον. Ἀξιῶ δὲ ὑμᾶς ἐντυγχάνοντας, μὴ τὴν κεκομψευμένην ἐπιζητεῖν πρὸς ἐμοῦ λέξιν, τοὺς περικομποῦντας τὴν ἀκοὴν λόγους οὐκ ἔχοντος, καὶ ταῖς περιέργοις τομαῖς ἐμπεριεχήτους ποιεῖν ἀγνοοῦντος. Ἀτριβὴς γὰρ ὢν τῶν τοιούτων μαθημάτων, καὶ τῆς ἐπ' αὐτοῖς μελέτης ἄπειρος τυγχάνων, ἀγαπητὸν ἡγοῦμαι καὶ ἐπευκτὸν, εἰ τῆς διανοίας τοῦ ἁγίου τούτου καὶ μεγάλου διδασκάλου, κἂν ἐν χυδαίᾳ φράσει, καὶ τοῦτο ποσῶς, καταστοχάσαιμι, [9]μήτι δὲ τῷ πολυστίχῳ τῶν ἐξηγήσεων ἐπισκήπτειν. Ὁ θεολόγος γὰρ οὗτος ἀνὴρ, ὡς ἴστε, βραχυλόγος ὑπάρχων καὶ πολύνους ἀνάγκην δίδωσι τῷ ἐξαπλοῦν βουλομένῳ τὸν αὐτοῦ σκοπὸν, κἂν ὁ ῥητορικώτατος ᾖ καὶ φιλοσοφώτατος, διὰ πολλῶν ἰέναι, καὶ μάλιστα ἐμοὶ τῷ ἰδιώτῃ· εἰ δ' ὑμᾶς συνήθως ὁ θεοφιλὴς ἀνακινήσοι ζῆλος πρὸς τὸ σύντομον ἅμα καὶ εὐφραδὲς τὰ γραφόμενα μετακομίσαι, ἢ καὶ τὸν νοῦν ὅλον διορθώσασθαι πρὸς τὸ ὑψηλότερον, μισθὸν αὐτοτελῆ λήψεσθε, τὰς τοῦ θεοφόρου πρὸς

Cod. f. 117 b. τὸν δεσπότην τῶν ὅλων εὐχὰς, ἅτε μὴ συγχωρήσαντες | αὐτοῦ τὰ θεῖα καὶ ὑπερφυῆ νοήματα ταῖς [10]ἀποτεύκτοις καὶ χαμαιπετέσιν ἐπιβολαῖς παρασύρεσθαι. Ἀκολούθως δὲ τῇ ὑμετέρᾳ ἐπιστολῇ τὴν περὶ ἑκάστου κεφαλαίου ποιησάμενος ζήτησιν κατεθέμην τῷ γράμματι, χρηστοὺς καὶ φιλανθρώπους ὑμᾶς τῶν λεγομένων κριτὰς γενέσθαι παρακαλῶν.

Greg. Naz. Or. de Paup. Amore cap. 7., p. 261. tom. I. Opp. ed. Benedict. Ed. Gal. p. 4. Ἐκ τοῦ περὶ Φιλοπτωχίας λόγου, εἰς τὸ, Φείδομαι ὡς συνεργοῦ, καὶ οὐκ ἔχω πῶς φύγω τὴν ἐπανάστασιν, ἢ πῶς μὴ ἀπὸ θεοῦ πέσω βαρηθεὶς ταῖς πέδαις κατασπώσαις ἢ κατεχούσαις εἰς ἔδαφος.

---

7. τῶν abest ab ed. Gal. 8. ἔλθῃ ed. Gal. 9. Rescripsi μήτι δὲ pro μήτε δὲ, quod cod. Gud., vel μήτε, quod ed. Gal. habet. 10. Eadem antiqua manus in marg. cod. Gud. emendationem adscripsit ἀπευκτοῖς.

Digitized by Google

Vos quidem merito virtutis miratus sum, et in ipsa claram atque excelsam Christo placentem vestram hospitalitatem laudavi, magis vero per omnem modum per vos et in vobis glorificatum dominum, qui fecit vos ad hoc dignos fieri, donatamque ab ipso virtutem, qui suis [4] servis per vestra opera veritatis aperte pulchritudinem manifestat, usque ad me parvum, et nullo dignum, et indoctum, et omni nudum omnino virtute et scientia. Ac per hoc humiliatos considerans me ipsum accipere vestrum praeceptum secundum virtutem compuleram, dum in nullo temerarius aestimabor multis vestri gratia faciens sermonem, sed et vos gratam et amabilem obaudientiae mercedem accipere expectanti vestras videlicet orationes intentas consuete donabitis, ut Christus dominus, qui est paratum timentium se adiutorium, veniat mihi sermonis adiutor, magis autem dicendo totum pie, ut Verbum largiatur verbum. Posco autem vos postulantes, ne ornatam quaeratis a me dictionem, qui ornantes auditum sermones non habeo, et curiosis [5] bombis ambitus facere ignoro. Talium enim doctrinarum dum sim inscius, et curae, quae in eis est, magnitudinem non constituens, dilectissimum reor atque optabile, si sensum magni huius et sancti magistri, etsi confusa explanatione, et hoc aliquantulum considerarim, non tamen multiplici versu expositionem honorificante. Theologus enim iste vir, sicut scitis, brevis sermonibus dum sit, et multus intellectu, necessitatem dat explanare volenti eius intentionem, etsi facundissimus et sapientissimus [6] in multis sit, et magis mihi indocto. Si vero nos consuete Deo amabilis moverit zelus, dum ad breve simul ac planum ea, quae scripta sunt, deferimus, nos magis quam totum intellectum erigimus ad id quod excelsius est, mercedem per se perfectam accipietis, deiferi illius scilicet ad Dominum omnium orationes, utpote non concedentes eius divinos et supernaturales intellectus spretis ac vilibus tractari contemplationibus. Consequenter autem vestrae epistolae per singula capita inquisitionem feci, et literis commendavi, bonos atque misericordes vos eorum quae dicta sunt iudices fieri deprecans.

Ex sermone de Hospitalitate, in hoc, ‚Parco ut cooperatori, et non habeo quomodo fugiam superventum, aut quomodo non a deo cadam, gravatus [1] pueris deripientibus aut detinentibus in terram.‘

4. I. Scotus legisse videtur *ἰδίοις*, quod ineptum. (Gale.) 5. Quid hic Scotus legerit incertum. *Τομαὶ* quid sint explicat Hermogenes l. II. de Formis. (Gale.) 6. *in multis*, verte *fusius expatiari*. (Gale.)

1. *pueris*, inscitissime. Verte *compedibus*, *vinculis*. (Gale.) Nisi infra idem vitium occurreret, scripturam putarem corruptam, vertisseque Scotum *pedicis*.

Digitized by Google

Οὐ ταὐτὸν τῷ κατασπᾶσθαι τὸ κατέχεσθαι νενόηται τῷ μακαρίῳ τούτῳ ἀνδρὶ, μὴ οὕτω νομίσῃς, δοκιμώτατε, εἴπερ τί σοι νοεῖν τῆς αὐτοῦ μεγαλονοίας ἄξιον διεσπούδασται· ἐπεὶ περιττὸς οὕτω τοῖς λόγοις καὶ τὸν νοῦν τῷ λόγῳ μὴ ἐφιστάμενον ἔχων ἀναφανήσεται, εἴπερ μὴ πάσῃ συλλαβῇ σχεδὸν τὴν πρέπουσαν ἐνθέμενος ἔννοιαν πρὸς τὰ κάλλιστά τε καὶ χρήσιμα τοὺς ὀπαδοὺς ὁδηγεῖν παντὶ τρόπῳ διεγνωκέναι ὑπολῃφθῇ. Οὐχ οὕτω δὲ ταῦτ' ἔχει, πόθεν; ἀλλὰ καὶ νῷ λόγον σοφῷ συνίστησι, καὶ λόγῳ ὑψηλῷ νοῦν ἐφίστησιν ὑψηλότερον, ἵν' ὑψηλὸς ὑψηλῷ διαγγέλληται, καὶ τῆς ἀληθείας ποσῶς δι' ἀμφοῖν τὸ τέως τοῖς πολλοῖς ἢ καὶ πᾶσιν ἀνεπίβατον μέγεθος [1] διαδειχθῇ. Ἵνα δὲ φανερὸν ἅπαν ἡμῖν γένηται τῶν λεγομένων τὸ αἴνιγμα, αὐτὰ ὡς ἔχει τοῦ μακαρίου σκοπήσωμεν τὰ ῥητά. Φείδομαι, φησὶν, ὡς συνεργοῦ, καὶ οὐκ ἔχω πῶς φύγω τὴν ἐπανάστασιν, ἢ πῶς μὴ ἀπὸ θεοῦ πέσω, βαρηθεὶς ταῖς πέδαις, κατασπώσαις ἢ κατεχούσαις εἰς ἔδαφος. Ταῦτ' εἰπὼν οὐχ ἑαυτῷ πάντως, ἀλλὰ | δι' Cod. f. 118 a. ἑαυτοῦ τῷ κοινῷ τῆς ἀνθρωπότητος διαλέγεται, εἰδὼς ὅτι πᾶς τις ὁ σωτηρίας ἐρῶν ἢ πράξει ἢ θεωρίᾳ πάντως προσανέχει. Ἀρετῆς γὰρ καὶ γνώσεως χωρὶς οὐδαμῶς οὐδεὶς πώποτε τυχεῖν σωτηρίας δεδύνηται. Εἴπερ οὖν τῶν διὰ θεωρίας, φησὶ, θεῷ προσεδρευόντων καὶ τοῦ μακαρίου κάλλους κατατρυ- Ed. Gal. p. 5. φώντων καθέστηκα εἷς, εἰρήνην ἔχων παντάπασι καὶ ἁγιασμὸν, ὡς ἐμαυτὸν ἁπλώσας θεῷ, ἀδιαιρέτῳ κατὰ τὴν γνώμην ταυτότητι, τῷ τὰς ἀλόγους δυνάμεις τῆς ψυχῆς λογίσαι τε πρεπόντως καὶ νῷ διὰ λόγου προσαγαγεῖν καὶ οἰκειώσασθαι, θυμὸν λέγω καὶ ἐπιθυμίαν, τὸν μὲν εἰς ἀγάπην, τὴν δὲ εἰς χαρὰν [2] μεταβαλὼν, εἴπερ χαρᾶς ἴδιον τὸ σκιρτᾶν θεοπρεπῶς καὶ ἀγάλλεσθαι κατὰ τὸν ἐκ μήτρας προσκιρτήσαντα Ἰωάννην, τὸν μέγαν τῆς ἀληθείας πρόδρομόν τε καὶ κήρυκα, ἢν τὸν ἐπὶ τῇ καταπαύσει τῆς κιβωτοῦ τοῦ Ἰσραὴλ βασιλέα Δαβίδ. Ἐν μήτρᾳ γὰρ (κἂν εἰ τραχὺς ὁ λόγος ὡς ἀτριβὴς τοῖς πολλοῖς, ἀλλ' οὖν ἀληθὴς) καὶ ἡμεῖς καὶ ὁ θεὸς λόγος ἐσμὲν ὁ τοῦ παντὸς ποιητὴς καὶ δεσπότης, ἐν τῇ παρούσῃ τῆς ζωῆς καταστάσει, ὁ μὲν ἀμυδρῶς ὡς ἐν μήτρᾳ, καὶ μόγις τῷ αἰσθητῷ τούτῳ κόσμῳ διαφαινόμενος, καὶ τοῦτο τοῖς κατὰ Ἰωάννην τῷ πνεύματι, οἱ δ' ἄνθρωποι, ὡς ἐκ μήτρας τῆς ὑλικῆς περιστάσεως, κἂν ποσῶς τὸν ἐν τοῖς οὖσιν ἐγκρυπτόμενον διαβλέποντες λόγον. Καὶ τοῦτ' ἄν περ ὦσι ταῖς Ἰωάννου αὐχοῦντες χάρισι. Πρὸς γὰρ τὴν ἄφατον τοῦ μέλλοντος αἰῶνος δόξαν τε καὶ λαμπρότητα καὶ τὴν τῆς κατ' Cod. f. 118 b. αὐτὸν ζωῆς ἰδιότητα μήτρας | οὐδὲν διαφέρει ζόφῳ περιεκχυμένης συγκρινομένη ἡ παροῦσα ζωὴ, ἐν ᾗ δι' ἡμᾶς τοὺς νηπιάσαντας ταῖς φρεσὶ καὶ ὁ θεὸς λόγος τέλειος ὢν καὶ ὑπερτελὴς, ὡς φιλάνθρωπος, ἐνηπίασεν. Εἴπερ οὖν, ὡς εἴρηται,

1. διδαχθῇ ed. Gal. 2. μεταβάλλων ed. Gal.

Digitized by Google

Non id ipsum ‚deripi' quod est ‚detineri' visum est beato huic viro; neque sic arbitreris, probatissime, si quid sibi intelligere ipsius magnanimitate dignum sollicitudini sit. Nam superfluus verbis et intellectum sermones supereminentem non habens manifestaretur, si non omni fere syllabae decentem inserens notitiam ad pulcherrima et utilia sequentes ducendo ullo modo disceptandi relinqueretur. Non sic haec habent se longe, sed et intellectui sermonem sapienter constituunt, et sermonem excelsum excelsus supereminet intellectus, ut excelsus excelso annuntietur, et veritatis aliquantulum ex ambobus interim multis, aut etiam omnibus, invia magnitudo ostendatur. Ut vero manifesta nobis sit omnis eorum quae dicta sunt obscuritas, ipsa ut se habent beati considerabimus verba, ‚Parco' inquit, ut ‚cooperatori, et non habeo quo fugiam superventum, aut quomodo non a deo cadam, gravatus pueris deripientibus aut detinentibus in terram.' Haec dicens non de se ipso omnino, sed per se ipsum de communi humanitate disputat, videns quia omnis qui salutem amat aut actioni penitus aut contemplationi attendit. Absque enim virtute et scientia nullus ullo modo aliquando consequi salutem potuit. Si ergo per contemplationem, inquit, collocatorum deo et beata pulchritudine fruentium unus constitutus sum, pacem habens in omnibus et sanctificationem, quippe me ipsum applicans deo inseparabili per cognitionem similitudine, irrationabiles virtutes animae cogitando decenter, et menti per rationem adducendo et familiares faciendo, furorem dico et concupiscentiam, eum quidem in caritatem, eam vero in gaudium mutans; siquidem gaudii proprium est exultare divinitus et laetari, sicut praeexultavit ex matre Ioannes magnus veritatis praecursor et praedicator; aut sicut, dum quiescere fecit arcam, Israel rex David. In matre enim (etsi difficilis ratio, quippe invia multis, sed tamen vera) et nos et deus verbum sumus, qui universitatis est factor et dominus; qui quidem in praesentis vitae statu occulte veluti in matre, et vix sensibilis huic mundo apparet, et hoc, his qui sunt secundum Ioannem in spiritu; homines vero veluti ex matre, materiali videlicet circumstantia, etsi tantisper in his quae sunt occultum perspiciunt verbum. Et in hoc fortassis sint qui gaudiis Ioannis laetantur; ad ineffabilem namque futuri saeculi gloriam et claritatem, et vitae quae in ipso est proprietatem [2] nil matris distat iudicio. laetantis comparata praesens vita, in qua propter nos infantes sensibus deus, qui est verbum perfectum et plus quam perfectum, ut misericors, infans factus est. Si ergo, ut dictum est, talis quis sum, possibili hominibus secundum praesen-

2. Verte ***nihil a matre tenebris obvoluta.*** (Gale.)

Digitized by Google

τοιοῦτός τις ὑπάρχω, καὶ τῆς ἐφικτῆς ἀνθρώποις κατὰ τὴν παροῦσαν ζωὴν ἐπέβην θείας ἀκρότητος, ἀμελήσω δὲ τῆς θεοειδοῦς ἕξεως, ἐμαυτὸν πρὸς τὴν τοῦ σώματος ἑκουσίως ἐπικλίνας στοργὴν, κατεσπάσθην βαρηθεὶς ταῖς πέδαις, ἤτοι ταῖς φροντίσι, καὶ ἀπὸ θεοῦ ἔπεσον, ὡς τὴν περὶ μόνης
Ed. Gal. p. 6. τῆς βασιλείας τῶν οὐρανῶν μέριμνάν τε καὶ ζήτησιν [3] ᾧ μὴ θέμις ἦν, τῇ γηΐνῃ λέγω ζωῇ, προσνείμας. καὶ ταῖς αἰσθήσεσι συμφέρεσθαι μᾶλλον, ἢ πρὸς θεὸν φέρεσθαι τὴν διάνοιαν ἀνασχόμενος. Εἰ δὲ τῶν ἔτι διὰ τῆς πρακτικῆς πολεμικῶς κατὰ τῶν παθῶν ὡπλισμένος εἰμὶ, μήπω τῶν δ' αὐτῶν ἐλεῖν βουλομένων ἐχθρῶν καθαρῶς ὑπαλύξας τοὺς δόλους, καὶ στέρξω ἀδιακρίτως τὸ σῶμα, κατεσχέθην ὑπ' αὐτοῦ δῆλον, ὡς τὴν πρὸς αὐτὸ σχέσιν τοῦ δι' ἀρετῆς χωρισμοῦ προελόμενος. Κατασπᾶται οὖν ἄρα ὁ θεωρητικὸς ἄσχετος ἤδη κατὰ τὴν ἕξιν γινόμενος τῷ σώματι, τῶν θείων ἀμελῶν θεαμάτων. Κατέχεται δὲ ὁ πρακτικὸς ὁ τῷ σώματι μαχόμενος, ἐνδιδοὺς τῇ πρὸς αὐτὸ πάλῃ, καὶ τοῦ πονεῖν ὑπὲρ ἀρετῆς, ἥτις ἐστὶ ψυχῆς ἐλευθερία, τὸ δοῦλον εἶναι παθῶν ἐπιλεγόμενος.

Idem ibid. cap. 7. p. 261. tom. I. Opp. ed. Bened.
Cod. f. 119 a.

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ, Τίς ἡ περὶ ἐμὲ σοφία, καὶ τί τὸ μέγα τοῦτο μυστήριον; ἢ βούλεται [1] μοῖραν ἡμᾶς ὄντας θεοῦ, καὶ ἄνωθεν ῥεύσαντας, ἵνα μὴ διὰ τὴν | ἀξίαν ἐπαιρόμενοι καὶ μετεωριζόμενοι καταφρονῶμεν τοῦ κτίσαντος, ἐν τῇ πρὸς τὸ σῶμα πάλῃ καὶ μάχῃ πρὸς αὐτὸν ἀεὶ βλέπειν, καὶ τὴν συνεζευγμένην ἀσθένειαν παιδαγωγίαν εἶναι τοῦ ἀξιώματος.

Τούτοις τινὲς ἐντυγχάνοντες τοῖς λόγοις, μηδένα, ὡς ἔοικεν, ὑπὲρ τοῦ πονεῖν τῆς ζητήσεως ἕνεκεν τοῦ ἀληθοῦς μισθὸν ἐκδεχόμενοι, πρὸς τὸ εὔκολον καὶ πολλὰς ἔχον ἤδη
Ed. Gal. p. 7. ἐκ τῶν Ἑλληνικῶν δογμάτων τὰς ἀφορμὰς καταφεύγουσι, φάσκοντες τήν τέ ποτε οὖσαν κατὰ τὸ δόξαν αὐτοῖς τῶν λογικῶν ἑνάδα καθ' ἣν συμφυεῖς ὄντες θεῷ τὴν ἐν αὐτῷ μόνην [2] ἔχομεν καὶ ἵδρυσιν, προσέτι γε καὶ τὴν γενομένην κίνησιν, ἐξ ἧς σκεδασθέντα διαφόρως τὰ λογικὰ πρὸς γένεσιν τοῦ σωματικοῦ τούτου κόσμου τὸν θεὸν ἰδεῖν παρεσκεύασαν, χάριν τοῦ ἐνδῆσαι αὐτὰ σώμασιν ἐπὶ τιμωρίᾳ τῶν προημαρτημένων, διὰ τούτων αἰνίττεσθαι τῶν λόγων νομίζοντες τὸν διδάσκαλον. Ἀλλ' ἠγνόησαν ὡς ἀδύνατα ὑποτίθενται καὶ τῶν ἀμηχάνων καταστοχάζονται, καθὼς προϊὼν μετὰ τοῦ εἰκότος ὁ ἀληθὴς ἀποδείξει λόγος. Εἰ γὰρ. τὸ θεῶν ἀκίνητον, ὡς πάντων

3. δ cod. Gud.
1. μοῖραν ed. Gal., et cod. Gud. infra fol. 122. b. μοίρας cod. Gud.
2. εἴχομεν ed. Gal.

Digitized by Google

tem vitam transitoriam in divina summitate, neglexero vero deiformem habitum me ipsum ad corporis libens inclinans desiderium, dereptus sum gravatus pueris, id est curis, et a deo cecidi, utpote de solo regno caelorum cogitationem et inquisitionem, cui non licebat, terrenae dico vitae, attribuens, et sensibus conferendo, quam ad deum ferendo animum dehonestans. Si vero adhuc per activam vitam bellator contra armatas passiones sum, nondum per eas accipere volentium inimicorum pure effugiens dolos, et dilexere indiscrete corpus, detentus sum ab eo; videlicet ad illud habitum a virtute separari praesumens. Deripitur itaque contemplativus, immoderatus iam per habitum adveniens corpori, divinarum negligens contemplationum: detinetur vero activus corpori pugnans datus ad ipsum luctationi, laborando pro virtute, quae est animae libertas, servus esse passionum eligens.

Eiusdem ex eodem sermone, in hoc, ‚Quae erga me sapientia, et quod magnum mysterium? An vult partem nos esse dei, et desursum fluentes, ut non per dignitatem exaltati, et caelestia contemplantes despiciamus creatorem in luctatione ac pugna quae contra corpus est, ad ipsum semper adspiciendum, et coniunctam infirmitatem nutrituram esse dignitatis.'

deus cognoscit ea quae sunt, quoniam et volens ea quae sunt fecit. Hinc et ego aspiciens censeo secundum has dixisse scripturam rationes hoc, ‚Cognoscebam te super omnes,' ad Moysem, et de quibusdam hoc, ‚Cognovit dominus qui sunt sui,' et iterum hoc ad quosdam, ‚Non novi vos.' Sic profecto unumquemque aut secundum voluntatem et rationem, aut contra voluntatem et rationem dei voluntarius motus divinam audire vocem praeparavit. Haec et huiusmodi deiferum nunc virum arbitror intelligentem dicere, cum deiforme hoc et divinum nostrum animum et rationem proprio admiscebimus, et imago revertetur ad principale exemplar, cuius nunc habet appetitum. Ac per hoc similiter, per pauca haec verba, quodcunque aliquando, eorum quae sunt tetigisse mensuram arbitrantes aestimandum doctrinaliter retrahere, et rationem, quomodo pars dei sumus, declarare, et futuram beatae quietis proprietatem insinuasse, et ad immobilem ipsius, et quietem, et nullo modo cadentem fructum incitasse in ea quae in hoc est spe purgatos et festinantes. Oportebat enim quemadmodum ad hoc habemus et in essentia et ratione notiones per rationem et naturam recte quidem ingredi simplo ordine, et nos sine omni qualicunque quaestione, circa quam solam et peccare est et falli, deiformiter, quantum possibile est, omnia cognoscemus. Non iam per ignorantiam ab eo, qui circa ea est, motu detenti, merito magno animo et rationi et spiritui nostrum animum et rationem et spiritum, magis autem toti deo totos nos ipsos, veluti [20] principali exemplo imago, accedentes, sicut etiam in sermone qui est de Grandine edocet, sic dicens: Et nos quidem ineffabilis lux accipiet, et sanctae ac regalis contemplatio trinitatis illuminantis planius et purius et totius toti animo mixtae, quam etiam solam regnum caelorum ego pono, cum delectatione delectatur et laetatur, ut his quae sunt ipsius audax coniungam quae mea sunt, omnis creatura rationalis angelorum et hominum, quicunque nullam secundum motum qui ad finem est naturaliter compactarum eis divinarum rationum ab ipso creatore per negligentiam corruperunt, magis autem se ipsos temperanter salvaverunt, totos inconversibiliter, utpote divinae organa naturae, et esse et futuros esse scientes, quos per totum totus [21] circumspirans deus in modum animae veluti membra corporis compacta et optima domino factos ad voluntatem tractat, et propria implet gloria et beatitudine, vitam dans et donans aeternam atque ineffabilem, et omnibus modis universa liberam cognitione constitutae proprietatis praesentis, et per corruptionem constitutae vitae. Quam

20. Verte ***principali exemplari iconem***, ***permittentes*** cett. (Gale.)
21. Verte ***complectens***. (Gale.)

Digitized by Google

πασι παντὸς ἐλευθέραν γνωρίσματος συστατικῆς ἰδιότητος τῆς παρούσης καὶ [41] διὰ φθορᾶς συνισταμένης ζωῆς, ἣν οὐκ ἀὴρ εἰσπνεόμενος, οὐδ' αἵματος ὀχετοὶ τοῦ ἥπατος ἀποῤῥέοντες συνιστῶσιν, ἀλλὰ θεὸς ὅλος ὅλοις μετεχόμενος, καὶ ψυχῆς τρόπον πρὸς σῶμα τῇ ψυχῇ, καὶ διὰ μέσης ψυχῆς πρὸς σῶμα γινόμενος, ὡς οἶδεν αὐτὸς, ἵν' ἡ μὲν ἀτρεψίαν δέξηται, τὸ δὲ ἀθανασίαν, καὶ ὅλος ἄνθρωπος θεωθῇ τῇ τοῦ ἐνανθρωπήσαντος θεοῦ χάριτι θεουργούμενος, ὅλος μὲν ἄνθρωπος μένων κατὰ ψυχὴν καὶ σῶμα διὰ τὴν φύσιν, καὶ ὅλος |
Cod. f. 127 b. γινόμενος θεὸς κατὰ ψυχὴν καὶ σῶμα διὰ τὴν χάριν καὶ τὴν ἐμπρέπουσαν αὐτῷ διόλου θείαν τῆς μακαρίας δόξης λαμπρότητα, μεθ' ἣν οὐκ ἔστι τι ἐπινοῆσαι λαμπρότερον ἢ ὑψηλότερον. Τί γὰρ θεώσεως τοῖς ἀξίοις ἐρασμιώτερον, καθ' ἣν ὁ θεὸς θεοῖς γενομένοις ἑνούμενος τὸ πᾶν ἑαυτοῦ ποιεῖται δι' ἀγαθότητα; Διὸ καὶ ἡδονὴν καὶ πεῖσιν καὶ χαρὰν καλῶς ὠνόμασαν τὴν τοιαύτην κατάστασιν, τὴν τῇ θείᾳ κατανοήσει καὶ τῇ ἑπομένῃ αὐτῇ τῆς εὐφροσύνης ἀπολαύσει,
Ed Gal. p. 22. ἡδονὴν μὲν, ὡς τέλος οὖσαν τῶν κατὰ φύσιν ἐνεργειῶν (οὕτω γὰρ τὴν ἡδονὴν ὁρίζονται), πεῖσιν δὲ ὡς ἐκστατικὴν δύναμιν, πρὸς τὸ ποιοῦν τὸ πάσχον ἐνάγουσαν, κατὰ τὴν ἀποδοθεῖσαν τοῦ ἀέρος πρὸς τὸ φῶς καὶ [42] τοῦ πυρὸς πρὸς τὸν σίδηρον παραδειγματικὴν αἰτίαν, καὶ πείθουσαν φυσικῶς καὶ ἀληθῶς μὴ ἄλλο τι εἶναι παρὰ [43] τοῦτο τῶν ὄντων κεφάλαιον, ᾗ τὸ ἀπαθὲς δεόντως ἀκολουθεῖ, χαρὰν δὲ ὡς μηδὲν ἔχουσαν ἀντικείμενον μήτε παρελθὸν μήτε μέλλον. Τὴν χαρὰν γάρ [44] φασι μήτε λύπην ἐπίστασθαι παρελθοῦσαν, μητε τὸν ἐκ φόβου κόρον ἐπιδέχεσθαι προσδοκώμενον, ὥσπερ ἡ ἡδονή. Ὅθεν καὶ ὡς ἐνδεικτικὴν προσηγορίαν τῆς μελλούσης ἀληθείας ὑπάρχουσαν τὴν χαρὰν ἐκύρωσαν πανταχοῦ οἵ τε θεόπνευστοι λόγοι καὶ οἱ ἐξ αὐτῶν τὰ θεῖα σοφισθέντες μυστήρια πατέρες ἡμῶν. Εἰ τοίνυν ὡς ἐν ἐπιδρομῇ, κατ' ἐμὲ φάναι τὸν μικρὸν, φυσικῶς [45] τε καὶ γραφικῶς καὶ πατρικῶς δέδεικται,
Cod. f. 128 a. ὡς οὐδὲν τῶν [46] γενητῶν πώποτε κινούμενον ἔστη, οὐδὲ τῆς | ἐπ' [47] αὐτὸ κατὰ τὸν θεῖον σκοπὸν ἐπελάβετο λήξεως, πρὸς δὲ τούτοις καὶ ὡς ἀμήχανον τῆς ἐν τῷ θεῷ μονιμότητος τῶν ἀξιουμένων παρεγκλιθῆναι τὸ βάσιμον. Πῶς γάρ ἐστι δυνατὸν, ἵνα τοῖς εἰρημένοις μικράν τινα πρὸς βεβαίωσιν τὴν ἐκ λογισμῶν δῶμεν βοήθειαν, τοὺς ἅπαξ ἐν τῷ θεῷ ὑπαρκτικῶς γενομένους τὸν ὑβριστὴν κατὰ τὴν ἔφεσιν ὑποδέξασθαι κόρον, παντὸς κόρου κατὰ τὸν ἴδιον λόγον τε καὶ ὅρον ὀρέξεως τυγχάνοντος σβεστικοῦ, καὶ κατὰ δύο [48] συνισταμένου τρόπους. Ἡ γὰρ τὰ ὑποκείμενα ὡς μικρὰ περιγράφουσα ἡ ὄρεξις σβέννυται, ἢ ἀτιμάζουσα ὡς αἰσχρά τε καὶ εἰδεχθῆ

41. διαφθορᾶς cod. Gud. 42. τὸ πῦρ τοῦ σιδήρου ed. Gal. 43. τοῦ τὸ ed. Gal. 44. φαμὲν ed. Gal. 45. τε καὶ γραφικῶς non habet ed. Gal. 46. γεννητῶν ed. Gal. 47. αὐτῷ ed. Gal.

Digitized by Google

videlicet vitam aeternam non aer inspirans, neque sanguinis rivuli hepate fluentes constituunt, sed deus totus totis participatus, et animae in modum ad corpus animae et per mediam animam ad corpus factus, sicut novit ipse, ut ea quidem inconversibilitatem accipiat, illud vero immortabilitatem, et totus homo deificetur per inhumanati dei gratiam deificantis; totus quidem homo manens secundum animam et corpus per naturam, et totus factus deus secundum animam et corpus per gratiam, et convenientem sibi per totum divinam beatae gloriae claritatem, post quam nihil est ad intelligendum lucidius aut excelsius. Quid enim θεώσεως, id est deificatione dignis amabilius, per quam deus diis factis unitus omnino universitatem suam facit per bonitatem? Ac per hoc delectationem et passionem et gaudium bene nominaverim talem statum qui est per divinam notitiam et consequentem se laetitiae fructum: delectationem quidem merito, dum sit finis naturalium operationum. Sic enim delectationem definiunt; passionem vero veluti extendentem virtutem et ad id quod facit id quod patitur inducentem, secundum redditam aeris ad lucem et ad ignem ferri paradigmaticam causam, et credibilem naturaliter ac vere, neque aliud quid esse, praeter hoc eorum quae sunt capitulum, hoc est consummationem, quam impassibilitas opportune sequitur; gaudium quoque iure, dum nihil habeat contrapositum, neque praeteritum neque futurum; gaudium enim dicunt neque tristitiam nosse praeteritam, neque ex timore satietatem accepturum ire spectandam, sicut delectatio. Unde etiam veluti demonstrativam appellationem futurae veritatis subsistentem decreverunt ubique et a deo inspirati sermones et ex eis divina sapientes mysteria Patres nostri. Itaque quemadmodum in transitu apparet per me paululum, et naturaliter et per scripturam [22] et Patres ostensum est, quomodo nullum eorum quae facta sunt, unquam sistit motu, neque in se secundum divinam speculationem accepit quietem, cum his quoque, quomodo impossibile est in deo permansionis dignorum reprehendi firmitatem. Quomodo enim est possibile, ut his quae dicta sunt parvum quoddam ad confirmationem ex ratiocinationibus demus adiutorium, semel in deo substantialiter factos ingratam per desiderium accepisse satietatem, dum omnis satietas secundum suam rationem et definitionem constituta desiderium extinguat, et secundum duos constituatur modos. Aut enim quae subiecta sunt veluti parva circumscribens desiderium extinguit, aut spernens veluti turpia ac deformia abominatur, ex his satietas fieri consuevit. Deus vero natura sub-

48. συνιστάμενον ed. Gal.

22. Vocula *et* desideratur in ed. Gale.



Digitized by Google

Ed. Gal. p. 23. βδελύσσεται, ὑφ' ὧν ὁ κόρος γίνεσθαι πέφυκεν. Ὁ δὲ θεὸς φύσει ὑπάρχων ἄπειρός τε καὶ τίμιος ἐπιτείνειν μᾶλλον τῶν ἀπολαυόντων αὐτοῦ διὰ τῆς μετοχῆς πρὸς τὸ ἀόριστον τὴν ὄρεξιν πέφυκεν. Εἰ δὲ τοῦτ' ἀληθὲς, ὥςπερ οὖν καὶ ἐστὶν, οὐκ ἦν ἄρα ἡ λεγομένη ἑνὰς τῶν [49] λογικῶν, ἥτις κόρον λαβοῦσα τῆς ἐν τῷ θεῷ μονιμότητος ἐμερίσθη, καὶ τῷ οἰκείῳ σκεδασμῷ τὴν τοῦ κόσμου τούτου γένεσιν συνεισήγαγεν, ἵνα μὴ τὸ ἀγαθὸν ἐμπερίγραπτον ποιώμεθα καὶ ἄτιμον, ὡς κόρῳ τινὶ περιοριζόμενον καὶ στάσεως αἴτιον γινόμενον ἐκείνοις, ὧν τὴν ἔφεσιν ἀκίνητον κρατεῖν [50] οὐ δεδύνηται. Καὶ μάτην λοιπόν τινες ταύτην θεσπίζουσιν, ὡς ἐμοίγε δοκεῖ, τὰ μὴ ὄντα πλαττόμενοι, καὶ τὸ δὴ τούτου βαρύτερον, καὶ τοῦ μακαρίου τούτου πατρὸς ὡς ταῦτα φρονοῦντος καταψευδόμενοι, ἐφ' ᾧ μὴ μόνον αὐτοὺς ἐκ προτέρου εἴδους ζωῆς τὰς
Cod. f. 128 b. ψυχὰς εἰς σώματα ἐλθεῖν ἐπὶ τιμωρίᾳ τῶν προγεγονότων | κακῶν [51] φρονεῖν ἐπ' ἀδείας δύνασθαι, ἀλλὰ καὶ ἄλλους ἀπατᾶν οὕτως ἔχειν εὐλόγως ἐπιχειρεῖν διὰ τῆς τῶν προσώπων ἀξιοπιστίας, οὐ καλῶς οὐδ' ὁσίως πράττοντας, ἀλλ' ἐκείνους ἔχοντας ἀφέντες ὡς ἔχουσιν αὐτοὶ εὐσεβῶς ἡμεῖς τὸν νοῦν τοῦ διδασκάλου πρὸς τοῖς εἰρημένοις καὶ κατ' ἄλλον [52] σκοπήσομεν τρόπον. Οὐκ οἶμαι τῆς ἀνθρωπίνης αὐτὸν γενέσεως ἐνταῦθα, ἀλλὰ τῆς ἐπιγενομένης αὐτῇ ταλαιπωρίας τὴν αἰτίαν ἀφηγεῖσθαι βούλεσθαι. Θρηνήσας γὰρ τοῦ σώματος ἡμῶν τὴν ἐλεεινότητα διὰ τοῦ εἰπεῖν, Ὢ τῆς συζυγίας καὶ τῆς ἀλλοτριώσεως· ὃ φοβοῦμαι, περιέπω, καὶ ὃ στέργω, δέδοικα, καὶ τὰ ἑξῆς, καὶ οἷον πρὸς ἑαυτὸν διαπορήσας περὶ τῆς αἰτίας τῶν οἷς ἐνισχήμεθα κακῶν καὶ τῆς κατ' αὐτὴν σοφωτάτης προνοίας διὰ τοῦ φάναι, Τίς ἡ περὶ ἐμὲ σοφία, καὶ
Ed. Gal. p. 24. τί τὸ μέγα τοῦτο μυστήριον; ἐπάγει τὴν λύσιν τρανῶς ποιούμενος οὕτως· Ἢ βούλεται μοῖραν ἡμᾶς ὄντας θεοῦ καὶ ἄνωθεν ῥεύσαντας, ἵνα μὴ διὰ τὴν ἄξιαν ἐπαιρόμενοι καὶ μετεωριζόμενοι καταφρονῶμεν τοῦ κτίσαντος, ἐν τῇ πρὸς τὸ σῶμα πάλῃ καὶ μάχῃ πρὸς αὐτὸν ἀεὶ βλέπειν, καὶ τὴν συνεζευγμένην ἀσθένειαν παιδαγωγίαν εἶναι τοῦ ἀξιώματος. Ὡσανεὶ ἔλεγεν, ἐπειδήπερ ἐκ ψυχῆς καὶ σώματος δι' ἀγαθότητα [53] ὁ ἄνθρωπος γέγονε παρὰ τοῦ θεοῦ, ἐφ' ᾧ τὴν δοθεῖσαν αὐτῷ λογικήν τε καὶ νοερὰν ψυχὴν, ἅτε δὴ κατ' εἰκόνα τοῦ ποιήσαντος αὐτὴν ὑπάρχουσαν, κατὰ μὲν τὴν ἔφεσιν καὶ τὴν ἐξ ὅλης δυνάμεως [54] ὁλικὴν ἀγάπην ἀπρὶξ θεοῦ γνωστικῶς ἐχο-
Cod. f. 129 a. μένην, καὶ τὸ καθ' ὁμοίωσιν προσλαβοῦσαν θεωθῆναι, | κατὰ δὲ τὴν ἐπιστημονικὴν πρὸς τὸ ὑφειμένον πρόνοιαν, καὶ τὴν περὶ τὸ ἀγαπᾶν τὸν πλησίον ὡς ἑαυτὸν κελεύουσαν ἐντολὴν, ἐμφρόνως τοῦ σώματος ἀντεχομένην, λογίσαι τε δι' ἀρετῶν αὐτὸ καὶ οἰκειῶσαι θεῷ ὡς ὁμόδουλον δι' ἑαυτῆς μεσιτευούσης

---

49. πολιτικῶν cod. Gud. 50. οὐδὲ δύνηται ed. Gal. 51. φρονεῖν ed. Gal. 52. σκοπήσωμεν ed. Gal.

Digitized by Google

sistens infinitus ac pretiosus extendere magis fruentium se per participationem ad id quod infinitum est, desiderium consuevit. Si autem hoc verum, sicut et est, non erat igitur illa, quae dicta est, unitas rationabilium, quae satietatem accipiens perseverantiae quae in deo partita est, et ex propria discissione mundi huius generationem cointroduxit; ne optimum bonum circumscriptum faciamus et vile, veluti satietate quadam circumfinitum, et seditionis causam factam illis, quorum desiderium, id quod incommutabile est, tenere non potuit. [23] Et ne vanitatem talem quidam de caetero adorent, ut mihi videtur, ea quae non sunt fingentes, et quod eo gravius beatum hunc Patrem, veluti talia sapientem, calumnientur, in quo non solum se ex priori specie vitae animas in corpora venire in ultionem eorum quae ante perpetrata sunt malorum dicentes consequenter possunt, sed et alios seducere sic habere rationabiliter conando per personarum probitatem, neque bene neque sancte agentes, sed illos qui sic habent habere dimittentes, nos ipsi pie intellectum magistri cum his quae dicta sunt etiam per alium contemplabimur modum. Non arbitror igitur humanae eum generationis hic, sed ingenitae ei miseriae causam narrare voluisse. Lugens enim corporis nostri miseriam per hoc dicendo, ‚O coniunctionem et separationem quam dum timeo circumsequor, et quod amo dedi,' et reliqua: et veluti apud semet ipsum deliberans de causa eorum quibus dehonestamur malorum, et contra eam sapientissima prudentia disputans, per hoc quod dicit, ‚Quae erga me sapientia, et quod magnum mysterium?' addidit, solutionem plane faciens sic: ‚An vult partem nos esse dei, et desursum fluentes, ut non per dignitatem exaltati et caelestia contemplantes despiciamus creatorem in luctatione ac pugna quae contra corpus est ad ipsum semper aspiciendum et coniunctam infirmitatem nutrituram esse dignitatis.' Ac si sic diceret, quoniam quidem ex anima et corpore per bonitatem a deo factus est homo, in hoc meditabitur quod sibi rationalis et intellectualis data sit anima, quippe secundum imaginem facientis eam substituta, quae per desiderium quidem et ex tota virtute universalem caritatem firmiter deum cognitione possidet, et secundum similitudinem deificationem accipiet, secundum vero disciplinalem ad subiectum providentiam et de diligendo proximo sicut se ipsam iubens mandatum, prudenter corpus recipit, per virtutes etiam illud famulari deo efficit, ut conservum, et per suam medietatem factorem faciet possessurum, et data

---

53. *παρὰ τοῦ θεοῦ ὁ ἄνθρωπος γέγονεν* ed. Gal. 54. Eadem manus antiqua in cod. Gud. correxit *ὁλικῶς*.

23. Verte *et frustra eam* (unitatem) *deinceps praedicant*. (Gale.)



Digitized by Google

τὸν ποιητὴν ἔνοικον, καὶ τῆς δοθείσης ἀθανασίας ἄλυτον
δεσμὸν αὐτὸν ποιησομένην αὐτῷ τὸν συνδήσαντα, ἵν' ὅπερ
ἐστὶ θεὸς ψυχῇ, τοῦτο ψυχὴ σώματι γένηται, καὶ εἷς ἀπο-
δειχθῇ τῶν ὅλων δημιουργὸς, ἀναλόγως διὰ τῆς ἀνθρωπότη-
τος πᾶσιν ἐπιβατεύων τοῖς οὖσι, καὶ εἰς ἓν ἔλθῃ τὰ πολλὰ
ἀλλήλων κατὰ τὴν φύσιν διεστηκότα περὶ τὴν μίαν τοῦ ἀν-
θρώπου φύσιν ἀλλήλοις συννεύοντα, καὶ γένηται τὰ πάντα
ἐν πᾶσιν αὐτὸς ὁ θεὸς, πάντα περιλαβὼν καὶ ἐνυποστήσας
ἑαυτῷ, διὰ τοῦ μηδὲν [55] ἔτι τῶν ὄντων ἄφετον κεκτῆσθαι τὴν
κίνησιν, καὶ τῆς αὐτοῦ ἀμοίρον παρουσίας, καθ' ἣν καὶ θεοὶ
καὶ τέκνα καὶ σῶμα καὶ μέλη καὶ μοῖρα θεοῦ καὶ τὰ τοιαῦ-
τά ἐσμεν καὶ λεγόμεθα τῇ πρὸς τὸ τέλος ἀναφορᾷ τοῦ θείου
σκοποῦ. Ἐπειδὴ τοίνυν τοῦτο καὶ ἐπὶ τούτῳ ὁ ἄνθρωπος
Ed. Gal. p. 25. γέγονεν, ἐν δὲ τῷ προπάτορι τῷ ἑτοίμῳ πρὸς ἐξουσίαν ἐπὶ
τὸ χεῖρον ἐχρήσατο, μετενεγκὼν ἐκ τοῦ ἐπιτεταμμένου πρὸς
τὸ κεκωλυμένον τὴν ὄρεξιν (καὶ γὰρ ἦν αὐτεξούσιος, καὶ τοῦ
κολληθῆναι τῷ κυρίῳ καὶ ἓν πνεῦμα γενέσθαι, [56] καὶ τοῦ
κολληθῆναι τῇ πόρνῃ καὶ ἓν σῶμα γενέσθαι, ἀπατηθεὶς προ-
είλετο, καὶ τοῦ θείου καὶ μακαρίου σκοποῦ ἐκὼν ἑαυτὸν
ἀπεξένωσε, τοῦ θεὸς εἶναι χάριτι τὸ χοῦς γενέσθαι καθ'
Cod. f. 129 b. αἵρεσιν προτιμήσας), σοφῶς ἅμα καὶ φιλανθρώπως | καὶ τῇ
αὐτοῦ πρεπόντως ἀγαθότητι ὁ τὴν ἡμετέραν σωτηρίαν οἰκο-
νομῶν θεὸς τῇ παραλόγῳ κινήσει τῆς ἐν ἡμῖν νοερᾶς δυνά-
μεως παρεπομένην δεόντως τὴν τιμωρίαν παρέπηξεν, αὐτὸ
ἐκεῖνο τυχὸν κατὰ τὸν εἰκότα λόγον κολάσας θανάτῳ, περὶ
ὃ τὴν κατὰ νοῦν [57] μόνῳ θεῷ χρεωστουμένην τῆς ἀγάπης δυ-
ναμιν κατερρήξαμεν, ἵνα τοῦ μηδενὸς ἐρῶντες διὰ τοῦ πάσχειν
ποτὲ μαθόντες πρὸς τὸ ὂν πάλιν ταύτην ἐπανάγειν διδαχθῶ-
μεν τὴν δύναμιν. Ὅπερ προϊὼν ἐμφανέστερον ποιεῖται λέ-
γων, Ἀλλ' ἐμοὶ μὲν καὶ διὰ τοῦτο δοκεῖ μηδὲν τῶν ἐνταῦθα
ἀγαθῶν εἶναι πιστὸν τοῖς ἀνθρώποις, μηδὲ πολυχρόνιον.
ἀλλ' εἴπερ τι ἄλλο, καὶ τοῦτο καλῶς τῷ τεχνίτῃ λόγῳ καὶ
τῇ πάντα νοῦν ὑπερεχούσῃ σοφίᾳ μεμηχανῆσθαι, παίζεσθαι
ἡμᾶς ἐν τοῖς ὁρωμένοις, ἄλλο τε ἄλλως μεταβαλλομένοις καὶ
μεταβάλλουσι, καὶ ἄνω καὶ κάτω φερομένοις τε καὶ περι-
τρεπομένοις, καὶ πρὶν ληφθῆναι ἀπιοῦσι καὶ φεύγουσιν, ἵνα
τὸ ἐν τούτοις ἄστατον καὶ ἀνώμαλον θεωρήσαντες πρὸς τὸ
μέλλον μεθορμισώμεθα. Τί γὰρ ἂν ἐποιήσαμεν ἑστῶτος τοῦ
εὖ πράττειν ἡμῖν, ὁπότε οὐ μένοντος τοσοῦτον αὐτῷ προς-
δεδέμεθα, καὶ οὕτως ἡμᾶς ἡ περὶ τοῦτο ἡδονὴ καὶ ἀπάτη
ἔχει δουλώσασα, ὥστε μηδὲν κρεῖττον μηδὲ ὑψηλότερον τῶν
παρόντων διανοεῖσθαι δύνασθαι, καὶ ταῦτα κατ' εἰκόνα θεοῦ
γεγονέναι, καὶ ἀκούοντας καὶ πιστεύοντας τὴν ἄνω τε οὖσαν
Ed. Gal. p. 26. καὶ πρὸς ἑαυτὴν ἕλκουσαν; Καὶ πάλιν ἐν τῷ πρὸς τοὺς Πο-
λιτευομένους λόγῳ φάσκων, Ἵν' εἰδῶμεν τὸ μηδὲν ὄντες πρὸς

55. ἔτι desideratur in ed. Gal.

Digitized by Google

immortalitate insolubili vinculo illud sibi coniuncturum, ut quod deus animae, hoc anima corpori fiat, et unus ostendatur omnium creator, proportionaliter per humanitatem omnia ingrediens quae sunt, et in unum veniant multo a se invicem secundum naturam distantia, circa unam hominis naturam sibi invicem convenientia, et fit omnia in omnibus ipse deus omnia comprehendens, et unum substituens sibimet, eo quod nullum amplius eorum quae sunt sinitur possidere motum, et ipsius expers praesentiae, per quam et [24] dii et filii et corpus et membra et pars dei et horum similia et sumus et dicimur ea quae ad finem est relatione divinae speculationis. Quoniam igitur et hoc et in hoc homo factus est, in primo vero patre eo quod paratum est ad potentiam, abusus est ad malum, transferens ex eo quod concessum est ad id quod prohibitum est desiderium (etenim erat per se potens et adhaerere domino et in spiritum fieri, adhaerere meretrici et in corpus fieri seductus eligit, et divina et beata visione volens se ipsum expulit, sic dum esset deus gratia, terra fieri per voluntatem praehonorans), sapienter simul et misericorditer et suae convenienter bonitati nostrae salutis dispensator deus, irrationabili motui intellectualis virtutis, quae in nobis est, consequentem opportune affixit vindictam illud ipsum fortassis iuxta rationem puniens morte pro quo secundum animum soli deo debitam caritatis proiecimus virtutem; ut nihil amantes per passionem quandoque poenitentiam agentes, ad id quod est iterum eandem reducere disceremus virtutem. Quod quidem procedens manifestius facit dicens: ‚Sed mihi quidem per hoc videtur nihil hoc bonorum esse fidele hominibus neque longaevitatem, at si quid aliud et hoc bene artifici verbo et omnem intellectum superante sapientia machinatum est deludendo nos visibilibus in aliudque aliter transmotatis et transmotantibus, et sursum et deorsum ferentibus, et titubantibus, et priusquam comprehendantur abeuntibus et fugientibus, ut in his instabile et anomalum contemplantes ad futuram transeamus. Quid enim faceremus in praesenti, dum nobis ad bene agendum non permaneat, tantum ei attribuimus et sic nos erga ipsum delectatio et error habet servituti subiiciens, ita ut nihil melius neque excelsius praesentibus intelligere valeamus, et si haec audientes et credentes secundum imaginem dei nos factos fuisse sursum attendentem et ad se ipsam trahentem.‘ Et iterum in sermone ad Urbane viventes, dicens, ‚Ut sciamus nihil nos esse ad veram sa-

---

56. τὸ κολληθῆναι, omisso καὶ, ed. Gal. 57. μόνως ed. Gal.

24. De hac re egit Maximus in Prooemio ad Quaestiones in S. Scripturam, et alibi; fusius ibi innuit se acturum, quod hic fecit. V. Photium ad p. 498. (Gale.)

Digitized by Google

Cod. f. 130 a. τὴν ἀληθινὴν σοφίαν | καὶ πρώτην, ἀλλὰ πρὸς αὐτὸν ἀεὶ νεύωμεν μόνον, καὶ ζητῶμεν ταῖς ἐκεῖθεν αὐγαῖς ἐναστράπτεσθαι, εἴτε διὰ τῆς ἀνωμαλίας τῶν ὁρωμένων καὶ περιτρεπομένων, μετάγοντος ἡμᾶς ἐπὶ τὰ ἑστῶτα καὶ μένοντα. Οὐ τοίνυν, ὡς οἶμαι, τῆς κατὰ τὴν γένεσιν τῆς ἀνθρωπότητος [58] αἰτίας ἐν τούτοις, ὡς εἴρηται, ὁ διδάσκαλος ποιεῖται τὴν δήλωσιν, ἀλλὰ τῆς μετὰ τὴν γένεσιν ἐπεισαχθείσης τῇ ἡμετέρᾳ ζωῇ διὰ τὴν παράβασιν ταλαιπωρίας, ὡς τοῖς σπουδαιοτέρως καὶ ἐμμελεστέρως τοῖς θείοις αὐτοῦ γράμμασιν ἐμμελετῶσίν ἐστι καταφανές. Ταύτης μὲν γὰρ τὴν ὅθεν, καὶ δι' ὃ, καὶ ἐφ' ᾧ, καὶ οὗ ἕνεκεν αἰτίαν, διὰ τούτων ἡμῖν παρατίθεται τῶν λόγων δι' αὐτῆς τὴν οἰκονομουμένην ἡμῶν σοφῶς [59] παρὰ τοῦ Θεοῦ σωτηρίαν δηλῶν· ἐκείνης δὲ τὴν ἐφ' ᾧ γεγένηται μυστηρίῳ ὑπεμφαίνων δύναμιν ἑτέρῳ λόγων κέχρηται τρόπῳ, ὅλον αὐτοῦ περὶ τούτου τὸν εὐσεβῆ σκοπὸν φανερὸν ποιούμενος, ὡς ἐν τῷ εἰς τὰ γενέθλια λόγῳ δείκνυται λέγων, Νοῦς μὲν οὖν ἤδη καὶ αἴσθησις οὕτως ἀπ' ἀλλήλων διακριθέντα τῶν ἰδίων ὅρων ἐντὸς εἰστήκεισαν, καὶ τὸ τοῦ δημιουργοῦ λόγου μεγαλεῖον ἐν ἑαυτοῖς ἔφερον, σιγῶντες ἐπαινέται τῆς μεγαλουργίας καὶ διαπρύσιοι κήρυκες· οὔπω δὲ ἦν κράμα ἐξ ἀμφοτέρων, οὐδέ τις μίξις τῶν ἐναντίων, σοφίας μείζονος γνώρισμα καὶ τῆς περὶ τὰς φύσεις πολυτελείας, οὐδὲ ὁ πᾶς πλοῦτος τῆς ἀγαθότητος γνώριμος. Τοῦτο δὴ βουληθεὶς ὁ τεχνίτης ἐπιδείξασθαι λόγος καὶ ζῶον ἓν ἐξ
Cod. f. 130 b. ἀμφοτέρων, ἀοράτου λέγω καὶ ὁρατῆς φύσεως, | δημιουργεῖ τὸν ἄνθρωπον, καὶ παρὰ μὲν τῆς ὕλης λαβὼν τὸ σῶμα ἤδη προϋποστάσης, παρ' ἑαυτοῦ δὲ ζωὴν ἐνθεὶς (ὃ δὴ νοερὰν
Ed. Gal. p. 27. ψυχὴν καὶ εἰκόνα Θεοῦ οἶδεν ὁ λόγος), οἷόν τινα κόσμον δεύτερον ἐν μικρῷ μέγαν ἐπὶ τῆς γῆς ἵστησιν, ἄγγελον ἄλλον, προσκυνητὴν μικτὸν καὶ τὰ ἑξῆς. Ἐν δὲ τῷ εἰς τὰ φῶτα λόγῳ· Ἐπεὶ δὲ οὕτω ταῦτα ἢ τοῦτο· ἔδει δὲ μὴ τοῖς ἄνω μόνον τὴν προσκύνησιν περιγράφεσθαι, ἀλλ' εἶναί τινας καὶ κάτω προσκυνητὰς, ἵνα πληρωθῇ τὰ πάντα δόξης Θεοῦ, ἐπεὶ καὶ Θεοῦ· καὶ διὰ τοῦτο κτίζεται ἄνθρωπος χειρὶ Θεοῦ τιμηθεὶς καὶ εἰκόνι. Ἀρκεῖν μὲν καὶ ταῦτα ὑπολαμβάνω, κἂν εἰ μικρὰ τυγχάνοι, τῷ μὴ πάντη φιλονείκως διακειμένῳ, καὶ μόνον τὸ μάχεσθαι ἐπίδοξον κρίνοντι, πρὸς τὸ ἐνδείξασθαι τὴν ὅλην τοῦ διδασκάλου περὶ τῶν εἰρημένων διάνοιαν. Εἰ δὲ ἔτι περὶ τοῦ πῶς Θεοῦ μοῖραν ὁ διδάσκαλος ἡμᾶς ἐκάλεσεν ἀπομάχεται, πολλαχῶς μὲν ἤδη ἀνωτέρω ὁ περὶ τούτου ἀποδέδοται λόγος. Ἵνα δὲ πιστότερος γένηται τοῖς τοῦ πνεύματος ἐρειδόμενος λόγοις, ὁ ἅγιος καὶ μακάριος ἀπόστολος Παῦλος, ὃ τὴν ἀποκεκρυμμένην ἐν τῷ Θεῷ πρὸ τῶν αἰώνων κομισάμενος σοφίαν, καὶ πάντα τὸν ἀφεγγῆ τῶν ἀνθρώπων βίον καταφωτίσας, καὶ τῆς ἀγνοίας τὸν ζόφον τῶν ψυχῶν

58. *αἰτίας* desideratur in ed. Gal.

Digitized by Google

plentiam et primam, sed ad ipsum semper intendamus solummodo et quaeramus qui inde sunt splendoribus coruscare, siquidem per inaequalitatem visibilium et titubantium transducit nos in ea quae stant et permanent.' Non igitur, ut arbitror, ipsius quae secundum generationem humanitatis est causae in talibus, ut dictum est, magister facit declarationem, sed ipse usque post generationem nostram aggravat vitam infelicitatis propter praevaricationem, quemadmodum curiosius et studiosius divinas ipsius literas cogitantibus est manifestum. Istius enim causam unde, et per quid, et ex quo, et propter quid per haec nobis addidit verba propter eam administratam nostram sapienter a deo salutem declarans; illius vero, in quo facta est mysterio insinuans virtutem altero verborum usus est modo, totam sui de hoc piam voluntatem faciens manifestam; sicut in eo qui est in γενέθλια, id est nativitates, sermone manifestat dicens: ‚Animus igitur iam et sensus, sic a se invicem discreti propriis definitionibus, intus steterunt, et creatoris verbi magnitudinem in se ipsis ferebant, silentes laudabant magnificentiam, magnivoci praedicatores, nondum vero erat concretio ex utrisque, neque quaedam mixtura contrariorum sapientiae maioris et circa naturas multae perfectionis indicia, neque omnes thesauri bonitatis cogniti; hoc autem volens artifex verbum ostendere, animal unum ex invisibili dico et visibili natura hominem creat; et ex materia quidem accipiens corpus iam ante substituta, a se ipso vero vitam imponit (intellectualem quoque animam et imaginem dei novit verbum), veluti quendam mundum secundum, in parvo magnum, in terra statuit, angelum alium, adoratorem mixtum', et reliqua. In eo vero qui est in Φῶτα, hoc est Baptismate, sermone: ‚Quoniam sic haec aut hoc: oportebat vero non his qui sursum sunt solummodo adorationem circumscribi, sed esse quosdam et deorsum adoratores, ut implerentur omnia gloria dei, quoniam et dei; et propterea creatur homo manu dei, honorificatus etiam imagine.' Haec quidem sufficere suscipio, etsi parva constituant, non omnino contentiose discernenti et solummodo pugnare gloriosum non iudicanti, ad ostendendam totam magistri de his quae dicta sunt intelligentiam. Si autem de hoc, quomodo dei portionem magister nos vocavit, repugnatur, multipliciter quidem iam superius de hoc reddita est ratio; ut autem fidelior fiat spiritualibus contendens verbis, sanctus et beatus apostolus Paulus occultam in deo ante secula laudans sapientiam, et omnem tenebrosam humanam vitam illuminans, et ignorantiae caliginem animabus abigens, de hoc satisfacit Ephesiis, dicens haec: ‚Ut deus

59. περὶ ed. Gal.

Digitized by Google

Eph. 1, 17sqq. ἀπελάσας, ἀρκέσει περὶ τούτου Ἐφεσίοις διεξιὼν τάδε, Ἵνα ὁ θεὸς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὁ πατὴρ τῆς δόξης δώῃ ὑμῖν πνεῦμα σοφίας καὶ ἀποκαλύψεως ἐν ἐπιγνώσει αὐτοῦ, πεφωτισμένους τοὺς ὀφθαλμοὺς τῆς καρδίας ὑμῶν, εἰς
Cod. f. 131 a. τὸ εἰδέναι ὑμᾶς τίς ἐστιν ἡ ἐλπὶς τῆς κλήσεως | αὐτοῦ, καὶ τίς ὁ πλοῦτος τῆς δόξης τῆς κληρονομίας αὐτοῦ ἐν τοῖς ἁγίοις, καὶ τί τὸ ὑπερβάλλον μέγεθος τῆς δυνάμεως αὐτοῦ εἰς ἡμᾶς τοὺς πιστεύοντας, κατὰ τὴν ἐνέργειαν τοῦ κράτους τῆς ἰσχύος αὐτοῦ, ἣν ἐνήργησεν ἐν Χριστῷ, ἐγείρας αὐτὸν ἐκ νεκρῶν, καὶ καθίσας αὐτὸν ἐν δεξιᾷ αὐτοῦ ἐν τοῖς οὐρα-
Ed. Gal. p. 28. νοῖς, ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως καὶ κυριότητος, καὶ παντὸς ὀνόματος ὀνομαζομένου, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι, καὶ πάντα ἔδωκεν ὑπὸ τοὺς πόδας αὐτοῦ, καὶ αὐτὸν ἔδωκε κεφαλὴν ὑπὲρ [60] πάντα τῇ ἐκκλησίᾳ, ἥτις ἐστὶ τὸ σῶμα αὐτοῦ, τὸ
Eph. 4, 11sqq. πλήρωμα τοῦ τὰ πάντα ἐν πᾶσι πληρουμένου. Καὶ μεθ ἕτερα πάλιν· Καὶ αὐτὸς ἔδωκε τοὺς μὲν ἀποστόλους, τοὺς δὲ προφήτας, τοὺς δὲ εὐαγγελιστὰς, τοὺς δὲ ποιμένας καὶ διδασκάλους, πρὸς τὸν καταρτισμὸν τῶν ἁγίων εἰς ἔργον διακονίας, εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ, μέχρι καταντήσομεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ τῆς ἐπιγνώσεως τοῦ υἱοῦ τοῦ θεοῦ, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, ἵνα μηκέτι ὦμεν νήπιοι [61] κλυδωνιζόμενοι καὶ περιφερόμενοι παντὶ ἀνέμῳ τῆς διδασκαλίας, ἐν τῇ κυβείᾳ τῶν ἀνθρώπων, ἐν πανουργίᾳ, πρὸς τὴν μεθοδείαν τῆς πλάνης, ἀληθεύοντες δὲ ἐν ἀγάπῃ αὐξήσωμεν εἰς αὐτὸν τὰ πάντα, ὅς ἐστιν ἡ κεφαλὴ ὁ Χριστὸς, ἐξ οὗ πᾶν τὸ σῶμα συναρμολογούμενον καὶ συμβιβα-
Cod. f. 131 b. ζόμενον διὰ πάσης ἁφῆς τῆς ἐπιχορηγίας | κατ' ἐνέργειαν ἑνὸς ἑκάστου μέλους τὴν αὔξησιν τοῦ σώματος ποιεῖται εἰς οἰκοδομὴν ἑαυτοῦ ἐν ἀγάπῃ. Οὐκ οἶμαι λοιπὸν ἄλλης ἐπιδεῖσθαι μαρτυρίας τὸν [62] εὐσεβεῖν ἐγνωκότα πρὸς φανέρωσιν τῆς κατὰ Χριστιανοὺς ἀληθῶς πεπιστευμένης ἀληθείας, σαφῶς μαθόν-
Ephes. 1, 10. 22. τες δι' αὐτῆς ὅτι καὶ μέλη καὶ σῶμα καὶ πλήρωμά ἐσμεν τοῦ τὰ πάντα ἐν πᾶσι πληρουμένου Χριστοῦ τοῦ θεοῦ, κατὰ τὸν πρὸ τῶν αἰώνων ἐν τῷ θεῷ καὶ πατρὶ ἀποκεκρυμμένον σκοπὸν ἀνακεφαλαιούμενοι εἰς αὐτὸν διὰ τοῦ υἱοῦ αὐτοῦ καὶ κυρίου Ἰησοῦ Χριστοῦ τοῦ θεοῦ ἡμῶν. Τὸ γὰρ μυστήριον τὸ ἀποκεκρυμμένον μὲν ἀπὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν, νῦν δὲ φανερωθὲν διὰ τῆς τοῦ [63] υἱοῦ καὶ θεοῦ ἀληθινῆς καὶ
Ed. Gal. p. 29. τελείας ἐνανθρωπήσεως, τοῦ ἑνώσαντος ἑαυτῷ καθ' ὑπόστασιν ἀδιαιρέτως τε καὶ ἀσυγχύτως τὴν ἡμετέραν φύσιν, καὶ ἡμᾶς διὰ τῆς ἐξ ἡμῶν καὶ ἡμετέρας νοερῶς τε καὶ λογικῶς ἐψυχωμένης ἁγίας αὐτοῦ σαρκὸς, ὥσπερ δι' ἀπαρχῆς ἑαυτῷ συμπηξαμένου, καὶ ἓν καὶ ταὐτὸν ἑαυτῷ εἶναι κατὰ τὴν αὐτοῦ

60. *παντὸς τῆς ἐκκλησίας* ed. Gal.

Digitized by Google

domini nostri Iesu Christi pater gloriae det vobis spiritum sapientiae et revelationis, in cognitione eius, illuminatos oculos cordis vestri, ut sciatis vos quae sit spes vocationis eius, et quae divitiae gloriae haereditatis eius in sanctis, et quae sit supereminens magnitudo virtutis eius in nos, credentes secundum operationem potentis virtutis eius, quam operatus est in Christo, suscitans eum ex mortuis, et eum sedere faciens in dextra sua in caelestibus, super omnem principatum et potestatem et virtutem et dominationem et omne nomen nominatum, non solum in saeculo hoc, sed etiam in futuro; et omnia dedit sub pedibus eius, et eum dedit caput super omnia ecclesiae, quae est corpus eius et plenitudo eius, omnia in omnibus implentis.' Et post aliquanta iterum: ,Ipse dedit quosdam quidem apostolos, quosdam vero prophetas, quosdam evangelistas, quosdam pastores et magistros, ad cognitionem sanctorum in opus administrationis, in aedificationem corporis Christi, donec occurramus omnes in unitatem fidei et cognitionis filii dei in virum perfectum, in mensuram aetatis plenitudinis Christi, ut iam non simus parvuli fluctuantes, et circumferamur omni vento doctrinae in nequitia hominum, in astutia ad artem erroris: Veridici autem in caritate crescamus in eum per omnia, qui est caput Christus, ex quo omne corpus compaginatum et collocatum per omnem ab eo administrationem, secundum operationem uniuscuiusque membri, incrementum corporis facit in aedificationem suimet in dilectione.' Non aestimo de caetero alicuius indigere testimonii pie vivere cognoscentem ad manifestationem secundum Christianos vere creditae veritatis, aperte discentem per illud, ,Quia et membra et corpus et plenitudo sumus omnia in omnibus implentis Christi dei secundum ante secula in deo et patre occultam voluntatem recapitulati in ipsum per filium suum et dominum Iesum Christum dominum nostrum.' Mysterium enim occultum erat a seculis et a generationibus, nunc autem manifestatum per filii dei veram et perfectam inhumanationem, qui sibi adunavit secundum substantiam inseparabiliter et inconfuse nostram naturam, et nos per eam quae ex nobis et nostra est intellectualiter et rationaliter animatam sanctam suam carnem, veluti per primitias sibi copulavit, et unum et id ipsum sibimet esse per suam humanitatem dignatus est; sicut praedestinatum est ante saecula in ipso esse veluti membra corporis sui, in modum animae ad corpus, in spiritu compaginavit sibi, et contulit, et in mensura induxit aetatis spiritualis, secundum ipsum plenitudinis: ostendit etiam nos in hoc fa-

61. *κλυδανιζόμενοι* ed. Gal. 62. *εὐσεβῆ* ed. Gal. 63. *υἱοῦ τοῦ θεοῦ* ed. Gal.

Digitized by Google

ἀνθρωπότητα καταξιώσαντος, καθὼς προωρίσθημεν πρὸ τῶν αἰώνων ἐν αὐτῷ εἶναι ὡς μέλη τοῦ σώματος αὐτοῦ, ψυχῆς τρόπον πρὸς σῶμα ἐν πνεύματι συναρμολογοῦντος ἑαυτῷ καὶ συμβιβάζοντος, καὶ εἰς μέτρον ἄγοντος ἡλικίας πνευματικῆς τοῦ κατ' αὐτὸν πληρώματος, ἔδειξε καὶ ἡμᾶς ἐπὶ τούτῳ γεγενῆσθαι, καὶ τὸν πρὸ τῶν αἰώνων περὶ ἡμᾶς [64] παντάγαθον τοῦ θεοῦ σκοπὸν, μὴ δεξάμενον καθ' ὁτιοῦν καινισμὸν κατὰ τὸν ἴδιον λόγον, εἰς πλήρωσιν δὲ ἐλθόντα δι'
Cod. f. 132 a. ἄλλου δηλαδὴ ἐπειςαχθέντος καινοτέρου | τρόπου. Ἔδει γὰρ τοῦ μὲν θεοῦ ἑαυτῷ ὁμοίους ἡμᾶς ποιήσαντος (τῷ ἔχειν τῆς αὐτοῦ ἀγαθότητος μεθεκτῶς ἀκριβῆ γνωρίσματα, καὶ ἐν αὐτῷ εἶναι πρὸ τῶν αἰώνων σκοπήσαντος, καὶ τὸν εἰς τοῦτο τὸ παμμακάριστον ἄγοντα τέλος, δόντος ἡμῖν τρόπον διὰ τῆς τῶν φυσικῶν δυνάμεων εὐχρηστίας, τοῦ δὲ ἀνθρώπου ἑκουσίως τοῦτον παρωσαμένου τὸν τρόπον τῇ παραχρήσει τῶν φυσικῶν δυνάμεων), ἵνα μὴ πόρρω τοῦ θεοῦ γένηται ξενωθεὶς ὁ ἄνθρωπος, ἄλλον ἀντειςαχθῆναι τοῦ προτέρου παραδοξότερόν τε καὶ θεοπρεπέστερον, ὅσον τοῦ κατὰ φύσιν ἐστὶ τὸ ὑπὲρ φύσιν ἀνώτερον. Καὶ τοῦτό ἐστι τῆς πρὸς ἀνθρώπους τοῦ θεοῦ μυστικωτάτης ἐπιδημίας, ὡς πάντες πιστεύο-
Hebr. 8, 7. μεν, τὸ μυστήριον. Εἰ γὰρ, φησὶν ὁ θεῖος ἀπόστολος, ἡ πρώτη διαθήκη ἔμεινεν ἄμεμπτος, οὐκ ἂν δευτέρας ἐζητεῖτο τόπος. Καὶ γὰρ πᾶσι κατάδηλόν ἐστιν, ὡς τὸ ἐν Χριστῷ γενόμενον ἐπὶ τέλει τοῦ αἰῶνος μυστήριον ἀναμφιβόλως τοῦ
Ed. Gal. p. 30. ἐν ἀρχῇ τοῦ αἰῶνος ἐν τῷ προπάτορι παρεθέντος ἀπόδειξις καὶ ἀποπλήρωσίς ἐστιν. [65] Ἆρ' οὖν χρησίμως εἴρηται τῷ διδασκάλῳ ἡ τῆς μοίρας φωνὴ, κατὰ τοὺς ἀποδοθέντας τρόπους, καὶ πᾶς εὐγενὴς καὶ ψυχὴν καὶ τρόπον δέξαιτο ἂν οὕτω λεγομένην τὴν φωνὴν, μηδεμίαν ἑαυτῷ κυβείαν λογισμῶν παραγεννῶν, εἰδὼς ταὐτὸν εἶναι τῷ μέλει τὴν μοῖραν ἐν τοῖς τοιούτοις. Εἰ γὰρ μέρος τοῦ σώματός ὑπάρχει τὸ μέλος, τὸ δὲ μέλος ταὐτόν ἐστι τῇ μοίρᾳ, ταὐτὸν ἄρα τὸ μέλος τῇ μοίρᾳ ἔσται. Εἰ δὲ ταὐτὸν τῷ μέλει ἐστὶν ἡ μοῖρα, μελῶν δὲ ἀθροισμὸς καὶ
Cod. f. 132 b. σύνθεσις σῶμα ποιεῖ | ὀργανικὸν, σῶμα δὲ ὀργανικὸν ψυχῇ ἑνωθὲν νοερᾷ ἄνθρωπον τέλειον δείκνυσιν, ἄρα μέρος ἀνθρώπου ὁ λέγων εἶναι τὴν ψυχὴν ἢ τὸ σῶμα ἢ μέλος αὐτοῦ τῆς ἀληθείας οὐχ ἁμαρτήσεται. Εἰ δὲ τῆς νοερᾶς ψυχῆς ὡς ἀνθρώπου ὑπάρχει τὸ σῶμα ὄργανον, δι' ὅλου δὲ τοῦ σώματος ὅλη χωροῦσα ἡ ψυχὴ τὸ ζῆν αὐτῷ καὶ κινεῖσθαι δίδωσιν, ὡς ἁπλῆ τὴν φύσιν καὶ ἀσώματος, μὴ συνδιατεμνομένη ἢ συναποκλειομένη αὐτῷ, ἀλλ' ὅλῳ καὶ ἑκάστῳ τῶν αὐτοῦ μελῶν, ὡς πέφυκεν αὐτὴν ὑποδέχεσθαι κατὰ τὴν φυσικῶς ὑποκειμένην αὐτῷ δεκτικὴν τῆς ἐνεργείας αὐτῆς δύναμιν, ὅλη παροῦσα τὰ διαφόρως αὐτῆς δεκτικὰ μέλη ἀναλόγως πρὸς τὴν τοῦ ἓν εἶναι σῶμα συντήρησιν ἐπισφίγγει, ὁδηγείσθω ἐπὶ τὸ μέγα καὶ ἄῤῥητον τῆς τῶν Χριστιανῶν

64. *παπάγαθον* ed. Gal.

Digitized by Google

ctos fuisse et ante saecula erga nos optimam dei voluntatem non accipiendam per aliquam novitatem, secundum propriam vero rationem, in plenitudinem venit per alium profecto introductum mirabiliorem modum. Oportebat enim deum quidem (sibimet similes nos facientem, habentes bonitatis ipsius participaliter acuta insignia, et in se ante saecula videntem, et in hunc omnino beatissimum finem ducentem, modum nobis per bonum usum naturalibus potentiis largientem; homine vero voluntarie hunc modum expellente per abusionem naturalibus potentiis), ut non longe a deo fieret peregrinans homo, alium introducere priori mirabiliorem et diviniorem, quantum eo quod est secundum naturam quod super naturam est superius. Et hoc est secretissimae dei ad hominem peregrinationis, quantum omnes credimus, mysterium. ‚Si enim', inquit divinus apostolus, ‚primum testamentum maneret incontaminatum, non quaereretur secundi locus.' Etenim omnibus praeclarum est, quomodo in Christo factum in fine saeculi mysterium, sine dubio in principio saeculi in primo parente praevaricationis est approbatio et consummatio. Utiliter ergo dictum est a magistro ‚partis' vox secundum redditos modos, et omnis ingenuus et animam et membrorum modum, acceperit sic dictam vocem, nullam sibi cogitationum nequitiam afferens, sciens id ipsum esse membrum et partem in talibus. Si enim portio corporis subsistit membrum, portio autem id ipsum est et pars, id ipsum itaque membrum et pars est. Si autem id ipsum membrum est et pars, membrorum vero cumulatio et compositio corpus facit organicum, corpus autem organicum animae unitum intellectuali hominem perfectum ostendit, igitur partem hominis qui dicit esse animam seu corpus seu membrum eius, a veritate non aberrabit. Si autem intellectualis animae, utpote hominis, subsistit corpus organum, per totum vero corpus tota implens anima vivere ei et moveri dat, ut simpla per naturam et incorporalis, non condispertita aut conclusa in eo, sed toti et unicuique membrorum eius sic consuevit eam suscipere iuxta naturaliter subiectam sibi acceptivam operationis animae virtutem tota praesens differenter eam accipientia membra proportionaliter ad observationem unum fieri corpus adiungit; introductum est in magnum et ineffabile Christianorum beatae spei mysterium, et parvis et secundum nos, magnas et supra nos non alienas accipiens similitudines, qui quietam et bene facilem de talibus adhuc intelligentiam creavit. Ac de hoc, quod animae ante corpora subsistant irrationabilem opinionem relinquens, nobiscum credat domino dicenti de his qui in resurrectionem sur-

65. ἄρα οὖν ed. Gal.

Digitized by Google

μακαρίας ἐλπίδος μυστήριον, ἐκ τῶν μικρῶν καὶ καθ' ἡμᾶς τῶν μεγάλων καὶ ὑπὲρ ἡμᾶς οὐκ ἀγεννῆ λαβὼν τὰ εἰκάσματα, ὅτις ἀπαγῆ καὶ εὐκράδαντον περὶ τούτων ἔτι τὴν διάνοιαν κέκτηται. Καὶ τὴν περὶ τοῦ προϋπάρχειν τῶν σωμάτων τὰς ψυχὰς οὐκ εὔλογον δόξαν ἀφεὶς μεθ' ἡμῶν πιστεύσει τῷ κυρίῳ λέγοντι περὶ τῶν εἰς τὴν ἀνάστασιν ἐγειρομένων μὴ δύνασθαι ἀποθνήσκειν, διὰ τὴν αὐτοῦ δηλαδὴ καθαρωτέραν
Ed. Gal. p. 31. [66] ἐσχάτου ὀρεκτοῦ φανέρωσίν τε καὶ μετουσίαν. Καὶ πάλιν,
Ioann. 11, 25. Πᾶς ὁ ζῶν καὶ πιστεύων εἰς ἐμὲ, οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα. Ὅπερ εἰ [67] προεγεγόνει ποτὲ, ἀδύνατον ἦν, ὡς προαποδέδεικται, τὸν κατὰ τροπήν τινα οἷον δήποτε δέξασθαι
Cod. f. 133 a. θάνατον. Καὶ τῶν φυσικῶν ἔξω μὴ βαινέτω λογισμῶν, | διακενῆς τὴν οὐκ οὖσαν περὶ ψυχῆς δόξαν θεσπίζων. Εἰ γὰρ ἀνθρώπου μέρη, καθὼς προαποδέδοται, τὸ σῶμα καὶ ἡ ψυχὴ τυγχάνουσι, τὰ δὲ μέρη τὴν εἰς τὸ πρός τι ἐξ ἀνάγκης ἀναφοραν δέχεται (ὅλον γὰρ ἔχει πάντως κατηγορούμενον), τὰ δὲ οὕτω λεγόμενα πρός τι τῶν ἅμα πάντη τε καὶ πάντως κατὰ [68] τὴν γένεσίν ἐστιν, ὡς μέρη εἶδος ὅλον τῇ συνόδῳ ἀποτελοῦντα, ἐπινοίᾳ μόνῃ τῇ πρὸς διάγνωσιν τοῦ τί κατ' οὐσίαν ἕκαστον ἀλλήλων διαιρούμενα, — ψυχὴν ἄρα καὶ σῶμα, ὡς μέρη ἀνθρώπου, ἀλλήλων προϋπάρχειν χρονικῶς ἢ μεθυπάρχειν ἀμήχανον, ἐπεὶ ὁ τοῦ πρός τι οὕτω λεγόμενος λυθήσεται λόγος. Καὶ πάλιν. Εἰ γὰρ καθ' αὐτὸ εἶδος πρὸ τοῦ σώματός ἐστιν ἡ ψυχὴ ἢ τὸ σῶμα, εἶδος δὲ ἄλλο τούτων ἑκάτερον κατὰ τὴν ψυχῆς πρὸς τὸ σῶμα σύνθεσιν, ἢ σώματος πρὸς ψυχὴν, ἀποτελεῖ, ἢ πάσχοντα πάντως τοῦτο ποιεῖ, ἢ πεφυκότα. Καὶ εἰ μὲν πάσχοντα, πεπόνθασιν εἰς ὅπερ οὐκ ἦν ἐξιστάμενα, καὶ φθείρεται, εἰ δὲ πεφυκότα, ἀεὶ τοῦτο διὰ τὸ πεφυκὸς ἐργάσεται δηλονότι, καὶ οὐδέποτε παύσεται ἡ ψυχὴ τοῦ μετενσωματοῦσθαι, οὐδὲ τοῦ μετεμψυχοῦσθαι τὸ σῶμα. Ἀλλ' οὐκ ἔστιν, ὡς οἶμαι, τοῦ πάθους ἢ τῆς τῶν μερῶν φυσικῆς δυνάμεως κατὰ τὴν πρὸς θάτερον θατέρου σύνοδον ἡ τοῦ ὅλου κατ' εἶδος ἐκπλήρωσις, ἀλλὰ
Ed. Gal. p. 32. τῆς ἐπ' αὐτοῖς ἅμα κατ' εἶδος ὅλον γενέσεως. Οὐκ ἔστιν οὖν δύνατον ἄνευ φθορᾶς ἐξ εἰδους εἰς εἶδος μεταβάλλειν τὸ οἱονοῦν εἶδος. Εἰ δὲ ὅτι μετὰ τὸν θάνατον καὶ τὴν λύσιν τοῦ
Cod. f. 133 b. σώματος ἔστιν ἡ ψυχὴ καὶ ὑφέστηκε φήσουσι καὶ | πρὸ τοῦ σώματος εἶναι αὐτὴν δύνασθαι καὶ ὑφεστάναι, [69] οὐκ ἐστοχασμένως, ἔμοιγε δοκεῖ, ὁ λόγος αὐτοῖς προέρχεται. Οὐχ ὁ αὐτὸς γὰρ γενέσεως καὶ οὐσίας λόγος. Ὁ μὲν γὰρ τοῦ ποτε καί που εἶναι καὶ πρός τι ἐστὶν, ὁ δὲ τοῦ εἶναι καί τι καί πως εἶναί ἐστι δηλωτικός. Εἰ δὲ τοῦτο, ἐστὶ μὲν ἀεὶ μετὰ τὸ γενέσθαι διὰ τὴν οὐσίαν ἡ ψυχὴ, οὐκ ἄφετος δὲ διὰ τὴν γένεσιν, ἀλλὰ μετὰ τῆς σχέσεως τοῦ ποτε καί που καὶ πρός τι. Οὐχ ἁπλῶς γὰρ λέγεται ψυχὴ μετὰ τὸν τοῦ σώματος

66. ὡς ἐσχάτου ed. Gal.

Digitized by Google

gent non posse mori propter ipsius videlicet purgatissimam iure novissimi dati manifestationem et participationem. Et iterum, ‚Omnis qui vivit et credit in me, non morietur in aeternum.' Quod quidem si ante fieret aliquando, impossibile esset, ut ante datum est, per conversionem quandam qualemcunque recipere mortem. Et extra naturales non egrediatur rationes, per vanitatem, non existentem de anima opinionem divinitus admirans. Si enim hominis partes, sicut ante redditum est, corpus et anima constituuntur, partes autem necessario relationem ad aliquid accipiunt; totum enim habet omnino praedicamentum. Quae vero sic dicuntur ad aliquid, eorum sunt quae simul ubique et semper secundum generationem sunt, quemadmodum partes speciem totam coitu perficiunt, sola intelligentia ad hoc dignoscendum quid sit secundum essentiam unumquodque a se invicem separata; animam igitur et corpus merito partes hominis inter se invicem ante subsistere temporaliter aut post subsistere impossibile est, alioqui ratio illa quae sic dicitur ad aliquid solvetur. Et iterum, si per se species ante corpus est anima aut corpus, speciem vero aliam horum utrumque secundum animae ad corpus compositionem aut corporis ad animam perficit, aut patientia omnino hoc faciunt aut naturaliter existentia. Et si quidem patientia, patiuntur id quod non erant existere, et corrumpuntur: si vero naturaliter existentia, semper hoc, eo quod naturale est, profecto operabuntur, et nunquam quiescet anima coincorporari, neque coinanimari corpus. Sed non est, ut arbitror, passionis aut partium naturalis potentiae, secundum alterius coitum ad alteram, totius secundum speciem plenitudo, sed in ipsis simul secundum speciem totam generationis est. Nonne igitur possibile sine corruptione ex specie in speciem transmittere qualemcunque speciem? Si autem quia post mortem et solutionem corporis est anima et subsistit, dicunt etiam ante corpus esse eam posse et subsistere, inconsiderate, ut mihi videtur, ratio eorum procedit. Non enim eadem est generationis et essentiae ratio. Ea enim quando et ubi esse et ad quid est, ea vero esse et quid et quomodo esse est declarat. Si autem hoc, est quidem semper, postquam fit, per essentiam anima, enimvero non absoluta, per generationem, sed cum coniunctione temporis et loci et ad aliquid. Non enim simpliciter dicitur anima post mortem corporis ipsa anima, sed hominis anima, et cuiusdam hominis anima; habet enim et post corpus sic speciem suam totam secundum habitum veluti partis praedicatam humanam. Similiter autem et corpus

---

67. *προγεγόνει* ed. Gal. 68. *τὴν* om. ed. Gal. 69. *οὐ κατεστοχασμένως* ed. Gal.

Digitized by Google

θάνατον ἡ ψυχή, [70] ἀλλὰ ἀνθρώπου ψυχή, καὶ τοῦ τινος ἀνθρώπου ψυχή. Ἔχει γὰρ καὶ μετὰ τὸ σῶμα [71] ὡς εἶδος αὐτῆς τὸ ὅλον κατὰ τὴν σχέσιν ὡς μέρους κατηγορούμενον τὸ ἀνθρώπινον. Ὡσαύτως δὲ καὶ τὸ σῶμα, θνητὸν μὲν διὰ τὴν φύσιν, οὐκ ἄφετον δὲ διὰ τὴν γένεσιν. Οὐ γὰρ ἁπλῶς λέγεται σῶμα μετὰ τὸν χωρισμὸν τῆς ψυχῆς τὸ σῶμα, ἀλλ' ἀνθρώπου σῶμα, καὶ τοῦ τινος ἀνθρώπου σῶμα, κἂν εἰ φθείρεται καὶ εἰς τὰ ἐξ ὧν ἐστιν ἀναλύεσθαι στοιχεῖα πέφυκεν. Ἔχει γὰρ καὶ οὕτως ὡς εἶδος τὸ ὅλον αὐτοῦ κατὰ τὴν σχέσιν ὡς μέρους κατηγορούμενον τὸ ἀνθρώπινον. Ἐπ' ἀμφοῖν τοιγαροῦν ἡ σχέσις, ψυχῆς λέγω καὶ σώματος, ὡς [72] καὶ ὅλου εἴδους ἀνθρωπίνου μερῶν ἀναφαιρέτως νοουμένη, παρίστησι καὶ τὴν ἅμα τούτων γένεσιν, καὶ τὴν κατ' οὐσίαν πρὸς ἄλληλα διαφορὰν ἀποδείκνυσιν, οὐδὲν καθ' οἷον δήποτε τρόπον τοὺς κατ' οὐσίαν αὐτοῖς ἐμπεφυκότας παραβλάπτουσα λόγους. Οὐκ ἔστιν οὖν ὅλως σῶμα δύνατον ἢ ψυχὴν εὑρεῖν ἢ λέγειν ἄσχετον. Θατέρῳ γὰρ ἅμα συνεισάγεται τό τινος εἶναι θάτερον·

Cod. f. 134 a. Ed. Gal. p. 33. ὥστε εἰ προϋπάρχει θατέρου θάτερον, ὡς | τινὸς προσυπακουστέον. Ἡ γὰρ σχέσις ἀκίνητος. Καὶ ταῦτα μὲν περὶ τούτων. Καὶ εἰ μὲν τῆς ἀληθείας ὁ λόγος οὐκ ἀποπέπτωκε, τῷ θεῷ χάρις, τῷ διὰ τῶν ὑμετέρων εὐχῶν πρὸς τὸ καλῶς νοεῖν ὁδηγήσαντι. Εἰ δὲ πού τι τῆς ἀληθείας ἐλλέλοιπεν, ὑμεῖς ἂν εἰδείητε τοῦ λόγου τὸ ἀκριβὲς, ὡς ἐκ θεοῦ τὴν τῶν τοιούτων ἐμπνεόμενοι γνῶσιν.

Greg. Nss. de Pauper. Amore c. 30, p. 279. tom. I. Opp. ed. Bened.

*Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ, Ἕως ἂν καὶ παρ' ἑαυτῆς ἡ ὕλη φέρῃ τὸ ἄτακτον ὥσπερ ἐν ῥεύματι.*

Οἶμαι καὶ τὸν παρόντα τοῦ λόγου σκοπὸν τῆς τοῦ προτέρου διανοίας ἔχεσθαι κεφαλαίου. Διεξελθὼν γὰρ ὅτι πλεῖστα πρὸς τοὺς φιλύλους τε καὶ φιλοσωμάτους ταῦτα ἐπάγει, ὡς ἐντεῦθεν δύνασθαι τὸν εὐσεβῶς τὸν σκοπὸν τοῦ ἁγίου διερευνώμενον ἐπιβάλλειν οὕτως. Ἐπειδὴ τῷ τῆς ἀφθαρσίας τε καὶ ἀθανασίας κάλλει παρὰ θεοῦ κατηγλαϊσμένος ὁ ἄνθρωπος γέγονε, τὸ δὲ τῆς περὶ αὐτὸν ὑλικῆς φύσεως αἶσχος τοῦ νοεροῦ κάλλους προτιμήσας λήθην τοῦ κατὰ ψυχὴν ἐκπρεποῦς ἀξιώματος, μᾶλλον δὲ θεοῦ τοῦ καὶ τὴν ψυχὴν θεοειδῶς καλλωπίσαντος πάμπαν ἐπεποίητο, τῆς γνώμης ἄξιον κατὰ θείαν ψῆφον τὴν σοφῶς τὴν ἡμῶν σωτηρίαν οἰκονομοῦσαν ἐδρέψατο καρπὸν, οὐ μόνον τοῦ σώματος τὴν φθορὰν καὶ τὸν θάνατον, καὶ τὴν πρὸς πᾶν πάθος εὐέμπτωτον κίνησίν τε καὶ ἐπιτηδειότητα, ἀλλὰ καὶ τῆς ἐκτὸς καὶ περὶ αὐτὸν ὑλικῆς οὐσίας τὸ ἄστατον καὶ ἀνώμαλον, καὶ πρὸς τὸ ἀλλοιοῦσθαι εὔφορόν τε καὶ εὐχερὲς, εἴτε τότε αὐτὴν τοῦ

Cod. f. 134 b. Ed. Gal. p. 34. θεοῦ διὰ τὴν παράβασιν τῷ ἡμετέρῳ σώματι | συμμετακεράσαντος, καὶ τὴν πρὸς τὸ ἀλλοιοῦσθαι καὶ αὐτῇ, ὥσπερ τῷ

70. ἀλλ' ed. Gal. 71. ὡς om. ed. Gal.

Digitized by Google

mortuum quidem per naturam, non vero absolutum per generationem. Non enim simpliciter dicitur corpus post separationem ab anima corpus, sed hominis corpus, et cuiusdam hominis corpus, etsi corrumpatur et in ea ex quibus est resolvi elementa consuescat; habet enim et sic quasi speciem totam suam secundum habitum, veluti partis praedicatam humanam. In ambobus itaque habitus, anima dico et corpore, veluti totius formae humanae partes, inseparabiliter intellectus, demonstrat et simul eorum genesin, et secundum essentiam ad se invicem differentiam ostendit nullo modo secundum essentiam in eis insitas offendens rationes. Igitur omnino impossibile corpus aut animam invenire aut dicere sine habitu; simul enim cum altero introducitur alicuius esse alterum. Itaque si alterum subsistat ante alterum quomodo ut alicuius auscultandum? Habitus enim immutabilis est. Hactenus de his. Et si quidem a veritate sermo non recessit, deo gratias per vestras orationes ad bene intelligendum ducenti: si vero alicubi a veritate deficit, vos reformate rationis diligentiam ex deo talium inspirati scientiam.

## Ex eodem sermone, in hoc, Dum etiam a se ipsa materies fert inordinatum veluti influxum.

Arbitror quoque praesentem sermonis intentionem prioris intellectum habere capituli. Quia enim praetermisit plurima contra materiae amatores et corporis, haec addidit, ut hinc possent pie intentionem sancti perscrutantes coniicere sic. Quoniam incorruptibilitatis et immortalitatis pulchritudine a deo clarificatus factus est homo, materialis vero circa se naturae turpitudinem intellectuali pulchritudini praeponens, oblitus est decorae secundum animam dignitatis, magis autem dei animam deiformiter formantis, [25] omne quod fecit sententia dignum, secundum divinum iudicium nostram sapienter administrat salutem, colligitque fructum non solum ipsam corporis corruptionem et mortem et ad omnem passionem promptissimum motum et opportunitatem, sed et extra et circa eum materialis essentiae instabile et anomalum et ad alienandum ferens et facile, sive tunc ipsam, videlicet animam, deo propter praevaricationem nostro corpori commiscente, et ad alienandum eam, sic corpore ad passionem et corruptionem et omnino solutionem, sicut mortalium in paradiso pellium declarat amictus, inserente potentiam, iuxta quod scriptum est, ‚Quia et ipsa creatura subiecta est cor-

---

72. *καὶ* om. ed. Gal.

25. ***Omne quod fecerat*** (sic Gale in adnot., non ***fecit***): verte ***omnino oblitus fuerat.*** (Gale.)

Digitized by Google

σώματι, τὴν πρὸς τὸ πάσχειν τε καὶ φθείρεσθαι καὶ ὅλως λύεσθαι· ὡς δηλοῖ ἡ τῶν νεκρῶν [73] σωμάτων περιβολὴ, ἐνθεμένου δύναμιν κατὰ τὸ γεγραμμένον, ὅτι καὶ αὐτὴ ἡ κτίσις ὑπετάγη τῇ φθορᾷ οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα ἐπ' ἐλπίδι, εἴ τε ἐξ ἀρχῆς κατὰ πρόγνωσιν οὕτως αὐτὴν δημιουργήσαντος διὰ τὴν προοραθεῖσαν παράβασιν· ὥστε τῷ πάσχειν καὶ κακοῦσθαι δι' αὐτῆς, εἰς συναίσθησιν ἑαυτοῦ καὶ τοῦ οἰκείου ἀξιώματος ἐλθεῖν, καὶ ἀσπασίως καταδέξασθαι τὴν πρὸς τὸ σῶμα καὶ αὐτὴν ἀποδιάθεσιν. Συγχωρεῖ γὰρ ὁ πάνσοφος τῆς ἡμετέρας ζωῆς προνοητὴς φυσικῶς χρῆσθαι πολλάκις τὰ πράγματα ταῖς οἰκείαις ὁρμαῖς πρὸς σωφρονισμὸν ἡμῶν, ἔσθ' ὅπη τῶν ἐμμανῶς αὐτὰ μεταχειριζομένων διὰ τῆς περὶ αὐτὰ καὶ ἐξ αὐτῶν συγχύσεώς τε καὶ ταραχῆς, πρὸς τὸ κατὰ φύσιν ἐραστὸν ἐπανάγων τὸν τέως ἀλόγιστον ἡμῶν πρὸς τὰ παρόντα ἔρωτα. Τριῶν γὰρ ὄντων καθολικῶν τρόπων, καθ' οὓς φασι παιδευτικῶς τὰ ἡμέτερα ἐξιᾶσθαι πάθη, δι' ἑκάστου τρόπου σοφῶς τὸ τῆς ὕλης ἄτακτον εὐτάκτως κατὰ τὸν ὑπὲρ ἡμᾶς καὶ κρείττονα λόγον πρὸς τὸ ἐγνωσμένον τῷ θεῷ ἀγαθοπρεπὲς ἀποτέλεσμα κυβερνωμένης τῆς κακῆς τῶν παθῶν ἀχθηδόνος ἅμα τίθεται. Ἢ γὰρ τῶν προγεγονότων ἁμαρτημάτων ποινὴν ἀπαιτούμενοι, ὧν ἴσως οὐδ' ἴχνος τῇ
Cod. f. 135 a. μνήμῃ παρακατέχομεν | διὰ τὴν ἄγνοιαν, τυχὸν δὲ καὶ μνημονεύοντες τὴν δέουσαν τοῖς πλημμεληθεῖσιν ἀντισηκῶσαι διόρθωσιν οὐκ ἀνεχόμεθα, ἢ μὴ θέλοντες, ἢν μὴ ἰσχύοντες, διὰ τὴν ἐγγενομένην ἕξιν τῆς κακίας, ἢ τὴν ἀσθένειαν καθαιρόμεθα, ἢ παροῦσάν τε καὶ νεμομένην κακίαν ἀποβαλλόμεθα, καὶ πρὸς ἀναστολὴν τῆς μελλούσης ἰδεῖν προδιδασκόμεθα, ἢ
Ed. Gal p. 35. καρτερίας ἀρίστης καὶ εὐσεβοῦς ἀνδρείας ὑπόδειγμα θαυμαστὸν τοῖς ἄλλοις ἀνθρώποις ἄλλος προτίθεται ἄνθρωπος, ἄνπερ ὕψηλος ᾖ τὴν διάνοιαν καὶ τὴν ἀρετὴν ἐπίδοξος, καὶ ἱκανὸς δι' ἑαυτοῦ τῇ ἀκλονήτῳ πρὸς τὰ δεινὰ συμπλοκῇ φανερῶσαι τὴν τέως κεκρυμμένην ἀλήθειαν. Παραινεῖ οὖν τοῖς μηδὲν ὑπὲρ τὴν παροῦσαν ζωὴν διανοεῖσθαι δυναμένοις, μὴ θαῤῥοῦσι τῇ τοῦ σώματος ὑγείᾳ, καὶ τῷ κατὰ ῥοῦν φερομένῳ τῶν πραγμάτων δρόμῳ κατὰ τῶν τούτων ἐστερημένων ἐπαίρεσθαι, ἕως ἡ παροῦσα ἐνέστηκε ζωὴ, καὶ τὴν φθορὰν περίκεινται ταύτην, περὶ ἣν ἡ τροπὴ καὶ ἡ ἀλλοίωσις, ἀδήλου ὄντος τοῦ τί ἐκ τῆς τοῦ σώματος καὶ τῶν ἐκτὸς πραγμάτων ἀνωμαλίας τε καὶ ταραχῆς καὶ αὐτοῖς συμβήσεται. Τοῦτο γὰρ οἶμαι λέγειν αὐτὸν διὰ τοῦ, Ἕως ἂν καὶ παρ' ἑαυτῆς ἡ ὕλη φέρῃ τὸ ἄτακτον, ἀντὶ τοῦ, Ἕως ἂν ὑπὸ φθορὰν καὶ ἀλλοίωσιν ἐστὶ τοῦτο τὸ πᾶν, καὶ τὸ σῶμα τῆς ταπεινώσεως περικείμεθα, καὶ ἴσως τριῶν ἐξ αὐτοῦ διὰ τὴν ἔμφυτον ἀσθένειαν πολυτρόποις κακοῖς ὑποκείμεθα· μὴ κατ' ἀλλήλων ἐπαι-
Cod. f. 135 b. ρώμεθα διὰ τὴν περὶ ἡμᾶς ἀνισότητα, | ἀλλὰ μᾶλλον σώφρονι

73. *δερμάτων* cod. Gud. Sed eadem manus syllaba *σω* superscripta *σωμάτων* reponendum esse indicavit.

Digitized by Google

ruptioni nolens, sed propter subiicientem in spe'; seu ex principio, per praescientiam sic eam creante, propter praevisam hominis praevaricationem, ita ut patiendo et vitiando per se in consensum ipsius et proprie dignitatis venire, et inseparate reciperet ad corpus et se ipsam iterum affectum. Concedit enim sapientissimus vitae nostrae provisor naturaliter uti saepe rebus propriis motibus ad nostram utilitatem, interdum insane eas tractantes, ex confusione et perturbatione circa eas et ex eis, ad id quod amabile est secundum naturam adducens interim nostrum irrationabilem ad ea quae praesentia sunt amorem. Tribus enim existentibus universalibus modis, per quos dicunt erudite nostras sanari passiones, per singulos modos sapienter inordinato materiae, ordinate secundum super nos et meliorem rationem, ad cognitam deo bonam pulchramque perfectionem, gubernata malitiae passionum gravedine, medicamentum ponitur. Aut enim ante commissorum peccatorum poenam repetentes, quorum aeque neque vestigium memoria detinemus, fortassis vero recordantes opportunam delictis restituere correctionem non sustinuimus, seu nolentes seu non valentes propter ingenitum malitiae habitum, seu infirmitatem purgamur, aut praesentem et [26] distributam malitiam repellimus, et iterum ad habitum futurae vitae praediscimus aspicere: aut firma tolerantia et pia fortitudine mirabile exemplum aliis hominibus alius proponit homo, siquidem excelsus aut intelligentia atque virtute gloriosus et idoneus per se ipsum imperterrita contra terrores [27] copia manifestare interim occultam veritatem. Admonet itaque eos qui nihil supra praesentem vitam intelligere possunt, ne in sanitate corporis confidant, et [28] destillando mobili rerum cursu per earum defectus exaltentur, dum praesens steterit vita, et in talem corruptionem circumvolvantur, circa quam conversio est et mutabilitas; dum sit hoc incertum, quid ex corpore et exterius rerum dissimilitudine ac perturbatione eis contingat. Hoc enim arbitror dicere eum per hoc, ‚Dum a se ipsa materies fert inordinatum', pro eo quod est, dum sub corruptione et mutabilitate est hoc totum et corpus humilitatis induamur, et aeque ex ipso per insitam infirmitatem multis modis malis subiicimur, ne ab invicem separemur per eam quae circa nos est in aequalitatem, sed magis prudenti cogitatione naturali collegio inaequalitatem plane faciamus, aliorum defectus nostris ipsis adimplentes superabundantiis. Propter hoc fortassis praesens concessa est conversari anomalia, ut ostenderetur rationis quam in

---

26. Lege ***depascentem nos.*** (Gale.) 27. Lege ***copula.*** (Gale.) 28. Verte ***nec propter rerum suarum cursum inoffensum contra eos qui istis carent exaltentur.*** (Gale.)



Digitized by Google

λογισμῷ τὴν τῆς ὁμοτίμου φύσεως ἀνωμαλίαν ἐξομαλίσωμεν, τὰς τῶν ἄλλων ἐλλείψεις ταῖς ἡμῶν αὐτῶν ἀναπληροῦντες ὑπερβολαῖς. Διὸ τυχὸν καὶ ἡ παροῦσα συνεχωρήθη πολιτεύεσθαι ἀνωμαλία, ἵνα δειχθῇ ἡ τοῦ ἐν ἡμῖν λόγου δύναμις προτιμῶσα πάντων τὴν ἀρετήν. Πάντων γὰρ ἀνθρώπων ἡ αὐτή ἐστι τοῦ τε σώματος καὶ τῶν ἐκτὸς τροπὴ καὶ ἀλλοίωσις, φέρουσά τε καὶ φερομένη, καὶ μόνον τοῦτο κεκτημένη σταθερόν τε καὶ βάσιμον, τὸ ἄστατον καὶ φερόμενον.

Ed. Gal. p. 36. Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τὸν ἅγιον Ἀθανάσιον λόγου, εἰς τὸ, Οὐ γὰρ ἔχει τι ὑψηλότερον ἢ ὅλως ἕξει.

Gregor. Naz. Orat. in Laudem M. Athanasii cap. 1., p. 386. tom. I. ed. Bened.

Δοκεῖ μοι διὰ τούτων ἀπολύσαι πάσης συγκριτικῆς τε καὶ διακριτικῆς καὶ ἄλλως πῶς λεγομένης σχέσεως τὸν διδασκόμενον ὁ θεόφρων οὗτος διδάσκαλος. Ἄσχετον γὰρ τὸ τοιοῦτον εἶδος τοῦ λόγου φασὶν οἱ περὶ ταῦτα δεινοὶ, καὶ ταὐτὸν δύνασθαι τῷ ἀσυγκρίτως ὑπὲρ πάντα εἶναι λέγειν, ὡς δύναμιν ἔχον ὑπεροχικῆς ἀποφάσεως.

Idem ibid. c. 2. p. 386. Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ, Ὡτινι μὲν οὖν ἐξεγένετο διὰ λόγου καὶ θεωρίας διασχόντι τὴν ὕλην καὶ τὸ [1] σαρκικὸν τοῦτο, εἴτε νέφος χρὴ λέγειν, εἴτε προκάλυμμα, θεῷ συγγενέσθαι, καὶ τῷ ἀκραιφνεστάτῳ φωτὶ κραθῆναι, καθ' ὅσον ἐφικτὸν ἀνθρωπίνῃ φύσει, μακάριος οὗτος τῆς ἐντεῦθεν ἀναβάσεως καὶ τῆς ἐκεῖσε θεώσεως, ἣν τὸ γνησίως φιλοσοφῆσαι χαρίζεται, καὶ τὸ ὑπὲρ τὴν ὑλικὴν δυάδα γενέσθαι διὰ τὴν ἐν [2] τριάδι νοουμένην ἑνότητα.

Ἐγὼ μὲν οὐκ οἶμαι [3] ἐλλιπῶς ἔχειν τὸν ἀποδοθέντα
Cod. f. 136 a. περὶ | τῆς ἀρετῆς τῶν ἁγίων τοῦ διδασκάλου λόγον, κἂν τε-
Ed. Gal. p. 37. νες, ὡς γεγράφατε, τοῦτο [4] νομίζωσι, διὰ τοῦ λόγῳ καὶ θεωρίᾳ μόνον πρακτικῆς δίχα τὴν κατὰ θεὸν τῶν μετελθόντων αὐτὴν φιλοσοφίαν εἰπεῖν, τοὐναντίον δὲ [5] διηρμένην τῇ πράξει τὴν ἀληθῆ περὶ τὰ ὄντα κρίσιν αὐτῶν καὶ ἐνέργειαν, ἣν δὴ φιλοσοφίαν ὄντως πληρεστάτην ἔγωγε τολμήσας μόνην ὁρίζομαι, μάλα σαφῶς εἰσηγεῖσθαι αὐτὸν ὑπολαμβάνω, λόγῳ καὶ θεωρίᾳ κατορθοῦσθαι αὐτὴν ἀποφηνάμενον, ὡς τῷ λόγῳ συνημμένης πάντως τῆς πράξεως, καὶ τῆς ἐπ' αὐτῇ κρίσεως τῇ θεωρίᾳ περιεχομένης, εἴπερ λόγου μὲν τὸ τάσσειν τὴν τοῦ σώματος κίνησιν, οἷον χαλινῷ τινι τῷ ὀρθῷ λογισμῷ τῆς πρὸς ἀτοπίαν φορᾶς ἐπιστημόνως ἀναχαιτίζοντος, θεωρίας δὲ τὸ [6] τὰ καλῶς νοηθέντα τε καὶ κριθέντα ἐμφρόνως αἱρεῖσθαι ψηφίζεσθαι, οἱονεὶ φῶς παμφαέστατον δι' ἀληθοῦς γνώσεως τὴν ἀλήθειαν αὐτὴν δεικνυούσης· οἷς ἀμφοτέροις μάλιστα καὶ

1. σαρκικον ed. Gal. 2. τῇ τριάδι ed. Gal.

Digitized by Google

nobis est potentia, praehonorans omnibus virtutem. Omnium enim hominum eadem est corporis et eorum quae extra sunt conversio et mutabilitas, quae fert et fertur et solummodo hoc stabile possidet ac firmum quod instabile est ac volubile.

## Eiusdem ex sermone in Athanasium, in hoc, ‚Non enim habet' quid altius quam omnino habet.

Videtur mihi per haec absolvisse ab omni comparativo et discretivo et quoquomodo aliter dicto habitu edoctum iste deifer magister. Nam immensam esse talem orationis speciem dicunt, qui in talibus sapientes sunt, [29] et hanc posse incomparabiliter super omnia esse dicere, quippe virtutem habet supereminentis negationis.

## Eiusdem ex epitaphio in Sanctum Athanasium, in hoc, ‚Cui igitur licitum fuit per rationem et contemplationem pertranseunti materiam et carnale hoc, sive nimbum oportet dicere, sive velamen, cum deo fieri, et purissimo lumine teneri, quantum possibile est humanae naturae beatus iste ascensione hinc et illius deificatione, de qua sincere philosophari donatur, et super materialem dualitatem fieri per intellectam in trinitate unitatem.'

Ego quidem non possum [30] deficiens habere redditam de virtute sanctorum magistri rationem, etsi quidam, ut scripsistis, hoc arbitrantur, per hoc ratione et contemplatione solummodo sine actione post deum transeuntium ipsam dicere philosophiam; e contrario vero compactam actioni veram circa ea quae sunt, eorum et iudicationem et operationem quam philosophiam solam vere planissimam ego saltem audax definio magis aperte introduxisse [31] eam suscipio, ratione et contemplatione corrigi eam [32] manifestans. Quippe rationi coniuncta omnino actione et iudicatione, quae in ipsa est, per contemplationem comprehensa; siquidem rationis est ordinare corporis motum veluti fraeno quodam recta ratiocinatione ab eo qui est ad [33] inconsequentiam meatu disciplinaliter retentum, contemplationis vero quae bene intellecta atque discreta sunt prudenter extollere iudicando, tanquam

---

3. ἐλλειπῶς ed. Gal. 4. νομίζουσι ed. Gal. 5. διηρημένην ed. Gal. 6. τὰ om. cod. Gud.

29. Verte *et idem valere ac* cett. (Gale.) 30. Verte *imperfectam existimare.* (Gale.) 31. Lege *eam.* (Gale.) 32. Lege *manifestantem.* (Gale.) 33. Rectius *pravitatem.* (Gale.)



Digitized by Google

δημιουργεῖται πᾶσα φιλόσοφος ἀρετὴ καὶ φυλάττεται, ὑφ' ὧν καὶ ἐκφαίνεται διὰ σώματος οὐχ ὅλη. Οὐ γὰρ χωρεῖται σώματι, χαρακτὴρ ὑπάρχουσα θείας δυνάμεως, ἀλλά τινα τῶν αὐτῆς σκιάσματα, καὶ τοῦτο οὐ δι' ἑαυτὴν, διὰ δὲ τὸ τοὺς γυμνοὺς τῆς κατ' αὐτὴν χάριτος εἰς μίμησιν ἐλθεῖν τῆς θεοειδοῦς τῶν φιλοθέων ἀνδρῶν ἀναστροφῆς, ἐφ' ᾧ τῇ μετοχῇ τοῦ καλοῦ καὶ αὐτοὺς τὸ τῆς κακίας αἶσχος ἀποθεμένους τῆς τῶν ἀξίων θεοῦ γενέσθαι μοίρας, ἢ τοὺς δεομένους ἐπικου-
Cod. f. 136 b. ρίας τινὸς | ὑπὸ τῶν δυναμένων τυχεῖν, ἐφ' ᾧ τὴν κρυπτομένην τῷ βαθεῖ τῆς ψυχῆς τῶν ἐναρέτων διάθεσιν διὰ τοῦ σώματος κατὰ τὴν πρᾶξιν φανεῖσαν ἀποδεξαμένους, τὴν πᾶσι πάντα γινομένην καὶ διὰ πάντων πᾶσι παροῦσαν τοῦ θεοῦ πρόνοιαν, καὶ αὐτοὺς ἀνυμνῆσαι. Ὡς εἴγε μηδεὶς ἦν ὁ εὖ παθεῖν δεόμενος, ἢ ὁ πρὸς ἀρετὴν παραδείγματι τυπωθῆναι
Ed. Gal. p. 38. ὀφείλων, αὐτὸν ἕκαστον ἀρκεῖν ἑαυτῷ πάντως, ταῖς κατὰ ψυχὴν τῶν ἀρετῶν χάρισιν ἁβρυνόμενον. Καὶ δίχα τῆς τούτων διὰ τοῦ σώματος πρὸς τὸ ἐμφανὲς ἀποδείξεως λέγειν οὐκ ἄτοπον. Ὁ τοίνυν εὐσεβῶς διὰ θεωρίας κατανοήσας ὡς ἔχει τὰ ὄντα, καὶ διὰ βούλης λογικῆς ἐστοχασμένως τε καὶ ὀρθῶς τὸν περὶ αὐτῶν ὁρισάμενος λόγον, καὶ φυλάττων ἑαυτῷ τὴν κρίσιν, μᾶλλον δὲ ἑαυτὸν τῇ κρίσει ἀπαρέγκλιτον, πᾶσαν ὁμοῦ συλλαβὼν ἔχει τὴν ἀρετὴν, πρὸς οὐδὲν ἄλλο μετὰ τὴν ἐγνωσμένην ἀλήθειαν ἔτι κινούμενος, καὶ πάντα παρῆλθε διὰ σπουδῆς, οὐδενὸς τὸ παράπαν λόγον ποιούμενος τῶν ὅσα σαρκὸς καὶ κόσμου ἐστὶ καὶ λέγεται, ἐνδιαθέτως ἔχων ἤδη τῷ λόγῳ περιεχομένην ἀμάχως τὴν πρᾶξιν, οἷα τοῦ ἐφ' ἡμῖν πάντας ἑαυτῷ τοῦ διανοητικοῦ τοὺς κρατίστους ἀπαθεῖς ἐπικομιζομένου λόγους, καθ' οὓς πᾶσα ἀρετὴ καὶ γνῶσίς ἐστι καὶ ὑφέστηκεν, ὡς δυνάμεις ὄντας ψυχῆς λογικῆς, πρὸς μὲν τὸ εἶναι σώματος οὐδ' ὅλως χρῄζοντας, πρὸς δὲ τὸ φανῆναι διὰ τὰς εἰρημένας αἰτίας κατὰ καιρὸν
Cod. f. 137 a. αὐτῷ χρῆσθαι οὐκ ἀναινομένους. | Φασὶ γὰρ τοῦ διανοητικοῦ εἶναι, ἰδικῶς μὲν τὰς νοήσεις τῶν νοητῶν, τὰς ἀρετὰς, τὰς ἐπιστήμας, τοὺς τῶν τεχνῶν λόγους, τὸ προαιρετικὸν, τὸ βουλευτικὸν, γενικῶς δὲ τὰς κρίσεις, τὰς συγκαταθέσεις, τὰς ἀποφυγὰς, τὰς ὁρμὰς, καὶ τὰς μὲν εἶναι μόνης τῆς κατὰ νοῦν θεωρίας, τὰς δὲ τῆς κατὰ τὸν λόγον ἐπιστημονικῆς δυνάμεως. Εἰ δὲ τούτοις φρουρουμένην οἱ ἅγιοι τὴν [7] οἰκείαν ζωὴν συνετήρησαν, ἆρα περιληπτικῶς διὰ τοῦ λόγου καὶ τῆς θεωρίας [8] ὁ μακάριος οὗτος ἀνὴρ πάντας τοὺς κατ' ἀρετὴν καὶ γνῶσιν εἰσηγήσατο λόγους τοῖς ἁγίοις συνειλημμένους, δι' ὧν τῇ κατανοήσει τοῦ θεοῦ κατὰ θεωρίαν γνωστικῶς προσανέχοντες ἐμφρόνως κατὰ λόγον διὰ τῶν ἀρετῶν τὴν
Ed. Gal. p. 39. θείαν ἑαυτοῖς μορφὴν ἐνετυπώσαντο, πάντως οὐκ εἶναι ἀναγκαῖον οἰηθεὶς τὴν διὰ τοῦ σώματος ὀνομάσαι πρᾶξιν, γινώ-

7. ἰδίαν ed. Gal. 8. ὁμοκάρδιος cod. Gud.

Digitized by Google

lucem clarissimam per veram scientiam ipsam veritatem [34] ostendens; his ambobus maxime creatur omnis sapiens virtus et custoditur, ab his etiam manifestatur per corpus, non tota. Non enim capitur corpore dum sit character divinae potentiae, sed quaedam eorum quae ipsius sunt umbrae; et hoc non propter se ipsam, propter nudos vero ipsius gratia ut in imitationem veniant deiformis deum diligentium virorum conversationis; ut per participationem boni et ipsi malitiae turpitudinem deponentes dignorum deo partes fiant, aut deprecantes adiutorium quoddam a potentibus consequi ut occultum in profundo animae eximiorum affectum per corpus actione manifesta accipientes, omnia in omnibus factam, et per omnia omnibus praesentem dei providentiam et ipsos laudent; ut si nemo esset qui bene agere deprecaretur, seu qui ad virtutem exemplo formari debeat, ipsum solum sufficere sibi omnino, quae secundum animam sunt, virtutum donis fruentem. Et sine earum per corpus ad manifestum approbatione non est incongruum dicere. Qui igitur pie per contemplationem intelligit, quomodo habent ea quae sunt, et per rationabile consilium considerate ac recte de ipsis rationem diffinit, et custodit sibimet iudicium, magis vero se ipsum iudicio irreprehensibilem, omnem simul comprehendens habet virtutem; ad nihil aliud post cognitam veritatem adhuc motus, et omnia praeteriit festinanter nullius omnino rationem faciens eorum quaecunque carnis et mundi sunt et dicuntur; informatam habens iam ratione comprehensam, sine pugna, actionem; quippe omnes sibimet intellectualis nostri potentissimas impassibiles inferens rationes, per quas omnis virtus et scientia est et consistit iure, dum sint rationabilis animae potentiae; ut sint quidem omnino corpore non indigentes, ut vere manifestae sint propter causas praedictas, secundum tempus, eo uti non vituperantur. Dicunt enim intellectualis esse, specialiter notiones intelligibilium, virtutes, scientias, artium rationes, propositum, consilium, generaliter vero iudicia, comparationes, fugas, appetitus, et quaedam quidem esse solius secundum animum contemplationis, quaedam vero secundum rationem disciplinalis potentiae. Si autem talibus custoditam propriam vitam sancti conservaverunt, igitur comprehensim per rationem et contemplationem beatus iste vir omnes, quae sunt secundum virtutem et scientiam, introduxit rationes a sanctis comprehensas, per quas divinam notitiam per contemplationem scienter accipientes, prudenter secundum rationem per virtutes divinam sibimet coaptavere formam omnino, non esse necessarium iudicans per corpus nominare actionem, cognoscens non eam virtutis esse

34. Lege *ostendentis*. (Gale.)

Digitized by Google

σχων μὴ ἀρετῆς αὐτὴν εἶναι ποιητικὴν, ἀλλ' ἐκφαντικὴν, καὶ μόνων τῶν θείων νοημάτων τε καὶ λογισμῶν ὑπουργόν. Ὡς ἂν δὲ καὶ δι' ἑτέρου τρόπου φανερὸν γένηται τὸ λεγόμενον, φασὶν οἱ τῶν καθ' ἡμᾶς πραγμάτων δι' ἀκριβείας μετελθόντες τοὺς λόγους τοῦ λογικοῦ τὸ μὲν εἶναι θεωρητικὸν, τὸ δὲ πρακτικόν· καὶ θεωρητικὸν μὲν τὸ κατὰ νοῦν, ὡς ἔχει τὰ ὄντα, πρακτικὸν δὲ τὸ βουλευτικὸν, τὸ ὁρίζον τοῖς πρακτικοῖς τὸν ὀρθὸν λόγον. Καὶ καλοῦσι τὸ μὲν θεωρητικὸν νοῦν, τὸ δὲ πρακτικὸν λόγον, καὶ τὸ μὲν σοφίαν, τὸ δὲ φρόνησιν. Εἰ δὲ τοῦτο ἀληθὲς, ἐκ τῆς αἰτίας ἄρα τὴν πρᾶ-
Cod. f. 137 b. ξιν κατὰ τὸ εἰκὸς, ἀλλ' οὐκ ἐκ τῆς ὕλης ὠνόμασεν | ὁ διδάσκαλος λόγον, τὴν μηδὲν ἔχουσαν ἀντικείμενον ἕξιν προσαγορεύσας. Λογικῶς γὰρ καὶ γνωστικῶς, ἀλλ' οὐ πολεμικῶς καὶ ἀγωνιστικῶς ἐμμέναι τοῖς ἀληθέσιν ὁ θεωρητικὸς, καὶ πλὴν αὐτῶν ἄλλο τι ὁρᾶν διὰ τὴν πρὸς αὐτὰ ἡδονὴν οὐκ ἀνέχεται. Εἰ δὲ χρὴ [9] καὶ ἄλλως σαφέστερον τοῦτο ποιήσασθαι, πάλιν οἱ τῆς κατ' ἀρετὴν τελειότητος τοὺς λόγους γυμνάσαντές φασι τοὺς μήπω τῆς πρὸς τὴν ὕλην κατὰ τὴν σχέσιν κοινωνίας καθαροὺς γεγονότας περὶ τὰ πρακτικὰ καταγίνεσθαι, μικτῆς οὔσης αὐτοῖς ἔτι τῆς περὶ τὰ ὄντα κρίσεως, καὶ εἰσὶ τρεπτοὶ, μήπω τὴν περὶ τὰ τρεπτὰ σχέσιν ἀποθέμενοι· τοὺς δὲ δι' ἀκρότητα [10] τῷ θεῷ κατὰ σχέσιν πλησιάζοντας, καὶ τῇ τούτου κατανοήσει τὸ μακάριον καρπομένους, πρὸς ἑαυτοὺς μόνον καὶ τὸν θεὸν ἑστραμμένους τῷ ῥᾳδίως γνησίως τῆς ὑλικῆς σχέσεως τὰ δεσμὰ τῶν μὲν πρακτι-
Ed. Gal. p. 40. κῶν καὶ τῆς ὕλης παντελῶς ἠλλοτριῶσθαι, τῇ δὲ θεωρίᾳ καὶ τῷ θεῷ προσῳκειῶσθαι. Διὸ, φασὶ, καὶ μένουσιν ἄτρεπτοι, μὴ ἔχοντες ἔτι τὴν πρὸς τὴν ὕλην σχέσιν, καθ' ἣν τῇ ὕλῃ φυσικῶς ἀλλοιουμένῃ παρὰ φύσιν [11] συνεξαλλοιοῦσθαι ἐξ ἀνάγκης πέφυκεν ὁ τῇ ὕλῃ κατὰ τὴν σχέσιν κεκρατημένος, καὶ μεγίστης εἰδὼς δεῖσθαι δυνάμεως πρὸς ἀπόθεσιν τῆς ὑλικῆς προσπαθείας τὸν αὐτῆς ἐλευθερωθῆναι βουλόμενόν φησιν ὁ διδάσκαλος, Ὅτινι μὲν οὖν ἐξεγένετο διὰ λόγου καὶ θεωρίας διασχόντι τὴν ὕλην καὶ τὸ σαρκικὸν τοῦτο, εἴτε νέφος χρὴ λέγειν εἴτε προκάλυμμα, θεῷ συγγενέσθαι, καὶ τὰ ἑξῆς. |

Cod. f. 138 a. Cf. Idem. ibid. p. 387. *Πῶς ἐστι νέφος καὶ προκάλυμμα ἡ σάρξ.*

Διὰ τί δὲ νέφος εἶναι καὶ προκάλυμμα τὴν σάρκα φησὶν ὁ διδάσκαλος; ὡς εἰδὼς ὅτι πᾶς ἀνθρώπινος νοῦς πλανώμενος, καὶ τῆς κατὰ φύσιν ἀπονεύων κινήσεως, περὶ πάθος καὶ αἴσθησιν καὶ αἰσθητὰ [1] ποιεῖται τὴν κίνησιν, οὐκ ἔχων ἄλλοθι ποι κινηθῆναι, τῆς πρὸς θεὸν φυσικῶς φερούσης κινήσεως διαμαρτήσας, καὶ διεῖλε τὴν σάρκα εἰς πάθος καὶ αἴσθησιν, σαρκὸς γὰρ ἐμψύχου ἀμφότερα διὰ τοῦ νέφους

9. καὶ ἄλλως om. ed: Gal. 10. τῷ om. ed. Gal. 11. συναλλοιοῦσθαι ed. Gal.

Digitized by Google

factricem, sed manifestatricem, et solummodo divinarum intelligentiarum et disputationum [35] ministrum. Ut autem et per alium modum manifestum fiat quod dictum est, dicunt qui nostrarum rerum diligenter rationes percurrunt, rationalis quidem esse contemplativum et activum; et contemplativum quidem secundum intellectum, quippe habet ea quae sunt, activum vero secundum consilium, quod diffinit actionibus rectam rationem. Et vocant quidem contemplativum intellectum, activum vero rationem, et illud quidem sapientiam, illud vero prudentiam. Si autem hoc verum, ex causa itaque actionem, secundum quid consequens est, at non ex materia, nominavit magister rationem [36] nullam habentem oppositum habitudinem appellans. Rationabiliter enim et scienter, at non per inimicitiam et contentionem instat veris contemplativus, et praeter ipsa aliud quid videre propter eorum delectationem non recipit. Si vero opus est et aliter hoc apertius facere, iterum qui secundum virtutem perfectionis rationem exercent, dicunt quosdam nondum ad materiam secundum habitum communione purgatos, circa actiones effici, dum sit mixta adhuc eis circa ea quae sunt iudicatio, et sunt conversibiles, nondum circa conversibilia habitum deponentes. Quosdam vero per virtutis summitatem deo secundum habitum approximantes, et ipsius secundum intelligentiam beatitudine fruentes, ad se ipsos solummodo et deum conversos, rumpendo sincere materialis habitudinis vincula, actionibus quidem a materia perfecte alienantur, contemplatione vero et deo familiares fiunt. Propterea, inquiunt, manent inconversibiles, non habentes adhuc ad materiam habitudinem, per quam cum materia naturaliter mobili contra naturam commoveri ex necessitate consuevit qui materiae per habitudinem concretus est, et maximae videns indigere potentiae ad depositionem materialis passibilitatis, ab ea liberari volentem, ait magister, ‚Cui igitur licitum fuit per rationem et contemplationem pertranseunti materiam, et carnale hoc, sive nimbum oportet dicere, sive velamen, cum deo fieri, etc.

## Quomodo est nimbus et velamen caro?

Cur autem nimbum esse et velamen carnem dicit magister, videns quippe quia omnis humanus animus errans et a naturali motu retro aspiciens, circa passionem et sensum et sensibilia motum facit, non habens aliorsum moveri, ab eo motu qui ad deum naturaliter fert deficiens; et divisit carnem in passionem et sensum; carnis enim animatae

1. *ποίηται* ed. Gal.

35. Lege ***ministram.*** (Gale.) 36. Lege ***nullum.*** (Gale.)

Digitized by Google

καὶ τοῦ προκαλύμματος ταῦτα δηλώσας. Νέφος γάρ ἐστι τῷ ἡγεμονικῷ τῆς ψυχῆς ἐπισκοτοῦν τὸ σαρκικὸν πάθος, καὶ προκάλυμμά ἐστιν ἡ κατ' αἴσθησιν ἀπάτη, ταῖς ἐπιφανείαις τῶν αἰσθητῶν αὐτὴν ἐπερείδουσα καὶ τῆς πρὸς τὰ νοητὰ διαβάσεως ἀποτειχίζουσα, δι' ὧν λήθην τῶν φυσικῶν ἀγαθῶν λαμβάνουσα περὶ τὰ αἰσθητὰ τὴν ὅλην αὐτῆς ἐνέργειαν κα-
Ed. Gal. p. 41. ταστρέφει, θυμοὺς καὶ ἐπιθυμίας καὶ ἡδονὰς διὰ τῶν εἰρημένων ἀπρεπεῖς ἐφευρίσκουσα.

## Πῶς ἡδονὴ γίνεται.

Πᾶσα γὰρ ἡδονὴ τῶν ἀπηγορευμένων ἐκ πάθους διὰ μέσης αἰσθήσεως πρός τι πάντως γίνεσθαι πέφυκεν αἰσθητόν. Οὐδὲ γὰρ ἄλλο τί ἐστι ἡδονὴ ἢ εἶδος αἰσθήσεως ἐν τῷ αἰσθητικῷ διά τινος αἰσθητοῦ μορφουμένης, ἢ τρόπος αἰσθητικῆς ἐνεργείας κατ' ἐπιθυμίαν ἄλογον συνιστάμενος. Ἐπιθυμία γὰρ αἰσθήσει προστεθεῖσα εἰς ἡδονὴν μεταπίπτει, εἶδος αὐτῇ ἐπάγουσα, καὶ αἴσθησις κατ' ἐπιθυμίαν κινηθεῖσα ἡδονὴν ἀπεργάζεται τὸ αἰσθητὸν προσλαβοῦσα. Γνόντες οὖν
Cod. f. 138 b. οἱ ἅγιοι, | ὅτι διὰ μέσης σαρκὸς πρὸς τὴν ὕλην ἡ ψυχὴ παρὰ φύσιν κινουμένη τὴν χοϊκὴν μορφὴν ὑποδύεται, διὰ μέσης μᾶλλον ψυχῆς κατὰ φύσιν αὐτοὶ πρὸς τὸν θεὸν κινουμένης καὶ τὴν σάρκα τῷ θεῷ πρεπόντως οἰκειῶσαι διενοήθησαν, δι' ἀσκήσεως ἀρετῶν ἐνδεχομένως αὐτὴν ταῖς θείαις ἐμφάσεσι καλλωπίσαντες.

## Πῶς καὶ πόσαι κινήσεις εἰσὶ ψυχῆς.

Τρεῖς γὰρ καθολικὰς κινήσεις ἔχουσαν τὴν ψυχὴν εἰς μίαν συναγομένας, ὑπὸ τῆς χάριτος φωτισθέντες, τὴν κατὰ νοῦν, τὴν κατὰ λόγον, τὴν κατὰ αἴσθησιν, καὶ τὴν μὲν ἁπλῆν
Ed. Gal. p. 42. καὶ ἀνερμήνευτον, καθ' ἣν ἀγνώστως περὶ θεὸν κινουμένη κατ' οὐδένα τρόπον ἐξ οὐδενὸς τῶν ὄντων αὐτὸν διὰ τὴν ὑπεροχὴν ἐπιγινώσκει, τὴν δὲ κατ' αἰτίαν ὁριστικὴν τοῦ ἀγνώστου, καθ' ἣν φυσικῶς κινουμένη τοὺς ἐπ' αὐτῇ φυσικοὺς πάντας λόγους τοῦ κατ' αἰτίαν μόνου ἐγνωσμένου μορφωτικοὺς ὄντας ἑαυτῇ δι' ἐνεργείας κατ' ἐπιστήμην [1] ἐπιτίθεται, τὴν δὲ σύνθετον, καθ' ἣν τῶν ἐκτὸς ἐφαπτομένη ὡς ἔκ τινων συμβόλων τῶν ὁρατῶν τοὺς λόγους πρὸς ἑαυτὴν ἀναμάσσεται, μεγαλοφυῶς διὰ τούτων κατὰ τὸν ἀληθῆ καὶ ἄπταιστον τῆς κατὰ φύσιν κινήσεως τρόπον τὸν παρόντα τῶν σκαμμάτων αἰῶνα διέβησαν, τὴν μὲν αἴσθησιν, ἁπλοῦς διὰ μέσου τοῦ λόγου πρὸς τὸν νοῦν τοὺς τῶν αἰσθητῶν πνευματικοὺς λόγους ἔχουσαν μόνους ἀναβιβάσαντες, τὸν δὲ λόγον ἐνοειδῶς κατὰ μίαν ἁπλῆν τε καὶ ἀδιαίρετον φρόνησιν
Cod. f. 139 a. πρὸς τὸν νοῦν τοὺς | τῶν ὄντων ἔχοντα λόγους ἑνώσαντες,

1. ἐντίθεται ed. Gal.

Digitized by Google

utrumque est per nimbum et velamen haec declaravit Nimbus enim est [37] principali animae superobumbrans carnalis passio, et velamen est error secundum sensum, superficiebus sensibilium ipsum vincens, et ad intelligibilia transitum [38] muniens. Per haec oblivionem naturalium bonorum accipiens anima, circa sensibilia totam suam operationem convertit, furores et concupiscentias et delectationes per ea quae dicta sunt inhonestas invenit.

## Quomodo voluptas fit.

Omnis enim delectatio eorum quae interdicuntur, ex passione, per medium sensum ad aliquid sensibile, omnino fieri consuevit. Neque enim aliud aliquid est delectatio, quam species sensus in sensivo per quoddam sensibile formati; vel mos sensivae operationis per irrationabilem concupiscentiam constitutus. Concupiscentia enim sensui apposita in delectationem vertitur, addens ei speciem, et sensus per concupiscentiam motus delectationem operatur, quiddam sensibile accipiens. Cognoscentes igitur sancti quia per mediam carnem ad materiam anima contra naturam mota terrenam induitur formam, ipsi magis per mediam animam secundum naturam ad deum motam etiam carnem deo decenter famulari [39] intellexerunt, per institutionem virtutum acceptabiliter ipsam divinis ornantes intellectibus.

## Quomodo et quanti motus sunt animae.

Tres enim universales motus habere animam in unum collectos a caritate [40] docuerunt, unum secundum animam, alterum secundum rationem, tertium secundum sensum: et unum quidem simplum et interpretatione carentem, per quem incognite circa deum mota, nullo modo ex ullo eorum quae sunt ipsum per excellentiam cognoscit. Alterum vero secundum causam diffinitivam incogniti, per quem naturaliter mota, omnes naturales rationes, per causam solummodo cogniti, dum sint in ea formatrices, sibi ipsi per operationem secundum scientiam imponit. Tertium autem compositum, per quem ea quae extra sunt tangens, veluti ex quibusdam signis visibilium rationes apud se ipsam reformat, magnanimiter per hos, secundum verum et immutabilem naturalis motus modum, praesens laborum saeculum transcenderunt. Sensum quidem simpliciter spirituales solas rationes sensibilium habentem per mediam rationem ad animam referentes; rationem vero uniformiter per unam simplamque atque inseparabilem

37. Lege *principalem partem*. (Gale.) 38. Verte *obstruens*. (Gale.) 39. Verte *meditati sunt*. (Gale.) 40. Verte *eruditi*. Sententia pendet a verbo *transcenderunt*. (Gale.)

Digitized by Google

τὸν δὲ νοῦν τῆς περὶ τὰ ὄντα πάντα κινήσεως καθαρῶς ἀπολυθέντα καὶ αὐτῆς τῆς καθ' αὑτὸν φυσικῆς ἐνεργείας ἠρεμοῦντα τῷ θεῷ προσκομίσαντες, καθ' ὃν ὁλικῶς πρὸς θεὸν συναχθέντες ὅλοι ὅλῳ θεῷ ἐγκραθῆναι διὰ τοῦ πνεύματος ἠξιώθησαν, ὅλην τοῦ ἐπουρανίου κατὰ τὸ δυνατὸν ἀνθρώποις τὴν εἰκόνα φορέσαντες, καὶ [2] τοσοῦτο ἕλξαντες τῆς θείας ἐμφάσεως, εἰ θέμις τοῦτο εἰπεῖν, ὅσον ἐλχθέντες αὐτοὶ τῷ θεῷ συνετέθησαν. Φασὶ γὰρ ἀλλήλων εἶναι παραδείγματα τὸν θεὸν καὶ τὸν ἄνθρωπον, καὶ τοσοῦτον τῷ ἀνθρώπῳ τὸν θεὸν διὰ φιλανθρωπίαν ἀνθρωπίζεσθαι, ὅσον ὁ ἄνθρωπος ἑαυτὸν τῷ θεῷ δι' ἀγάπης δυνηθεὶς ἀπεθέωσε, καὶ τοσοῦτον ὑπὸ θεοῦ τὸν ἄνθρωπον κατὰ νοῦν ἁρπάζεσθαι πρὸς τὸ γνωστὸν, ὅσον ὁ ἄνθρωπος τὸν ἀόρατον φύσει θεὸν διὰ τῶν
Ed. Gal p. 43. ἀρετῶν ἐφανέρωσεν. Ὑπὸ ταύτης τοίνυν τῆς κατὰ λόγον καὶ θεωρίαν συνισταμένης φιλοσοφίας, καθ' ἣν καὶ ἡ τοῦ σώματος ἐξ ἀνάγκης εὐγενίζεται φύσις, ἁπλανῶς πρὸς τὸν τοῦ θεοῦ πόθον τρωθέντες οἱ ἅγιοι διὰ τῶν ἐνουσῶν αὐτοῖς πρὸς τὰ θεῖα φυσικῶν ἐμφάσεων ἀξιοπρεπῶς πρὸς [3] τὸν θεὸν παρεγένοντο, σῶμα καὶ κόσμον ἀθλητικῶς διασχόντες, ἀλλήλοις ταῦτα περιεχόμενα θεώμενοι, τὸν μὲν φύσει, τὸ δὲ αἰσθήσει, καὶ θατέρῳ θάτερον ὑποπίπτον, τῇ κατ' ἐπαλλαγὴν θατέρου πρὸς τὸ ἕτερον ποιᾷ ἰδιότητι, καὶ μηδὲν τούτων τῷ καθ' ἑαυτὸν λόγῳ περιγραφῆς ὑπάρχον ἐλεύθερον, καὶ
Cod. f. 139 b. αἰσχρὸν ἡγησάμενοι τοῖς θνητοῖς καὶ περιγραπτοῖς | ἐμφθείρεσθαί τε καὶ περιγράφεσθαι, τῆς ψυχῆς ἐὰν τὸ ἀθάνατον καὶ ἀεικίνητον μόνῳ θεῷ τῷ ἀθανάτῳ καὶ πάσης ἀπειρίας ἀνωτέρῳ ἀλύτως ἑαυτοὺς ἀνέδησαν, οὐδαμῶς ταῖς κόσμου καὶ σαρκὸς ἀνθολκαῖς ἐνδίδοντες, ὅπερ ἐστὶ πάσης ἀρετῆς τε καὶ γνώσεως πλήρωσις, οἶμαι δὲ ὅτι καὶ τέλος. Ἀλλὰ κἂν εἴποτε περὶ τὰ τῶν ὄντων θεάματα κεκίνηνται οἱ ἅγιοι, οὐκ ἐπὶ τῷ αὐτὰ ἐκεῖνα προηγουμένως θεάσασθαί τε καὶ γνῶναι καθ' ἡμᾶς ὑλικῶς κεκίνηνται, ἀλλ' [4] ἵνα τὸν διὰ πάντων καὶ ἐν πᾶσιν ὄντα τε καὶ φαινόμενον θεὸν πολυτρόπως ὑμνήσωσι καὶ πολλὴν ἑαυτοῖς συναγείρωσι θαύματος δύναμιν καὶ δοξολογίας ὑπόθεσιν. Ψυχὴν γὰρ εἰληφότες παρὰ θεοῦ νοῦν καὶ λόγον καὶ αἴσθησιν ἔχουσαν πρὸς τῇ νοητῇ καὶ ταύτην τὴν αἰσθητὴν, ὥσπερ καὶ λόγον πρὸς τῷ ἐνδιαθέτῳ τὸν κατὰ προφορὰν καὶ νοῦν πρὸς τῷ νοητῷ τὸν παθητικὸν (ὃν καὶ φαντασίαν καλοῦσι τοῦ ζώου, καθ' ὃν καὶ τὰ λοιπὰ ζῶα καὶ ἄλληλα καὶ ἡμᾶς καὶ τοὺς τόπους οὓς διώδευσαν ἐπιγινώσκουσι, περὶ ἣν συνίστασθαι τὴν αἴσθησίν φασιν οἱ σοφοὶ τὰ τοιαῦτα, ὄργανον αὐτῆς οὖσαν ἀντιληπτικὸν τῶν αὐτῇ
Ed. Gal. p. 44. φαντασθέντων), δεῖν ᾠήθησαν τούτων τὰς ἐνεργείας, εἰκότως οὐχ ἑαυτοῖς, ἀλλὰ τῷ δεδωκότι θεῷ, δι' ὃν καὶ ἐξ οὗ πάντα, προσενέγκαι. Τρεῖς γὰρ ὄντας καθολικοὺς τρόπους, ὡς ἀν-

2. τοσοῦτον ed. Gal. 3. τὸν om. ed. Gal. 4. ἵν' αὐτὸν ed. Gal.

Digitized by Google

prudentiam eorum quae sunt habentem rationes animo adunantes, ipsum autem animum circa omnia quae sunt motu pure absolutum et ab ipsa secundum se naturali operatione quietum deo offerentes, per eum universaliter ad deum condescendentes, toti toto deo contineri per spiritum digni facti sunt, totam caelestis quantum hominibus possibile est imaginem ferentes, et tantum attrahentes divina notitia, si fas est hoc dicere, quantum ipsi attracti deo inserti sunt. Dicunt enim inter se invicem esse paradigmata deum et hominem, et tantum homini deum per misericordiam humanari, quantum homo se ipsum deo per caritatem confortatus consecravit; et tantum a deo hominem secundum animum rapi ad incognitum, quantum homo invisibilem natura deum per virtutes facit manifestum. Ab hac itaque per rationem et contemplationem constituta philosophia, per quam etiam corporis necessario nobilitatur natura, absque errore, divino sauciati sancti desiderio, per insitas eis naturales ad divina intelligentias digne ac pulchre ad deum pervenerunt; corpus et mundum militariter pertranseuntes, sibi invicem haec copulata contemplantes, mundum quidem naturae, corpus vero sensui, et alterum alteri succumbere per consequentiam alterius ad alterum qualicunque proprietate: et nihil horum per se ipsum ratione circumscriptionis existere liberum, et turpe ducentes mortalibus et circumscriptis corrumpi et circumscribi animae immortale et semper mobile, soli deo immortali et omni infinitate superiori insolubiliter se ipsos alligaverunt, nullo modo mundi atque carnis [41] refluxionibus inditi. Haec est omnis virtutis et scientiae plenitudo. Aestimo vero quia et finis. Sed si aliquando circa eorum quae sunt speculamina, moti sunt sancti, non in hoc illa ipsa principaliter contemplari et cognoscere, sicut nos, materialiter moti sunt, sed ut per omnia et in omnibus et existentem et apparentem deum multiformiter laudarent, et multum sibimet admirationis colligerent virtutem et glorificationis causam. Animam namque a deo accipientes, intellectum et rationem et sensum habentem, cum intelligibili et hanc sensibilem, sicut et rationem, quae est per enuntiationem cum ea quae inseparabiliter est, et intellectum cum intellectuali passibilem (quem etiam phantasiam vocant animalis, per quem et reliqua animalia, et se invicem et nos et locos quos peragravere cognoscunt; circa quam phantasiam sensum constitui dicunt qui talia sapiunt, organum ipsius dum sit, per quod recipit quae per eam imaginata sunt), opportunum esse arbitrati sunt horum operationes consequenter, non sibimet, sed donanti deo, per quem et ex quo haec sunt referendo. Tres enim

41. ***Refluxionibus inditi***, carnis renitentiis, rectius. (Gale.)

Digitized by Google

ϑρώποις ἐστὶν ἐφικτὸν, ἐκ τῆς περὶ τὰ ὄντα ἀκριβοῦς κατανοήσεως παιδευθέντες, ἐφ' οἷς ὁ ϑεὸς τὰ πάντα πεποίηκεν
Cod. f. 140 a. (ἐφ' ᾧ τε γὰρ εἶναι, καὶ εὖ εἶναι, καὶ ἀεὶ εἶναι, | οὐσιώσας ἡμᾶς ὑπεστήσατο), καὶ τοὺς μὲν δύο ἄκρους ὄντας, καὶ μόνου ϑεοῦ ἐχομένους, ὡς αἰτίου, τὸν δὲ ἕτερον μέσον, καὶ τῆς ἡμετέρας ἠρτημένον γνώμης τε καὶ κινήσεως, καὶ δι' ἑαυτοῦ τοῖς ἄκροις τὸ κυρίως λέγεσθαι παρέχοντα, καὶ οὗ μὴ παρόντος ἄχρηστος αὐτοῖς ἡ προσηγορία καθίσταται, τὸ εὖ συνημμένον οὐκ ἔχουσιν, οὐκ ἄλλως δύνασθαι καὶ προσγενέσθαι αὐτοῖς καὶ φυλαχθῆναι τὴν ἐν τοῖς ἄκροις ἀλήϑειαν, ἣν ποιεῖν πέφυκε τὸ εὖ εἶναι κατὰ τὸ μέσον τοῖς ἄκροις ἐπιχειρωμένον, ἢ τῇ πρὸς ϑεὸν ἀεικινησίᾳ διενοήϑησαν· καὶ λοιπὸν τῷ κατὰ φύσιν ἐντεῦϑεν τὸ ὀπτικὸν τῆς ψυχῆς συνεπιτείναντες λόγῳ, καὶ τρόπον τινὰ μὴ δεῖν ἀντιστρόφως χρῆσθαι ταῖς φυσικαῖς ἐνεργείαις, διὰ τὴν ἐξ ἀνάγκης ἐπισημαίνουσαν ταῖς φυσικαῖς δυνάμεσιν ἐκ τοῦ κατὰ παράχρησιν τρόπου φϑοράν, αὐτοῦ βοῶντος τοῦ λόγου διαῤῥήδην ἀκούσαντες, ὁμαλῶς κατὰ τὸν πρέποντα λόγον τῆς φύσεως πρὸς τὸν αὐτῆς αἴτιον φέρεσθαι ἐδιδάχθησαν, ἵν' ὅϑεν ἁπλῶς αὐτοῖς ἐστι τὸ εἶναι, καὶ τὸ ὄντως εἶναί ποτε προστεθὲν ὑποδέξωνται. Τί γὰρ ἂν καὶ ἔσται τῷ μὴ ἑαυτοῦ κατὰ τὸ εἶναι αἰτίῳ πρὸς ἑαυτοὺς ἴσως λογισάμενοι εἶπον, πρὸς ἑαυτὸν ἢ ἄλλο τι παρὰ τὸν ϑεὸν κινουμένῳ τὸ κέρδος, ὁπότε εἰς τὸν τοῦ εἶναι λόγον οὐδὲν ἑαυτῷ ἀφ' ἑαυτοῦ, ἢ ἄλλου τινὸς παρὰ τὸν ϑεὸν περιποιῆσαι δυνήσεται. Διὰ τοῦτο τὸν μὲν νοῦν περὶ μόνου ϑεοῦ καὶ τῶν αὐτοῦ ἀρετῶν διανοεῖσθαι,
Cod. f. 140 b. καὶ τῇ ἀῤῥήτῳ δόξῃ τῆς αὐτοῦ μακαριότητος, | ἀγνώστως
Ed. Gal. p. 45. ἐπιβάλλειν, τὸν δὲ λόγον ἑρμηνευτὴν τῶν νοηθέντων γίνεσθαι καὶ ὑμνῳδὸν, καὶ τοὺς πρὸς αὐτὰ ἑνοποιοὺς ὀρθῶς διαλέγεσθαι τρόπους, τὴν δὲ αἴσθησιν κατὰ λόγον εὐγενισθεῖσαν τὰς ἐν τῷ παντὶ διαφόρους δυνάμεις τε καὶ ἐνεργείας φαντασιουμένην τοὺς ἐν τοῖς οὖσιν ὡς ἐφικτὸν τῇ ψυχῇ διαγγέλλειν λόγους διδάξαντες, καὶ διὰ τοῦ νοῦ καὶ τοῦ λόγου, ὥσπερ ναῦν, τὴν ψυχὴν σοφῶς οἰακίσαντες, τὴν ὑγρὰν ταύτην καὶ ἄστατον καὶ ἄλλοτε ἄλλως φερομένην καὶ τὴν αἴσθησιν ἐπικλύζουσαν τοῦ βίου κέλευθον ἀβρόχοις διώδευσαν ἴχνεσιν.

---

Cod. f. 140 b. Cod. Guelph. ## Θεωρία τῆς διὰ τῆς Θαλάσσης διαβάσεως διὰ Μωσέως.

Οὕτω τάχα καὶ Μωϋσῆς ἐκεῖνος ὁ μέγας τῇ πληγῇ τοῦ παντοδυνάμου λόγου, οὗ σύμβολον ἦν ἴσως ἡ ῥάβδος, Θαλάσσης τρόπον τῶν αἰσθητῶν διελὼν τὴν ἀπάτην, ἢ περιελὼν εἰπεῖν οἰκειότερον, στερῤῥὰν καὶ ἀσάλευτον, τῷ πρὸς τὰς θείας ἐπαγγελίας ἐπειγομένῳ λαῷ τὴν [1] ὑπίχνιον παρέ-

1. Apographum habet *ὑπίσχνιον*.

Digitized by Google

existentes universales modos, quantum hominibus est possibile, ex ipsa circa ea quae sunt diligenti consideratione eruditi, in quibus deus omnia fecit (in hoc namque esse et bene esse et semper esse conditor nos substituit) et duos quidem extremos a solo deo [40] habitos ut a causa, alium vero medium et nostro pendentem arbitrio et motu, et per se ipsum extremis proprie dici praestantem, et eo absente abusive eis etiam appellatio constituitur, illud bene non habentibus coniunctum, non aliterque posse adesse eis, et custodiri quae in extremis est veritatem, quam facere consuevit id quod est bene esse per medium extremis admixtum, quam ex ipso ad deum semper motu intellexerunt; et deinceps naturali ratione hinc contemplativum animae extendentes, et modo quodam non oportere conversibiliter uti naturalibus operationibus, propter superantem necessario corruptionem, eo modo qui est per abusionem naturalibus potentiis, ipsa non utente ratione, aperte audientes, ac plane per decentem naturae rationem ad ipsius causam ferri didicerunt; ut unde simpliciter eis est esse, et vere esse quandoque accipiant. Quid enim fortassis lucri erit, ad se ipsos aeque ratiocinantes dicebant, non a se ipso existenti causali ad se ipsum aut aliud quid, praeter deum, moto; quando in rationem ipsius esse nihil sibimet a se ipso aut ab alio quodam praeter deum acquirere poterit. Per hoc animum quidem circa solum deum et virtutes eius intelligi, et ineffabili gloriae beatitudinis eius addici, rationem vero interpretem intelligibilium fieri, et laudatricem et ad ea unificos recte disputare modos, sensum vero per rationem nobilitatum ipsas in universo differentes virtutes et operationes imaginantem, in his quae sunt, quantum possibile est, animae annuntiare rationes [43] docentes, et per animum et rationem veluti navim sapienter animam gubernantes, lubricam hanc et instabilem et in aliud aliter ferentem, et sensum agitantem vitae viam, siccis pertransierunt vestigiis.

## Contemplatio Moysis per mare transitus.

Sic fortasse magnus quoque ille Moyses omnipotentis ictu rationis, cuius symbolum, ni fallor, virga erat, ad maris instar sensibilium fraude divisa, aut magis proprie dicam disiecta, solidam et stabilem populo ad divinas promissiones properanti praebuit terram ab eorum vestigiis pressam, hoc est naturam sub sensum cadentem rectae rationi contemplabilem et bene descriptam, vitaeque virtutibus ornatae per-

42. Verte *pendentes*. (Gale.) 43. Mallem *docent*. (Gale.)

Digitized by Google

[illegible]

[illegible]

[illegible]

meabilem esse monstrans transituque facilem, nullumque periculum ex vi aquarum divisarum, quibus adhuc obscurata erat, utrinque aestuante transeuntibus immittentem: siquidem sublimiori et mysticae rationi aquarum eius quod oculis videtur maris discretio vitiorum, quae per defectum et abundantiam virtutibus obiecta sunt, mutui inter se nexus dissidium est, quod ratio efficere idonea est, modo gnaviter ea invadat, neu in eorum qui studiose ad deum properant incommodum inter se conciliari ullo modo sinat.

## Contemplatio Moysis in montem ascensionis.

Sic rursus deo vocanti obtemperans, omnibus istic superatis, introivit in caliginem ubi deus erat, hoc est in obscuram et invisibilem et incorporalem conversationem, mente ab omni ad quicquam relatione praeter deum libera, quam adeptus quae summa poterat humanae naturae obtingere dignitas, velut praemium beatae illius ascensionis dignum cognitionem reportat temporis atque naturae originis descriptivam, ipso deo tanquam typo atque exemplo virtutum proposito, ad cuius imaginem, ad tabulae instar archetypum pulchre referentis postquam se ipsum deformavit, de monte descendit, gloriae qua impertitus est, gratiam facie quoque reliquis etiam hominibus significans, tanquam divini typi typum ipsum factum largiter repraesentans sese atque proponens. Et sic populo quae vidit quaeque audivit narrando aperit, etiam per litteras veluti hereditatem quandam a deo datam posteritati divina mysteria relicturus.

## Contemplatio ducatus Iesu, et per Iordanem transitus, et alterius ab eo per lapideos cultellos institutae circumcisionis.

Sic Iesus, Moysis successor, ut multa quae de eo narrantur propter magnum eorum numerum transgrediar, populo, qui multis antea modis in eremo ad pietatem eruditus erat, post Moysis in monte mortem suscepto, et insolita circumcisionis ratione per lapideos cultellos lustrato, postquam divina arca praemissa universum populum sicco Iordanem pede transmisit, Salvatorem per ipsum Logon typice significabat, eum qui abrogata legalium constitutionum littera ducatum veri et deum videntis Israel in sublimitate cogitationum oboriturum suscipit, quique omne tam animi quam corporis inquinamentum acutissimo fidei ipsi servatae verbo circumcidit,

---

1. Manus prima dederat *καὶ* pro *κατὰ*.
1. Apographum *διαβάσας*.

Digitized by Google

τῆς εἰς αὐτὸν πίστεως περιτέμνοντα, παντὸς δὲ ὑπειδισμοῦ τῶν πρὸς ἁμαρτίαν ἐρεθιζόντων ἐλευθεροῦντα, καὶ τὴν ῥέουσαν τοῦ χρόνου φύσιν καὶ τῶν κινουμένων διαβεβαζόντα πρὸς τὴν τῶν ἀσωμάτων κατάστασιν. [2] τοῖς ὥμοις ἀρετῶν ἐπαιωρουμένην ἔχοντα τὴν δεκτικὴν τῶν θείων μυστηρίων γνῶσιν.

## Θεωρία τῆς Ἱεριχοῦς καὶ τῶν ἑπτὰ περιόδων, καὶ τῆς
Ios. 6. ## κιβωτοῦ καὶ τῶν σαλπίγγων καὶ τοῦ ἀναθέματος.

Οὕτω πάλιν περιόδοις ἑπτὰ καὶ σάλπιγξι τοσαύταις σὺν ἀλαλαγμῷ μυστικῷ τὴν δυςάλωτον ἢ καὶ ἀνάλωτον εἶναι δόξασαν πόλιν Ἱεριχὼ κατασείσας τὸν αὐτὸν τοῦ θεοῦ λόγον μυστικῶς ἐνέφαινεν ὡς νικητὴν τοῦ κοσμοῦ καὶ συντελεστὴν τοῦ αἰῶνος, νῷ καὶ λόγῳ, ἤτοι γνώσει καὶ ἀρετῇ. Ὧν ἡ κιβωτὸς καὶ αἱ σάλπιγγες τύπος ὑπῆρχον, τοῖς ἑπομένοις αὐτῷ τὸν
Cod. f. 142 a. αἰσθητὸν αἰῶνα εὐάλωτον | δεικνύοντα καὶ εὐκαθαίρετον, καὶ μηδὲν τῶν ἐν αὐτῷ πρὸς ἀκόλουσιν ἐπιτήδειον τοῖς τῶν θείων ἐρασταῖς ἀγαθῶν, ὡς θανάτῳ καὶ φθορᾷ συνημμένον καὶ θείας
Ios. 7, 18. ἀγανακτήσεως αἴτιον. Καὶ δηλοῖ Ἀχαρ ὁ τοῦ Χαρμὶ, ὅπερ ἐστὶν ὁ ταραχώδης καὶ φιλόϋλος λογισμὸς ὑπὲρ τοῦ εἰςοικίσασθαί τι τῶν αἰσθητῶν, τὸν οἰκτιστον ἐκεῖνον κατὰ θείαν ψῆφον ἀπενεγκάμενος θάνατον, ὃν ἐργάζεται λόγος τῷ βάθει τῆς πονηρᾶς συνειδήσεως ἐναποπνίγων τὸν οὕτω τιμωρηθῆναι ἄξιον.

## Θεωρία Τύρου καὶ τοῦ αὐτῆς βασιλέως, καὶ τῆς ἁλώ-
## σεως αὐτῆς.

Ios. 11, 10 sq. Οὕτω πάλιν καθὼς γέγραπται, Ἐν τῷ καιρῷ ἐκείνῳ καταλαβόμενος τὴν Ἀσσὼρ, καὶ τὸν βασιλέα αὐτῆς ἀποκτείνας ἐν ῥομφαίᾳ, καὶ πᾶν ἐμπνέον ἐξολοθρεύσας ἐν αὐτῇ, ἥτις ἦν πρότερον ἄρχουσα πασῶν τῶν χωρῶν, ἐδιδάσκετο, ὧν μυστηρίων τύπος προςβέβλητο τοὺς λόγους, ὅτι ὁ ἀληθινὸς σωτὴρ ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ υἱὸς τοῦ θεοῦ, ὁ τῶν πονηρῶν καθαιρέτης δυνάμεων, καὶ κληροδότης τῶν ἀξίων τῆς χάριτος, κατὰ τὸν καιρὸν τῆς αὐτοῦ ἐνανθρωπήσεως διὰ σταυροῦ καταλαβόμενος τὴν ἁμαρτίαν καὶ τὸν βασιλέα αὐτῆς τὸν διάβολον (ἦρχε γὰρ πάντων ποτὲ βασιλεύουσα ἡ ἁμαρτία) ἀπέκτεινε τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, καὶ ἐξωλόθρευσεν αὐτῆς πᾶν ἐμπνέον, τουτέστι τὰ πάθη τὰ ἐν ἡμῖν, καὶ τὰ ἐπ' αὐτοῖς αἰσχρὰ καὶ πονηρὰ ἐνθυμήματα, ἵνα μηδὲ τὸ ὀπωςοῦν ἐν τοῖς τοῦ Χριστοῦ καὶ κατὰ Χριστὸν ζῶσιν ἐμπνέοντος δίκην καθ' ὁτιοῦν ἔχῃ λοιπὸν τὸ κινεῖσθαι καὶ ζῆν ἡ ἁμαρτία.

Psalm. 19 1. ## Θεωρία εἰς τὸ, Οἱ οὐρανοὶ διηγοῦνται δόξαν θεοῦ.

Οὕτω Δαβὶδ ὁ μετ' ἐκείνους μὲν τῷ χρόνῳ, κατ' ἐκείνους δὲ τῷ πνεύματι, ἵνα τοὺς Κριτὰς παραδράμω πολλὰ ἔχοντας ἐν τῷ βίῳ μυστήρια, τὴν δόξαν τοῦ θεοῦ διηγουμένων

2. Apographum τοὺς ὤμους ἀρ. ἐπ. ἔχοντας cett.

Digitized by Google

omnique eorum qui ad peccatum instigant contumelia liberat, et labentem temporis rerumque instabilium naturam ad incorporalium statum traicit, humeris virtutum sublatam tenet cognitionem divinorum mysteriorum capacem.

## Contemplatio Hierichuntis, et septem circuitionum, et arcae, et tubarum, et anâthematis.

Sic rursus circuitionibus septem totidemque tubis cum mystico clamore urbem difficilem expugnatu, aut etiam inexpugnabilem visam, Hierichuntem concutiens eundem Dei Logon mystice aperuit ut victorem mundi et aevi consummatorem, mente et ratione, sive cognitione et virtute. Quarum arca et tubae erant typi, eos qui illum sequantur aevum sensibile facile esse ad expugnandum nulloque negotio superabile docentes, et nihil de eius, quo fruantur, divinorum bonorum amatores indigere, quia cum morte atque interitu sit coniunctum et divinae irae illex. Quod etiam Achar, filius Charmi, quae est turbulenta atque materiae amans de sensibilium aliquo intromittendo cogitatio, miserandam illam de divina sententia mortem passus, demonstrat, cuius operatrix ratio est, profundo conscientiae malae dignum tali supplicio suffocans.

## Contemplatio Tyri eiusque regis, et expugnationis eius.

Sic rursus secundum quod scriptum est, ‚Tempore illo capta Assor, et rege eius gladio interfecto, et omni in ea vivo deleto, quae antea universarum regionum dominatrix erat', demonstrabantur mysteria quorum typus illa sibi verba protulerat, nimirum verum nostrum Salvatorem Iesum Christum, Dei Filium, malarum potestatum expugnatorem, gratiae dignitatum dispensatorem suae incarnationis tempore peccatum eiusque regem diabolum (regnavit enim antea super omnes peccatum) per crucem invasisse et virtutis suae verbo interfecisse, omneque vivum delevisse, hoc est passiones quae in nobis sunt, et quae cum iis coniuncta sunt turpia et mala cogitata, ne ullo omnino modo in eis qui Christi nomen profitentur et in eo vivunt peccatum de cetero ad instar vivi alicuius moveri ac vivere haberet.

## Contemplatio in illud, ‚Caeli enarrant gloriam dei.'

Sic David, aetate illis minor, spiritu vero aequalis, ut ludices, quamquam permulta in vita habeant mysteria, praetermittam, audiens caelos narrare gloriam dei, et factu-



Digitized by Google

τῶν οὐρανῶν ἀκούων, καὶ τὴν ποίησιν τῶν χειρῶν αὐτοῦ ἀναγγέλλοντος τοῦ στερεώματος (τὸ θαυμάσιον, οἷς ψυχὴν ὁ δημιουργὸς οὐκ ἐνέθηκε), τοὺς περὶ θεολογίας νοὸς ἀκοαῖς παρὰ τῶν ἀψύχων ὑπεδέχετο λόγους, καὶ τοὺς τῆς προνοίας καὶ κρίσεως ἐξ ἀποτελέσματος, κατὰ τὸ ἀνθρώποις ἐφικτὸν, ἐδιδάσκετο τρόπους, τῶν, οἷς δηλονότι κατὰ μέρος ποικίλλεται ἡ τοῦ παντὸς διεξαγωγὴ, οὐκ ἐφικνούμενος λόγων.

Psalm. 27, 10. *Θεωρία εἰς τὸ, Ὁ πατήρ μου καὶ ἡ μήτηρ μου ἐγκατέλιπόν με.*

Οὕτω πάλιν, Ὁ πατήρ μου καὶ ἡ μήτηρ μου ἐγκατέλιπόν με, ὁ δὲ κύριος προσελάβετό με, φάσκων τὴν τοῦ κατὰ φύσιν τῆς σαρκὸς περὶ γένεσιν καὶ φθορὰν νόμου, καθ' ὃν πάντες διὰ τὴν παράβασιν καὶ γεννώμεθα καὶ συνιστάμεθα, καὶ τῆς τιθηνούσης ἡμᾶς μητρὸς δίκην αἰσθήσεως ἀπόλειψίν τε καὶ ἀποφυγὴν ἀναγκαίαν εἶναι τοῖς τῶν ἀφθάρτων ἐπιθυμηταῖς ἐπικεκρυμμένως, οἶμαι, διηγόρευε· δι' ὧν ὁ μὲν ὁρώμενος κόσμος ἀφίεται καὶ ἀφίησιν, ὁ δὲ κύριος προσλαμβάνεται, καὶ τῷ πνευματικῷ νιοθετῶν νόμῳ τοὺς ἀξίους, καὶ τοῖς ἀξίοις πατροθετούμενος, δι' ἀρετῆς καὶ γνώσεως, ὅλον [1] ἑαυτὸν ὅλοις αὐτοῖς καθ' ὁμοίωσιν, ὡς ἀγαθὸς, ἐνδίδωσιν.

Cod. f. 143 a. Ἡ τάχα | διὰ τοῦ πατρὸς καὶ τῆς μητρὸς τὸν γραπτὸν νόμον καὶ τὴν κατ' αὐτὸν σωματικὴν λατρείαν αἰνίττεται, ὧν τῇ ὑποχωρήσει τὸ φῶς τοῦ πνευματικοῦ νόμου ταῖς καρδίαις τῶν ἀξίων ἀνατέλλειν πέφυκε, καὶ τῆς κατὰ σάρκα δουλείας ἐλευθερίαν χαρίζεσθαι.

1 Reg. 19. Sir. 48, 7. *Θεωρία εἰς τὴν ὀπτασίαν Ἠλίου τὴν ἐν τῷ σπηλαίῳ Χωρήβ.*

Οὕτως Ἠλίας ὁ περινόητος μετὰ τὸ πῦρ ἐκεῖνο, μετὰ τὸν συσσεισμὸν, μετὰ τὸ μέγα καὶ κραταιὸν πνεῦμα τὸ διαλύον ὄρη, ἃ δὴ ζῆλον καὶ διάκρισιν εἶναι καὶ τὴν ἐν πληροφορίᾳ πρόθυμον πίστιν ὑπολαμβάνω (ἡ μὲν γὰρ διάκρισις, ὥσπερ σεισμὸς τὰ συνεχῆ, τὴν μοχθηρίᾳ πυκνωθεῖσαν ἕξιν διὰ τῆς ἀρετῆς ἐπισείουσα τῆς κακίας ἐξίστησιν, ὁ δὲ ζῆλος πυρὸς δίκην ἀνάπτων τοὺς ἔχοντας τῇ ζέσει τοῦ πνεύματος παιδεύει πείθει τοὺς ἀσεβεῖς, ἡ δὲ πίστις, πνεύματος βιαίου τρόπον, δόξης ἕνεκεν θεοῦ πρὸς καθαίρεσιν ὀχυρωμάτων δι' ἐπιδείξεως θαυμάτων ὠθοῦσα τοὺς ἀπαθεῖς ὕδατος γνωστικοῦ καὶ πυρὸς θεοποιοῦ χορηγὸν τὸν ὄντως πιστὸν ἄνθρωπον καθίστησι,

1 Reg. 18, 38 sqq. καὶ τῷ μὲν τὸν δι' ἀγνοίας λιμὸν θεραπεύουσα, τῷ δὲ τοῖς θύουσι δι' οἰκειότητος τὸν θεὸν εὐμενίζουσα, καὶ τοὺς τῆς κακίας διδασκάλους λογισμούς τε καὶ δαίμονας λογοσοφίας κτιννῦσα τῆς τῶν παθῶν δουλείας τοὺς κεκρατημένους ἐλευθε-

1. Apographum habet σαυτὸν.

Digitized by Google

ram manuum ipsius praedicare firmamentum (admirandum hoc de rebus quibus mundi artifex animam nullam iniecit), intellectus auditu ab inanimatis theologicas rationes percipiebat, atque providentiae et iudicii ex operis perfectione, quantum quidem hominibus licet, docebatur modos, quamvis non assecutus rationes quibus per singulas videlicet partes universitatis administratio variatur.

## Contemplatio in illud, ‚Pater et mater me dereliquerunt.'

Sic rursus, ‚Pater et mater me dereliquerunt, sed dominus me suscepit', dicens legis quae secundum carnis naturam ad generationem et interitum pertinet, qua nos omnes propter transgressionem et generamur et constamus, et sensus ad matris instar nos foventis derelictionem et effugium iis qui rerum non interiturarum studiosi sint, occulte, puto, indicavit; quibus mundus visibilis mittatur non minus quam missos faciat, sed dominus suscipit, et spiritali qui digni sunt filios lege adoptans, et ipse ab iis qui digni sunt pater adoptatus, per virtutem et cognitionem, totum sese ipsum universis illis secundum similitudinem, utpote bonus, indit atque concedit. Aut fortasse per patrem et matrem scriptam legem et corporalem quem imperat cultum adumbrat, quorum discessu spiritalis legis lux dignorum cordibus exoriri potest, et carnalis servitutis libertatem largiri.

## Contemplatio in visionem Eliae in specu Choreb.

Sic Elias sapientissimus post ignem illum, post terrae motum, post magnum et vehementem qui montes disiecit flatum, quae quidem studium et iudicium esse atque fidem plenam atque alacrem interpretor (nam, tanquam terrae motus montium continua, sic iudicium habitum scelere induratum virtute concutiens improbitate solvit, studium ad instar ignis incendens spiritus ardore impios erudire se praeditos iubet, fides in modum flatus saevi propter divinam gloriam ad expugnanda praesidia per miraculorum commendationem inertes propulsans hominem vere credulum aquae cognitionis et ignis deificantis praebitorem reddit, dum hic famem ignorantiae curat, illic per accommodationem sacrificantibus dei gratiam conciliat, et improbitatis doctores ratiocinationes atque sapientiae falsae, quae verbis agit, daemones conficiens a passionum servitute devictos liberat), post haec omnia voce eius in qua deus inerat, miti aura, audita de statu



Digitized by Google

ροῖ) μετὰ ταῦτα πάντα φωνῆς τῆς ἐν ᾗ ὁ Θεὸς ὑπῆρχε λεπτῆς αὔρας αἰσθόμενος τὴν προφορᾷ λόγου καὶ τρόποις βίου καὶ ἤθεσι θείαν καὶ ἀτάραχον καὶ εἰρηνικὴν καὶ παντελῶς ἄϋλον
Cod. f. 143 b. καὶ ἁπλῆν καὶ παντὸς εἴδους ἐλευθέραν καὶ σχήματος | κατάστασιν, λεχθῆναι ἢ δειχθῆναι μὴ δυναμένην, μυστικῶς ἐδιδάσκετο. Ἧς καταπλαγείς τε τὴν δόξαν καὶ τῷ κάλλει τρωθεὶς, τοῦ ζηλωτὴς εἶναι τὸ πρὸς αὐτὴν εἶναι μᾶλλον ποθήσας, τουτέστι τοῦ ὑπὲρ ἀληθείας μάχεσθαι τὸ μετὰ τῆς ἀληθείας δι' ὅλου γενέσθαι, καὶ μηδὲν ἀντικείμενον ὁρᾶν ἢ γινώσκειν τῷ μόνον τὸν Θεὸν ὅλον δι' ὅλου ἐν πᾶσιν ὄντα ἐπίστασθαι πολλῷ τιμιώτερον κρίνας, ἔτι ὢν ἐν σαρκὶ πρὸς αὐτὴν ὑπάρχων φυλάττεται, θείῳ ἀρετῶν ἅρματι τὴν ὕλην διαπεράσας, ὡς προκάλυμμα τῆς καθαρᾶς τοῦ νοῦ πρὸς τὰ νοητὰ διαβάσεως, καὶ τῆς σαρκὸς τὸ νέφος τὸ ἐπισκοτοῦν τῷ ἡγεμονικῷ τῆς ψυχῆς διὰ τῶν αὐτῆς παθημάτων, ἵνα καὶ αὐτὸς ὢν ἐπόθησεν ἀῤῥήτων ἀγαθῶν μέτοχος γένηται, ὡς ἐφικτὸν τῷ ἔτι μετὰ σαρκὸς τῆς ὑπὸ φθοράν, καὶ ἡμῖν τάχα τῶν ἐπηγγελμένων βεβαία γένηται πίστωσις. Τοῦτο γὰρ αὐτῷ καὶ ὁ Θεὸς ὑπετίθετο διὰ τῶν οὕτω μυστικῶς δεδραματουργημένων ἀλαλήτως βοῶν, ὅτι παντὸς ἄλλου ἀγαθοῦ τὸ μετὰ Θεοῦ μόνου διὰ τῆς εἰρήνης εἶναι λυσιτελέστερον.

## *Θεωρία εἰς τὸν Ἐλισσαῖον, τὸν αὐτοῦ μαθητήν.*

2 Reg. 2, 6. Οὕτως ὁ τούτου μαθητὴς καὶ κληρονόμος τοῦ πνεύματος Ἐλισσαῖος μηκέτι ταῖς ὑλικαῖς φαντασίαις ἐχομένην ἔχων δι' ἐνεργείας τὴν αἴσθησιν, ἅτε διαβαθεῖσαν ἤδη ταῖς κατὰ νοῦν τοῦ πνεύματος χάρισι, τὰς ταῖς πονηραῖς ἀντιθέτους θείας δυνάμεις περὶ αὐτὸν οὔσας δι' ἄλλης ὁμμάτων ἐνεργείας αὐτός τε ὁρῶν καὶ τῷ φοιτητῇ τὸ ὁρᾶν χαριζόμενος ἰσχυροτέραν
Cod. f. 144 a. τῆς ἀσθενείας τὴν δύναμιν, λέγω δὴ τῆς | σαρκὸς, περὶ ἣν τῆς πονηρίας τὰ πνεύματα τὸν διορατικὸν νοῦν ἐνεδρεύουσι, πλέον ἔχειν τὴν ψυχὴν, περὶ ἣν τῶν ἀγγέλων αἱ φάλαγγες παρεμβάλλουσιν, οἷον βασιλικὴν εἰκόνα περιϊστάμενοι, καὶ ἐδιδάσκετο καὶ ἐδίδασκεν.

## 1 Sam. 1. *Θεωρία εἰς τὴν Ἄνναν καὶ τὸν Σαμουήλ.*

Οὕτω καὶ ἡ μακαρία Ἄννα ἡ τοῦ μεγάλου μήτηρ Σαμουὴλ, στεῖρα οὖσα καὶ ἄτεκνος, παρὰ τοῦ Θεοῦ καρπὸν αἰτησαμένη κοιλίας, καὶ ἀντιδώσειν καὶ ἀντιχαρίζεσθαι τὸ δοθησόμενον τῷ διδόντι καὶ χαριζομένῳ Θεῷ διὰ τῆς ἐν τῷ ναῷ προσεδρείας θερμῶς ὑποσχομένη, ἐδίδασκε μυστικῶς τὸ δεῖν πᾶσαν ψυχὴν ἡδονῶν σαρκικῶν στειρεύουσαν, διὰ τῆς τοῦ Θεοῦ, τῶν ἀρετῶν τὰ σπέρματα, ἵνα τὸ βλέπειν τὰ ἔμπροσθεν γνωστικῶς δυνάμενον κατὰ διάνοιαν συλλαβοῦσα ὑπήκοον τοῦ Θεοῦ λόγον καὶ τεκοῦσα προσενέγκαι δυνηθῇ, διὰ τῆς κατὰ τὴν θεωρίαν εὐσεβοῦς προσεδρείας, ὡς μέγα χρέος καὶ τίμιον, μηδὲν ἴδιον ἔχειν κρίνουσα, ὥστε δεῖξαι τὸν Θεὸν

Digitized by Google

tam in sermone proferendo quam vitae modis ac moribus divino et pacato et plane inmateriali ac simplice omnisque formae ac speciei experte, qui dici aut demonstrari nequit, mystice docebatur. Cuius gloriam admiratus simul et pulchritudine percitus, magis cupiens una esse quam sectari eam, hoc est cum veritate esse omnino quam pro ea pugnare, nihilque videre aut nosse quod obstet, ne deum totum in universis plene norit, multo pretiosius aestimans, in carne esse perseverat, postquam divino virtutum cursu materiam emensus est, quae tanquam praepedimentum est expediti intellectus ad intellegibilia transitus, ac nubem animae principale de affectionibus suis obscurans, ut et ipse eorum quae desideraverat bonorum summorum compos fieret, in quantum qui adhuc in carne corruptibili versatur id assequi potest, et nobis, ni fallor, eorum quae praedicata sunt fides corroboraretur. Hoc enim etiam deus ei impertit per voces adeo mystice et ineffabiliter editas, quod una esse cum deo in pace quovis alio bono utilius sit.

## Contemplatio in Elissaeum eius discipulum.

Sic huius discipulus et spiritus heres Elissaeus, sensu non iam materialibus nugis occupato acri praeditus, utpote spiritalibus iam gratiis mente perfusus, divinas malis adversarias potestates circum se per aliam oculorum aciem tam ipse videns quam puero videre largiens validiorem infirmitate vim, carne inquam, circa quam malitiae spiritus acrem intellectum in insidiis collocant, et potiorem animam esse, circa quam angelorum phalanges castra muniunt, velut regiam imaginem circumsistentes, et doctus est et docuit.

## Contemplatio in Annam et Samuelem.

Sic etiam beata Anna magni Samuelis mater, sterilis liberisque carens cum ventris fructum a deo postulans redditurum se et rursus gratificaturam quod dedisset datori per assiduam in templo precationem cum fervore polliceretur, mystice docuit omnem animam voluptatum carnalium sterilem, propter divinam, virtutum seminibus indigere, ut rationem deo oboedientem, quaeque ea quae ante sunt prudenter cernere calleat, mente conceptam partu procreare possit, per assiduam cum contemplatione precationem pro magno atque pretioso illo debito, non proprium habere censens, adeo ut unum deum et datorem et acceptorem significet: quemadmodum alicubi lex dicit, ‚Dona mea, munera mea,

Digitized by Google

μόνον διδόντα τε καὶ δεχόμενον· καθά πού φησιν ὁ νόμος,
Deuter. 28. 2. Τὰ δῶρά μου, δόματά μου, καρπώματά μου, [1] διατηρήσετε προσφέρειν μοι, ὡς ἐξ αὐτοῦ τε καὶ εἰς αὐτὸν παντὸς ἀγαθοῦ καὶ ἀρχομένου καὶ λήγοντας. Πέφυκε γὰρ ὁ τοῦ θεοῦ λόγος οἷς ἂν ἐγγένηται τῆς τε σαρκὸς ἀθετεῖν τὰ κινήματα καὶ τῆς πρὸς αὐτὰ τὴν ψυχὴν ἀναστέλλειν ῥοπῆς, καὶ πάσης πληροῦν ἀληθοῦς διαγνώσεως.

Levit. 14, 38. *Θεωρία εἰς τὸν ἀφορίζοντα τὴν ἀκάθαρτον οἰκίαν.*

Καὶ γὰρ τὸν ἱερέα κατὰ τὴν νομικὴν διαταγὴν εἰσιόντα
Cod. f. 144 b. εἰς τὴν | καθ' ὁντιναοῦν τρόπον ἀκάθαρτον οἰκίαν, καὶ ἀφορίζοντα αὐτὴν, καὶ τὰ πρὸς κάθαρσιν διαστέλλοντα τοῖς κεκτημένοις ἀκούων τὸν ἀρχιερέα λόγον δι' αὐτοῦ παραδηλοῦσθαι νοῶ, φωτὸς δίκην καθαρωτάτου εἰσιόντα εἰς τὴν ψυχὴν, καὶ τὰ ἐναγῆ βουλεύματα καὶ διανοήματα μετὰ τῶν ὑπαιτίων πράξεων ἐκκαλύπτοντα, καὶ τοὺς τῆς ἐπιστροφῆς καὶ καθάρσεως τρόπους σοφῶς ὑποτιθέμενον. Ὅπερ, οἶμαι, σαφέστερον [2] ἡ τὸν μέγαν προφήτην Ἠλίαν ὑποδεξαμένη παραδηλοῦσα ἔλεγεν,
1 Reg. 17, 18. Ἄνθρωπε τοῦ θεοῦ, εἰσῆλθες πρὸς ἐμὲ τοῦ ἀναμνῆσαί με τὰς ἀδικίας μου.

1 Reg. 17. *Θεωρία εἰς τὸν ἅγιον Ἠλίαν, καὶ εἰς τὴν Σαραφθίαν χήραν.*

Πᾶσα γὰρ ψυχὴ χηρεύουσά τε καλῶν καὶ ἀρετῆς ἔρημος καὶ γνώσεως θεοῦ ἐπειδὰν τὸν θεῖον καὶ διαγνωστικὸν ὑποδέξηται λόγον, εἰς μνήμην ἐρχομένη τῶν αὐτῆς ἁμαρτημάτων διδάσκεταί πως ἀρετῶν ἄρτοις τὸν διατρέφοντα τρέφειν λόγον, καὶ ποτίζειν ἀληθείας δόγμασι τὴν πηγὴν τῆς ζωῆς, καὶ αὐτῆς τῆς φύσεως τὴν εἰς αὐτὴν προκρίνειν θεραπείαν, δι' ἧς ἥ τε ὑδρία σὰρξ τὴν ἐπὶ ταῖς ἀρεταῖς πρακτικὴν συντομίαν χορηγήσει, καὶ ὁ καμψάκης νοῦς τὴν τὸ φῶς συντηροῦσαν τῆς γνώσεως θεωρίαν διηνεκῶς πηγάσεις, καὶ ὁ ἔμφυτος λογισμὸς, ὥσπερ ἐκεῖ τῆς χήρας ὁ υἱὸς, τὴν ἐμπαθῆ προτέραν ἀποθέμενος ζωὴν τῆς παρὰ τοῦ λόγου διδομένης θείας καὶ ἀληθοῦς γενέσθαι μέτοχος ἀξιωθήσεται ζωῆς.

*Θεωρία εἰς τὴν μεταμόρφωσιν τοῦ κυρίου.*

Matth. 17. Οὕτω καὶ τῶν Χριστοῦ μαθητῶν πρὸς τοῖς εἰρημένοις
Cod. f. 145 a. τινὲς, οἷς | συναναβῆναί τε καὶ συνεπαρθῆναι [1] αὐτῷ πρὸς τὸ ὄρος τῆς αὐτοῦ φανερώσεως δι' ἀρετῆς ἐπιμέλειαν ἐξεγένετο, μεταμορφωθέντα θεασάμενοι, τῷ τε φωτὶ τοῦ προσώπου ἀπρόσιτον, καὶ τῇ τῶν ἐσθημάτων λαμπρότητι κατάπληκτοι, καὶ τῇ τῶν ἑκατέρωθεν συνόντων τιμῇ Μωσέως καὶ Ἠλίου γεγενημένον αἰδεσιμώτερον ἐπεγνωκότες, ἀπὸ τῆς σαρκὸς εἰς τὸ πνεῦμα μετέβησαν, πρὶν τὴν διὰ σαρκὸς ἀποθέσθαι ζωὴν,

1. διατηρήσεται cod. Gud. 2. ἢ cod. Gud.

Digitized by Google

sacrificia mea mihi offerre observate'; cum videlicet omne bonum ex eo nascatur et in eum desinat. Idonea enim est dei ratio quibuscunque innata est ad carnis motus reprimendos non minus quam ad animam, ne ad illos declinet, cohibendam, et quavis vera cognitione complendam.

## Contemplatio in eum qui domum impuram excommunicat.

Nam sacerdotem quoque secundum legis mandatum in domum qualitercunque pollutam ingredi, eamque excommunicare, et quae ad lustrationem necessaria sint possidentibus definire audienti summum per id sacerdotem rationem significari puto, ad instar purissimae lucis animam ingredientem, et inquinatas voluntates et cogitationes cum sontibus factis revelantem, atque animadversionis et expiationis modos sapienter suadentem. Quod, puto, apertius illa significans, quae magnum prophetam Eliam hospitio excepit, ‚Homo dei', inquit, ‚ingressus es ad me ut delictorum meorum me commonefaceres.'

## Contemplatio in sanctum Eliam, et in viduam Sareptensem.

Omnis enim anima bonis viduata et virtute et cognitione dei deserta, postquam divinam et diagnosticam excepit rationem, delictorum suorum recordata instruitur virtutum panibus rationem almam alere, et veritatis placitis vitae fonti potum ministrare, ipsique naturae cultum ipsius praeferre, per quem caro urna compendium virtutibus efficax praestabit, et cadus mens contemplationem cognitionis, conservatricem lucis, perpetui fontis instar alet, et cogitatio innata, ut illic viduae filius, passiva pristina vita deposita vitae divinae et verae a ratione datae quae particeps fiat digna censebitur.

## Contemplatio in domini transfigurationem.

Sic praeterea etiam Christi discipulorum quidam, quibus una ascendere et levari cum eo in montem glorificationis eius ob virtutis curam evenit, cum mutatum viderent et luce faciei inaccessibilem, vestimentorumque claritate obstupefacti, atque de honore Moysis et Eliae, qui ab utroque latere aderant, illum etiam maiore dignitate cumulatum conspicati, a carne in spiritum transierunt prius quam

1. Apographum *αὐτὸ*.

Digitized by Google

τῇ ἐναλλαγῇ τῶν κατ' αἴσθησιν ἐνεργειῶν ἦν αὐτοὺς τὸ πνεῦμα ἐνήργησε, περιελὸν τῆς ἐν αὐτοῖς τοιαύτης δυνάμεως τῶν παθῶν τὰ καλέμματα, δι' οὗ παθαρθέντες τὰ τῆς ψυχῆς καὶ σώματος αἰσθητήρια τῶν παραδειχθέντων αὐτοῖς μυστηρίων τοὺς πνευματικοὺς ἐκπαιδεύονται λόγους. Τὴν μὲν ἀκτινοφανῶς ἐκλάμπουσαν τοῦ προσώπου παντόλμον αἴγλην, ὡς πᾶσαν ὀφθαλμῶν νικῶσαν ἐνέργειαν. τῆς ὑπὲρ νοῦν καὶ αἴσθησιν καὶ οὐσίαν καὶ γνῶσιν θεότητος αὐτοῦ σύμβολον εἶναι μυστικῶς ἐδιδάσκοντο, ἀπὸ τοῦ μὴ ἔχειν [2] αὐτοῦ εἶδος μήτε κάλλος καὶ τοῦ σώματα τὸν λόγον γεγενημένον γινώσκειν ἐπὶ τὴν ὡραῖον κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων καὶ τὴν ἐν ἀρχῇ αὐτὸν εἶναι καὶ πρὸς τὸν θεὸν εἶναι καὶ θεὸν εἶναι, ἔντοιαν χειραγωγούμενοι, καὶ πρὸς τὴν ὡς μονογενοῦς παρὰ πατρὸς πλήρη χάριτος καὶ ἀληθείας δόξαν διὰ τῆς παντελῶς κῶσιν ἀχώριτον αὐτὸν ἀνομοούσης θεολογικῆς ἀποφάσεως γνωστικῶς ἀναγόμενοι· τὰ δὲ λευκαθέντα ἱμάτια τῶν ῥημά-

Cod. f. 145 b. των τῆς ἁγίας γραφῆς φέρειν | σύμβολον, ὡς τινικαῦτα λαμπρῶν καὶ τραπῶν καὶ σαφῶν αὐτοῖς γενομένων, καὶ παντὸς γριφώδους αἰνίγματος καὶ συμβολικοῦ σκιάσματος χωρὶς νοουμένων, καὶ τὸν ἐν αὐτοῖς ὄντα τε καὶ καλεπτόμενον παραδηλούντων λόγον, ὁπηνίκα τήν τε λείαν καὶ ὀρθὴν περὶ θεοῦ γνῶσιν ἔλαυνον, καὶ τῆς πρὸς τὸν κόσμον καὶ τὴν σάρκα προσπαθείας ἠλευθερώθησαν· ἣ τῆς κτίσεως αὐτῆς κατὰ περιαίρεσιν τῆς δοκούσης τέως ἐμφαίνεσθαι αὐτῇ τῶν ἐπατημένων καὶ μόνῃ αἰσθήσει προσδεδεμένων ἐκπαρᾶς ὑπολήψεως, διὰ τῆς τῶν αὐτὴν συμπληρούντων διαφόρων εἰδῶν σοφῆς ποικιλίας, ἀναλόγως ἱματίου τρόπον τὴν ἀξίαν τοῦ φοροῦντος τὴν τοῦ γενεσιουργοῦ λόγου δύναμιν μηνούσης. Ἄμφω γὰρ ἐπὶ τοῦ λόγου ἁρμόσει τὰ λεγόμενα, ἐπεὶ καὶ ἀμφοῖν δι' ἀσαφείας κεκάλυπται δι' ἡμᾶς εἰκότως, πρὸς τὸ μὴ τολμᾶν τοῖς ἀχωρήτοις ἀναξίως προσβάλλειν, τῷ μὲν ῥητῷ τῆς ἁγίας γραφῆς, ὡς λόγος, τῇ δὲ κτίσει, ὡς κτίστης καὶ ποιητὴς καὶ τεχνίτης. Ὅθεν ἀναγκαίως ἀμφοτέρων ἐπιδεῖσθαί φημι τὸν πρὸς θεὸν ἀμέμπτως εὐθυπορεῖν βουλόμενον, τῆς τε γραφικῆς ἐν πνεύματι γνώσεως, καὶ τῆς τῶν ὄντων κατὰ πνεῦμα φυσικῆς θεωρίας· ὥστε ἰσοτίμους καὶ τὰ αὐτὰ ἀλλήλοις παιδεύοντας τοὺς δύο νόμους, τόν τε φυσικὸν καὶ τὸν γραπτὸν, καὶ μηδέτερον θατέρου ἔχοντα πλέον ἢ ἔλαττον, δύνασθαι δεῖξαι, ὡς εἰκὸς, τὸν τελείας ἐραστὴν γενέσθαι τῆς σοφίας τέλειον ἐπιθυμοῦντα.

Cod. f. 146 a. *Θεωρία τοῦ τε φυσικοῦ καὶ τοῦ γραπτοῦ νόμου, καὶ τῆς αὐτῶν κατ' ἐπαλλαγὴν εἰς ἀλλήλους συνδρομῆς.*

[1] *Νοῶ τὸν μὲν ὁμαλῶς ὅτι μάλιστα κατὰ λόγον διευθυνόμενον διὰ τῶν ἐν αὐτῷ συμφυῶν θεαμάτων βίβλου τρόπον*

2. αὐτὸν cod. Gud.

Digitized by Google

carnalem vitam exuti erant, per actionum sensualium mutationem qua eos spiritus affecit, demptis intellectualis in eis facultatis passionum velaminibus, ex quo sensibus tam animae quam corporis purgati spirituales rationes mysteriorum eis monstratorum docentur. Atque radiantem illum faciei omnibeantem splendorem, ut omnem oculorum aciem superantem, deitatis eius quae mentem et sensum et essentiam et cognitionem excedit symbolum esse mystice instituebantur, inde quod nec speciem eius nec formam nec Sermonem carne vestitum cognoscere possent eo deducti ut eum tempestivum prae filiis hominum, et in principio esse, et apud deum esse et deum esse, intellegerent, et ad filii gloriam de patre plenam gratia et veritate, utpote unigeniti, per theologicam negationem, quae eum omnibus omnino inperceptibilem praedicat, gnostice aucti: candidas autem vestes sacrae scripturae dictorum ferre symbolum, ut quae tum eis sunt clarae et perspicuae et dilucidae factae, et omni aenigmate difficiliore et symbolica umbra exutae et intellectae, rationem aperientes quae velata ipsis inesset, cum proclivem et sinceram dei cognitionem exercerent, et a studio seculi et carnis liberati essent: vel etiam ipsius conditionis ferre symbolum, post destructam sordidam, quae interim repraesentari in ipsa videbatur, deceptorum solique sensui mancipatorum opinionem, per sapientem diversarum specierum quae implent eam varietatem, similiter ac vestis, dignitatem eius qui rationis procreatricis gestat virtutem indicantis. Utrumque enim Rationi consentanee est dictum, siquidem etiam utrobique latet obscuritate, propter nos, ne eis quae inperceptibilia sunt indigne impingere audeamus, in sacrae quidem scripturae voce, ut Ratio, in creatura vero, ut creator et factor et artifex. Unde eum utroque necessario indigere dico qui sine vituperio ad deum recta via pergere voluerit, et scripturae in spiritu cognitione, et naturali secundum spiritum rerum contemplatione: adeo ut duae leges pari ornatae dignitate et eandem doctrinam tradentes, tam naturalis quam scripta, ac neutra superior altera aut inferior, demonstrare, ut par est, possint perfectae sapientiae amatorem fieri eum qui sapientiae perfecte concupierit.

## Contemplatio naturalis et scripti legis eorumque secundum nexum inter se congruentiae.

Intelligo unam quidem legem aequabiliter sese ad rationem quam maxime potest dirigentem per spectacula in eo

1. Apographum τῷ.

Digitized by Google

τὸ ἐναρμόνιον τοῦ παντὸς ὕφασμα ἔχοντα, γράμματα μὲν καὶ συλλαβὰς ἐχούσης, τὰ πρὸς ἡμᾶς πρῶτα, προσεχῆ τε καὶ μερικὰ, καὶ πολλαῖς παχυνόμενα κατὰ σύνοδον ποιότησι σώματα, ῥήματα δὲ, τὰ τούτων καθολικώτερα, πόῤῥω τε ὄντα καὶ λεπτότερα, ἐξ ὧν σοφῶς ὁ διαχαράξας καὶ ἀῤῥήτως αὐτοῖς ἐγκεχαραγμένος λόγος ἀναγινωσκόμενος ἀπαρτίζεται, τὴν ὅτι μόνον ἐστὶν, οὐχ ὅτι ποτὲ δέ ἐστιν οἱανοῦν παρεχόμενος ἔννοιαν, καὶ διὰ τῆς εὐσεβοῦς τῶν διαφόρων φαντασιῶν συλλογῆς εἰς μίαν τοῦ ἀληθοῦς εἰκασίαν ἐνάγων, ἀναλόγως ἑαυτὸν διὰ τῶν ὁρατῶν ὡς γενεσιουργὸς ἐνορᾶσθαι διδούς· τὸν δὲ μαθήσει κατορθούμενον, διὰ τῶν αὐτῷ σοφῶς ὑπηγορευμένων ὥςπερ κόσμον ἄλλον ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν μέσῳ, τῆς ἠθικῆς φημι καὶ φυσικῆς καὶ θεολογικῆς φιλοσοφίας συνιστάμενον, τὴν ἄφατον καταμηνύειν τοῦ ὑπαγορεύσαντος δύναμιν, καὶ ταὐτὸν ἀλλήλοις κατ' ἐπαλλαγὴν ὄντας δεικνύοντα τὸν μὲν γραπτὸν τῷ φυσικῷ κατὰ τὴν δύναμιν, τὸν δὲ φυσικὸν ἐμπαλιν τῷ γραπτῷ κατὰ τὴν ἕξιν, καὶ τὸν αὐτὸν μηνύοντας καὶ καλύπτοντας λόγον, τὸν μὲν τῇ λέξει καὶ τῷ φαινομένῳ, τὸ δὲ τῇ νοήσει καὶ τῷ κρυπτομένῳ. Ὡς
Cod. f. 146 b. γὰρ τῆς ἁγίας γραφῆς τὰ μὲν ῥήματα ἱμάτια | λέγοντες, τὰ δὲ νοήματα σάρκας τοῦ λόγου νοοῦντες, τοῖς μὲν καλύπτομεν, τοῖς δὲ ἀποκαλύπτομεν, οὕτω καὶ τῶν γεγονότων τὰ πρὸς τὸ ὁρᾶσθαι προβεβλημένα εἴδη τε καὶ σχήματα ἱμάτια λέγοντες, τοὺς δὲ καθ' οὓς ἔκτισται ταῦτα λόγους σάρκας νοοῦντας, ὡσαύτως τοῖς μὲν καλύπτομεν, τοῖς δὲ ἀποκαλύπτομεν. Κρύπτεται γὰρ φαινόμενος ὁ τοῦ παντὸς δημιουργὸς καὶ νομοθέτης λόγος, κατὰ φύσιν ὑπάρχων ἀόρατος, καὶ ἐκφαίνεται κρυπτόμενος, μὴ λεπτὸς εἶναι φύσει τοῖς [2] σοφοῖς πιστευόμενος. Εἴη δὲ ἡμῖν τοῦτο δι' ἀποφάσεως ἐκφαίνειν κρυπτόμενον, καὶ πᾶσαν σχημάτων τε καὶ αἰνιγμάτων τὸ ἀληθὲς εἰκονίζουσαν δύναμιν παρελθεῖν μᾶλλον, καὶ πρὸς αὐτὸν τὸν λόγον ἀπὸ τοῦ γράμματος καὶ τῶν φαινομένων κατὰ τὴν τοῦ πνεύματος δύναμιν ἀῤῥήτως ἀναβιβάζεσθαι, ἢ τοῦτο φαινόμενον κρύπτειν διὰ τῆς θέσεως γίνεσθαι, ἵνα μὴ καὶ ἡμεῖς φονευταὶ τοῦ λόγου γενόμενοι Ἑλληνικῶς τῇ κτίσει λατρεύσωμεν παρὰ τὸν κτίσαντα, μηδὲν ἀνώτερον τῶν ὁρωμένων εἶναι πιστεύοντες καὶ τῶν αἰσθητῶν μεγαλοπρεπέστερον, ἢ μέχρι μόνου τοῦ γράμματος διαβλέποντες τὸ σῶμα μόνον [3] Ἰουδαϊκῶς περὶ πολλοῦ ποιησώμεθα, τὴν κοιλίαν θεοποιήσαντες, καὶ τὴν αἰσχύνην ἡγησάμενοι δόξαν, τὸν αὐτὸν τοῖς θεοκτόνοις κλῆρον ἀπενεγκώμεθα, ὡς τὸν καθ' ἡμᾶς δι' ἡμᾶς πρὸς ἡμᾶς γενόμενον διὰ σώματος καὶ συλλαβαῖς καὶ γράμμασι παχυ-
Cod. f. 147 a. θέντα διὰ τὴν αἴσθησιν, | ὅλην τοῦ ἐν ἡμῖν νοεροῦ τὴν δύναμιν πρὸς ἑαυτὴν ἐπικλίνασαν, οὐ διαγινώσκοντες λόγον.
2 Cor. 3, 6. Φησὶ γὰρ ὁ θεῖος ἀπόστολος, Τὸ γράμμα ἀποκτέινει, τὸ δὲ πνεῦμα ζωοποιεῖ. Καὶ γὰρ καθ' αὐτὸ μόνον τὸ γράμμα στεργόμενον τὸν ἐν αὐτῷ ἀποκτέννειν λόγον τοῖς στέργουσιν εἰω-

Digitized by Google

unita, cum congruentem universi texturam habeat ad libri instar, qui litteras primum et syllabas habet, quae prima nobis elementa sunt, proxima atque particularia, et multis qualitatibus per congregationem coagmentata corpora, verba deinde, his generaliora, quae magis distant et subtiliora sunt, unde sapienter describens et ineffabiliter eis inscripta ratio vel sermo legendo consummatur, quod solummodo est, non vero quid tandem sit utcunque significans, et per piam variarum imaginum collectionem in unam veri deliberationem introducens, convenienter sese per visibilia tanquam procreatorem conspiciendum offerens: alteram contra quae doctrina regitur, iis quae per ipsam prudenter declarantur, veluti alterum mundum ex caelo et terra et eis quae media sunt, ex morali inquam, et naturali et theologica philosophia, compositum ineffabilem patefacere eius qui declaravit virtutem, et docere pro mutuo inter se nexu nec distare scriptam legem ab naturali, quoad facultatem, neque naturalem rursus a scripta, quoad habitum, sed ambas eandem et prodere et velare rationem, unam quidem oratione et eo quod patefit, alteram intellectu et eo quod velatur. Quemadmodum enim sacrae scripturae dicta quidem vestimenta dicentes, sententias autem rationis carnes intelligentes, illis quidem velamus, his revelamus, ita etiam eorum quae facta sunt conspectui obiectas species et formas vestimenta dicentes, rationes contra secundum quas condita sunt carnes intelligentes, perinde illis velamus, his revelamus. Latet enim dum apparet universi conditor et legislator ratio, ex natura invisibilis, et apparet dum latet, quem haud tenuem esse natura sapientes pro certo habeant. Sed liceat nobis hoc per negationem manifestare occultum universamque figurarum et aenigmatum facultatem veritatis imitatricem praetergredi potius, et ad ipsam rationem a littera et apparentibus per spiritus potestatem ineffabiliter sursum evehi, quam hoc quod apparet per positionem fieri occultare, ne nos quoque rationis interfectores facti gentiliter creaturam colamus prae creatore, nihil eis quae oculis videntur quaeve sensibus percipiuntur magnificentius esse persuasi, aut ultra litteram non prospicientes corpus solum ad Iudaeorum modum plurimi faciamus, et ventrem pro deo habentes turpitudinemque pro laude ducentes parem cum dei interfectoribus mercedem feramus, utpote eam quae secundum nos propter nos apud nos corpus assumpsit atque syllabis et litteris propter sensum concrevit, qui sensus omnem in nobis intellectus vim in se convertit, Sermonem Rationem non perspicientes. Ait enim divinus apostolus, ‚Littera interficit, sed spiritus vi-

2. *πολλοῖς* cod. Gud. m. pr.

Digitized by Google

θεν, ὥσπερ καὶ τὸ κάλλος τῶν κτισμάτων μὴ πρὸς δόξαν τοῦ
ποιητικότος ὁρώμενον τῆς κατὰ λόγον εὐσεβείας ἀποστερεῖν
Matth. 24, 22. τοὺς θεωμένους πέφυκε. Καὶ πάλιν τὸ εὐαγγέλιον, Εἰ μὴ
ἐκολοβώθησαν αἱ ἡμέραι ἐκεῖναι, δηλαδὴ τῆς κακίας, οὐκ ἂν
ἐσώθη πᾶσα σὰρξ. τουτέστι πᾶσα περὶ θεοῦ εὐσεβὴς ἔννοια.
Κολοβοῦνται γὰρ κακίας ἡμέραι, τῆς κατ' αἴσθησιν δημιουρ-
γούσης αὐτὰς ἐσφαλμένης κρίσεως τῷ λόγῳ περιγραφείσης, καὶ
τοῦ κατ' αὐτὸν εὐσεβοῦς δικαιώματος κατόπιν γεγενημένης.
Ἀντιχρίστου γὰρ οὐδὲν διενήνοχεν ὃ τῆς σαρκὸς νόμος, ἀεὶ
παλαίων τῷ πνεύματι καὶ τῷ αὐτοῦ θείῳ νόμῳ ἀντιτασσό-
μενος, ἕως ἡ παροῦσα ζωὴ τοῖς ἡττημένοις αὐτῇ προσφιλὴς
ἐστι καὶ ἐράσμιος, καὶ οὔπω φανεὶς ὁ λόγος τῷ ῥήματι τῆς
δυνάμεως ἀνεῖλε, διακρίνας τοῦ ἀθανάτου τὸ θνητὸν, καὶ τῆς
ἐλευθερίας τὴν διοχλοῦσαν ἔξω ποιησάμενος δουλείαν, καὶ
τὴν ἀλήθειαν αὐτὴν καθ' ἑαυτὴν φεύδους καθαρὰν ἀποδείξας,
καὶ τῶν θείων καὶ αἰωνίων τὰ ὑλικὰ καὶ πρόσκαιρα ἀπο-
διορίσας, πρὸς ἃ πέφυκεν ὁ νοῦς διὰ τῆς κατ' αἴσθησιν πρὸς
αὐτὰ οἰκειότητος πλανώμενος ἐπικλίνεσθαι καὶ τῇ ἀλόγῳ
θανατοῦσθαι στοργῇ· πρὸς ὃν μάλιστα προηγουμένως | ἡ
Cod. f. 147 b. θεοπρεπὴς τοῦ λόγου καταβασις γίνεται, τοῦ θανάτου τῆς
ἀγνοίας αὐτὸν ἀνεγείρουσα, καὶ τῆς πρὸς τὰ ὑλικὰ ἐμπαθοῦς
διαθέσεως ἀναστέλλουσα καὶ πρὸς τὸ κατὰ φύσιν ἐραστὸν τὴν
ἔφεσιν αὐτοῦ ἐπανάγουσα. Διὸ ἀναγκαίως οἶμαι δεῖν τοῦ
ὑπὲρ τὰ ἐνδύματα μακρῷ κρείσσονος σώματος, τουτέστι τῶν
θείων καὶ ὑψηλῶν νοημάτων, τῆς τε ἁγίας γραφῆς καὶ τῶν
κατὰ τὴν κτίσιν θεαμάτων, φροντίζειν λογικοὺς ὄντας, καὶ
διὰ λόγου πρὸς λόγον σπεύδοντας, (καθὼς φησιν ὁ λόγος
Luc. 12, 23. αὐτὸς, Οὐχὶ πλέον ἐστὶν ἡ ψυχὴ τῆς τροφῆς, καὶ τὸ σῶμα
τοῦ ἐνδύματος;) μήπως ἐν καιρῷ διελεγχθῶμεν μηδὲν ἔχοντες
τούτων ἐπειλημμένοι, τοῦ ὑφεστῶτος καὶ ὑφιστῶντος τὰ πάν-
τα λόγου οὐ περιδραξάμενοι, κατὰ τὴν Αἰγυπτίαν ἐκείνην,
ἥτις μόνων τῶν ἱματίων τοῦ Ἰωσὴφ ἐπιλαβομένη τῆς τοῦ
ἐραστοῦ παντελῶς διήμαρτεν ὁμιλίας. Οὕτω γὰρ ἂν τά τε
ἐνδύματα τοῦ λόγου, φημὶ δὴ τὰ ῥήματα τῆς γραφῆς, καὶ
τὰ φαινόμενα κτίσματα, λαμπρά τε καὶ ἐπίδοξα τῇ ἐναλλαγῇ
τῶν περὶ αὐτὸν δογμάτων, καὶ τῷ θείῳ λόγῳ ἐμπρέποντα
διὰ τῆς ὑψηλῆς θεωρίας, καὶ ἡμεῖς ἐπὶ τὸ ὄρος ἀναβάντες
τῆς θείας μεταμορφώσεως θεασόμεθα, οὐδαμῶς πληκτικῶς
Ioann. 20. εἰργόμενοι τῆς μακαρίας τοῦ λόγου ἁφῆς κατὰ τὴν Μαγδαλη-
ν Μαρίαν, κηπουρὸν εἶναι δόξασαν τὸν κύριον Ἰησοῦν, καὶ
μόνων τῶν ὑπὸ γένεσιν καὶ φθορὰν δημιουργὸν οὔπω μηδὲν
ὑπὲρ τὴν αἴσθησιν εἶναι νομίζουσαν, ἀλλὰ καὶ ὀψόμεθα καὶ
Cod. f. 148 a. προσχυνήσομεν ζῶντα | ἐκ νεκρῶν πρὸς ἡμᾶς τῶν θυρῶν κε-
κλεισμένων γενόμενον, τῆς κατ' αἴσθησιν παντελῶς ἐν ἡμῖν
ἐνεργείας ἀποσβεσθείσης, τόν τε λόγον αὐτὸν καὶ θεὸν πάν-
τα ἐν πᾶσιν ὄντα, καὶ πάντα ἑαυτοῦ δι' ἀγαθότητα τὰ μὲν
νοητὰ σῶμα, τὰ δὲ αἰσθητὰ ἱμάτιον πεποιηκότα γνωσόμεθα.

Digitized by Google

vificat.' Etenim littera quoque per se solam dilecta rationem sibi inhabitantem diligentibus interficere consuevit, sicuti etiam eorum quae creata sunt pulchritudo, si non in eius qui condidit gloriam spectatur rationali verecundia privare spectatores solet. Ac rursus evangelium, ‚Si non mutilati essent dies illi', hoc est nequitiae, ‚omnis caro non salvaretur', hoc est omnis de deo pia cogitatio. Mutilantur enim nequitiae dies, cum errabundum quod eos facit sensualiter iudicium a ratione circumscriptum sit, atque post piam per hanc iustificationem retrocesserit. Ab Antichristo enim carnis lex nihil differt, semper antiquans spiritu et divinae ipsius legi opposita, usque dum praesens vita eis qui ab ea devinci se passi sunt grata atque iucunda est, et ratio nondum oborta verbo potestatis sustulerit, dividendo mortale ab immortali et gravem ex libertate expellendo servitutem, et veritatem ipsam per ipsam mendacio puram efficiendo, et a divinis atque aeternis materialia atque temporalia secernendo, quo mens per sensualem cum iis familiaritatem errabunda declinare irrationalique adfectione mortificari solet. Ad hanc autem praesertim et principaliter fit descensus rationis divinae, ut de ignorantiae morte eam resuscitet, et ab adfectione et studio materialium revocet, atque ad id quod natura amabile est appetitum eius reducat. Quapropter necessarium esse arbitror, ut corporis, quod indumentis multo praestat, hoc est divinarum et sublimium cogitationum, sacrarumque scripturarum ac conditionis spectaculorum, curam habeant qui rationales sunt, quique per rationem ad rationem properant (quemadmodum ipsa Ratio, ‚Nonne', inquit, ‚anima pluris est quam cibus, et corpus quam indumentum?') ne qua convincamur aliquando quod his prehensis nihil teneamus rationem quae produxit omnia et producit non amplexi, ut Aegyptia illa, quae solis vestimentis Iosephi comprehensis concubitus spe qua flagrabat plane excidit. Ita enim tam rationis vestimenta, scripturae inquam verba, quam quae apparent creaturas immutatione doctrinarum illius comitum splendidas atque illustres, ac divinam rationem sublimi contemplatione condecorantes, nos quoque monte divinae transfigurationis ascenso spectaverimus, non a beato rationis tactu persuasibiliter prohibiti, ut Magdalena Maria quae dominum Iesum pro hortulano habuerat solarum quae sub generationem atque interitum cadunt rerum factitatorem nihildum supra sensum esse arbitrata, sed videbimus et adorabimus vivum ex mortuis per clausas ianuas ad nos intrantem, post extinctam prorsus in nobis actionem sensualem, rationemque ipsam et deum cognoscemus, qui omnis

3. ἀποστερῆσθαι Cod. Gud.

Digitized by Google

Hebr. 1, 11. *Περὶ ὧν ἴσως εἰρῆσθαι δοκεῖν οὐκ ἀπεικὸς τὸ, Πάντες ὡς ἱμάτιον παλαιωθήσονται, διὰ τὴν ἐπικρατοῦσαν νοῦ τῶν ὁρωμένων φθορὰν, καὶ ὡςεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς, καὶ ἀλλαγήσονται, διὰ τὴν προσδοκωμένην τῆς ἀφθαρσίας χάριν.*

## *Περὶ τῶν πέντε τρόπων τῆς φυσικῆς θεωρίας σύντομος ἐξήγησις.*

*Πρὸς τούτοις δὲ καὶ τοὺς λόγους εἰσόμεθα, τοὺς τελευταίους δηλαδὴ καὶ ἡμῖν ἐφικτοὺς, ὧν προβέβληται ἡ κτίσις διδάσκαλος, καὶ τοὺς αὐτοῖς [1] συνημμένους πέντε τῆς θεωρίας τρόπους, οἷς διαιροῦντες τὴν κτίσιν οἱ ἅγιοι τοὺς ἐπ' αὐτῇ μυστικοὺς μετ' εὐσεβείας συνελέξαντο λόγους, εἰς οὐσίαν, καὶ κίνησιν, καὶ διαφορὰν, κράσιν τε καὶ θέσιν, αὐτὴν ἐπιμερίσαντες. Ὧν τρεῖς μὲν ἔφασαν εἶναί τε πρὸς ἐπίγνωσιν τοῦ θεοῦ προηγουμένως καὶ προβεβλῆσθαι χειραγωγικοὺς, τὸν κατ' οὐσίαν, τὸν κατὰ κίνησιν, τὸν κατὰ διαφορὰν, δι' ὧν ὁ θεὸς γνωστὸς τοῖς ἀνθρώποις γίνεται ἐκ τῶν ὄντων τὰς περὶ αὐτοῦ ἐμφάσεις συλλεγομένοις, ὡς δημιουργοῦ καὶ προνοητοῦ καὶ κριτοῦ· δύο δὲ παιδαγωγικοὺς πρὸς ἀρετὴν καὶ τὴν πρὸς θεὸν οἰκείωσιν, τὸν κατὰ κρᾶσιν καὶ τὸν κατὰ θέσιν, δι' ὧν τυ-*

Cod. f. 148 b. *πούμενος ὁ ἄνθρωπος θεὸς γίνηται, | τὸ θεὸς εἶναι παθὼν ἐκ τῶν ὄντων, ὅλην τοῦ θεοῦ τὴν κατ' ἀγαθότητα ἔμφασιν κατὰ νοῦν ὥςπερ ὁρῶν, καὶ ἑαυτῷ κατὰ λόγον ταύτην εἰλικρινεστάτην μορφούμενος. Ὁ γὰρ δι' εὐσεβοῦς γνώσεως, φασὶν, ὁ καθαρὸς ὁρᾶν πέφυκε νοῦς, τοῦτο καὶ παθεῖν δύναται, αὐτὸ ἐκεῖνο κατὰ τὴν ἕξιν δι' ἀρετῆς γινόμενος. Οἷον, τὴν μὲν οὐσίαν θεολογίας εἶναι διδάσκαλον, δι' ἧς τῶν ὄντων τὸ αἴτιον ἐπιζητοῦντες δι' αὐτῶν ὅτι ἔστι διδασκόμεθα, τὸ τίποτε εἶναι τοῦτο κατ' οὐσίαν γνῶναι μὴ ἐπιχειροῦντες, ὅτι μηδὲ ἔστιν ἐμφάσεως ἐν τοῖς οὖσι τοῦτον προβολὴ, δι' ἧς κἂν ποσῶς ὡς δι' αἰτιατοῦ πρὸς τὸ αἴτιον ἀνανεύσωμεν· τὴν δὲ κίνησιν τῆς τῶν ὄντων προνοίας εἶναι ἐμφαντικὴν, δι' ἧς τῶν γεγονότων τὴν κατ' οὐσίαν ἑκάστου κατ' εἶδος ἀπαράλλακτον ταυτότητα καὶ ὡςαύτως ἀπαρεγχείρητον διεξαγωγὴν θεωροῦντες, τὸν συνέχοντα καὶ φυλάττοντα καθ' ἕνωσιν ἄῤῥητον ἀλλήλων εὐκρινῶς ἀφωρισμένα τὰ πάντα καθ' οὓς ὑπέστησαν ἕκαστα λόγους ἐννοοῦμεν· τὴν διαφορὰν δὲ τῆς κρίσεως εἶναι μηνυτικὴν, καθ' ἣν διανομέα σοφὸν ἐκ τῆς ἐν ἑκάστῳ τῶν ὄντων συμμέτρου τῷ ὑποκειμένῳ τῆς οὐσίας φυσικῆς δυνάμεως τῶν καθ' ἕκαστα λόγων εἶναι τὸν θεὸν παιδευόμεθα· πρόνοιαν δέ φημι νοῦ, οὐ τὴν ἐπιστρεπτικὴν, καὶ οἷον οἰκονομικὴν τῆς τῶν προνοουμένων ἀφ' ὧν οὐ δεῖ ἐφ' ἃ δεῖ ἐπαναγωγῆς, ἀλλὰ τὴν συνεκτικὴν τοῦ παντὸς, καὶ καθ' οὓς τὸ πᾶν προηγουμένως ὑπέστη λόγους συντηρητι-*

Cod. f. 149 a. *κήν· | καὶ κρίσιν, οὐ τὴν παιδευτικὴν καὶ οἷον κολαστικὴν*

1. *σωνημμένοις — — τρόποις* cod. Gud.

Digitized by Google

in omnibus est, quique omnia sua de bonitate intellectualia corpus, sensualia indumentum, confecit. De quibus fortasse dictum esse putare non ineptum est illud, ‚Omnes ut vestimentum vetustescent', propter interitum rerum quae videntur intellectu superiorem, ‚et ut amictum vertes eos, et mutabuntur', propter expectatam immortalitatis gratiam.

## De quinque modis contemplationis naturalis brevis expositio.

Ad haec vero etiam rationes cognoscemus, extremas videlicet nostroque captui apertas, quarum data est quasi magistra conditio, et quinque cum iis cohaerentes contemplationis modos, quibus distinguentes conditionem sancti cum pietate mysticas in ea sibi collegerunt rationes, in essentiam, et motum, et differentiam, mixtionem atque positionem dispartiti. Quorum modorum tres principaliter esse ad cognitionem dei aptos et quasi manuductorios prolatos dixerunt, unum primum essentiae, alterum motus, tertium differentiae, per quod deus hominum notioni se offert ex rebus quae sunt indicia eius colligentium, ut artificis et provisoris et iudicis: duos vero prolatos esse quibus instituueremur ad virtutem et familiaritatem cum deo, mixtionis et positionis, per quos formatus homo deus fiat, deum fieri passus ex iis quae sunt, dum omne dei de bonitate simulacrum mente quasi videt, et sincerissimum sibi ipsi rationaliter id effingit. Quod enim pia cognitione, aiunt, pura mens percipit, hoc etiam pati potest, ipsum illud secundum habitum per virtutem evadit. Veluti, essentiam esse theologiae magistram, per quam rerum quae sunt causam quaerentes per ipsas quod sint docemur, quid tandem sint secundum essentiam cognoscere haud temptantes, quia nec proditum est in rebus quae sunt indicium, per quod vel aliquatenus tanquam per causatum ad causam emergamus: motionem vero significare rerum quae sunt providentiam, qua eorum quae facta sunt essentialem cuiusque ad speciem immutabilem identitatem, pariterque intaminatam exitum contemplantes, ineffabilem illum qui arcano unitatis vinculo continet atque servat universa inter se bene discreta secundum rationes quibus singula quaeque subsistunt cognoscimus: differentiam autem esse iudicii indicem, qua ex naturali in quovis eorum quae sunt ad id quod essentiae subiacet temperata potestate rationum ad singula quaeque pertinentium dispensatorem sapientem deum esse edocemur: providentiam vero attribuo intellectui, non conversivam illam et quasi oeconomicam removendi eos quibus providetur ab eis quae non opus sunt ad ea quae sunt, sed eam quae universum hoc continet et rationum quibus in principio pro-

Digitized by Google

τῶν ἁμαρτανόντων, ἀλλὰ τὴν σωστικὴν καὶ ἀφοριστικὴν τῶν ὄντων διανομὴν, καθ' ἣν τῶν γεγονότων ἕκαστα τοῖς καθ' οὓς γεγένηται συνημμένα λόγοις ἀπαράβατον ἔχει τὴν ἐν τῇ φυσικῇ ταυτότητι ἀναλλοίωτον νομιμότητα, καθὼς ἐξ ἀρχῆς ὁ δημιουργὸς περὶ τοῦ εἶναι καὶ τί εἶναι καὶ πῶς καὶ ὁποῖον ἕκαστον ἔκρινέ τε καὶ ὑπεστήσατο· ἐπεί τοιγε ἡ ἄλλως λεγομένη πρόνοια καὶ κρίσις ταῖς ἡμῶν προαιρετικαῖς ὁρμαῖς παραπεπήγασι, τῶν μὲν φαύλων πολυτρόπως ἀπείργουσαι, πρὸς δὲ τὰ καλὰ σοφῶς ἐπιστρέφουσαι, καὶ τῷ διευθύνειν τὰ οὐκ ἐφ' ἡμῖν ἐναντίως τοῖς ἐφ' ἡμῖν καὶ παροῦσαν καὶ μέλλουσαν καὶ παρελθοῦσαν κακίαν ἐκτέμνουσαι. Οὐκ ἄλλην δὲ καὶ ἄλλην πρόνοιαν διὰ τούτων εἶναι λέγω καὶ κρίσιν. Μίαν γὰρ καὶ τὴν αὐτὴν οἶδα κατὰ τὴν δύναμιν, διάφορον δὲ ὡς πρὸς ἡμᾶς καὶ πολύτροπον τὴν ἐνέργειαν ἔχουσαν. Τὴν δὲ κράσιν τῶν ὄντων ἤτοι σύνθεσιν τῆς ἡμετέρας γνώμης εἶναι σύμβολον. Κραθεῖσα γὰρ αὕτη ταῖς ἀρεταῖς, καὶ ἑαυτῇ ταύτας κεράσασα, τὸν κατὰ διάνοιαν θεοπρεπέστατον καὶ αὐτὴ συνίστησι κόσμον. Τὴν δὲ θέσιν τοῦ κατὰ γνώμην ἤθους εἶναι διδάσκαλον, ὡς παγίως ἔχειν περὶ τὸ [2] εὖ δόξαν τῷ ῥυθμίζειν ἀντιλόγῳ ὀφείλοντος, ἥκιστα τοῖς συμπίπτουσιν ἐκ τῆς κατὰ λόγον βάσεως ἀλλοίωσιν τὴν οἱανοῦν δεχομένου. Συνάψαντες δὲ πάλιν τῇ κινήσει τὴν θέσιν, καὶ τὴν κράσιν τῇ διαφορᾷ, εἰς οὐσίαν καὶ διαφορὰν καὶ κίνη-
Cod. f. 149 b. σιν τὴν τοῦ παντὸς ἀδιαιρέτως | διέκριναν ὑπόστασιν, καὶ τῷ κατ' ἐπίνοιαν λόγῳ τεχνικῶς ἐνθεωρεῖσθαι τοῖς αἰτιατοῖς διαφόρως τὸ αἴτιον κατανοήσαντες καὶ εἶναι καὶ σοφὸν εἶναι καὶ ζῶν εἶναι εὐσεβῶς τοῦτο κατέλαβον. Καὶ τὸν περὶ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος θεοτελῆ καὶ σωτήριον ἐντεῦθεν ἐδιδάχθησαν λόγον, καθ' ὃν οὐ τὸν τοῦ εἶναι μόνον ἁπλῶς τοῦ αἰτίου [3] λόγον μυστικῶς ἐφωτίσθησαν, ἀλλὰ καὶ τὸν τῆς ὑπάρξεως τρόπον εὐσεβῶς ἐμυήθησαν. Καὶ πάλιν κατὰ μόνην τὴν θέσιν πᾶσαν τὴν κτίσιν περιαθρήσαντες τοὺς εἰρημένους πέντε εἰς τρεῖς συνέστειλαν θεωρίας τρόπους, ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν μέσῳ ἠθικῆς καὶ φυσικῆς καὶ θεολογικῆς φιλοσοφίας διδάσκαλον τὴν κτίσιν εἶναι τῷ καθ' ἑαυτὴν λόγῳ ἐπεγνωκότες. Πάλιν δὲ ἐκ μόνης τῆς διαφορᾶς τὴν κτίσιν θεωρήσαντες, τουτέστιν ἐκ τῶν περιεχόντων καὶ περιεχομένων, λέγω δὲ τοῦ οὐρανοῦ καὶ τῶν ἐντὸς, εἰς δύο τοὺς τρεῖς συνήγαγον τρόπους, σοφίαν φημὶ καὶ φιλοσοφίαν, τὴν μὲν ὡς περιεκτικὴν καὶ πάντας θεοπρεπῶς τοὺς εὐσεβεῖς ἐπ' αὐτῆς λεγομένους ἐπιδεχομένην τρόπους, καὶ τοὺς περὶ τῶν ἄλλων ἐντὸς ἑαυτῆς μυστικούς τε καὶ φυσικοὺς περικλείουσαν λόγους, τὴν δὲ ὡς ἤθους καὶ γνώμης, πράξεώς τε καὶ θεωρίας, καὶ ἀρετῆς καὶ γνώσεως συνεκτικὴν, καὶ οἰκειό-

2. εὐδόξαν τῷ ῥυθμίζον cod. Gud. In marg. ab eadem manu adscriptum legitur δόξαντος. 3. Apographum habet λόγου.

Digitized by Google

ductum est conservatricem: et iudicium, non illud quod instruit atque coercet peccantes, sed quod salvat et definit rerum quae sunt distributionem, quo eorum quae facta sunt quaeque cum iis secundum quas facta sunt rationibus cohaerentia inviolatam habent in naturali immutabilem identitate aequabilitatem, prout a principio rerum artifex de essentia et substantia et modo et qualitate iudicavit et disposuit; quippe nimirum quae alias dicatur providentia et iudicium voluntatis nostrae appetitibus annexa sunt, quae a pravis nos multifariam retinent, ad bona sapienter nos advertunt atque ea quae nobis non adversentur contra atque ea quae adversentur administrando tam praesentem quam futuram et peractam malitiam excidunt. Neque differre tamen hanc ab illa propterea dixerim providentiam et hoc ab illo iudicium. Unam enim eandemque eas novi de potestate, sed diversam quasi in nostris rebus et multifariam efficacitatem exercentem. Mixtionem vero rerum, vel compositionem, sententiae nostrae esse symbolum. Haec enim virtutibus admixta sibique ipsi eas admiscens mundum etiam ipsa intellectualem deo dignissimum componit. Positionem vero morum secundum voluntatem et consilium temperandorum magistram, ut qui circa id quod placuit ei quod aequabilitati adversetur firmiter obsistere debent, nequaquam de rationali fundamento depelli aut immutari capiens. Coniunctam vero rursus cum motione positionem, et mixtionem cum differentia, in essentiam et differentiam et motionem universitatis substantiam individuo quodam modo discriminaverunt, dumque cogitationis via in causatis diverse aspici causam perite intellegunt, et esse hanc, et sapere, et vivere pie perceperunt. Etiam de patre deque filio et spiritu sancto rationem in deo perfectam ac salutarem didicerunt, qua non simpliciter de existendi solum ratione causae mystice sunt illuminati, sed etiam existentiae modo pie sunt initiati. Et rursus secundum solam positionem tota conditione perlustrata quinque illos quos dixi modos in tres contraxere contemplationis modos, ut de caelo et terrae et eorum quae media interiacent moralis et naturalis et theologicae philosophiae magistram conditionem de sua ipsius ratione esse agnoscentes. Rursus autem ex sola differentia contemplati conditionem, hoc est ex eis quae circumdant et circumdantur, caelo inquam et eis quae circumplectitur, in duos redegerunt istos tres modos, in sapientiam dico et philosophiam, alteram quidem ut comprehensivam cunctosque ita ut dignum est deo modos pios qui ipsius censentur recipientem, et infra sese mysticas et naturales de reliquis rationes includentem: alteram ut quae mores et voluntatem, actionem et contemplationem, et virtutem et cognitionem comprehensas familiaritate relativa ad



Digitized by Google

τετι σχετικῇ πρὸς τὴν σοφίαν ὡς αἰτίαν ἀναφερομένην. Καὶ πάλιν κατὰ μόνην τὴν κράσιν ἤτοι τὴν ἐναρμόνιον τοῦ παντὸς σύνθεσιν, τὴν κτίσιν κατανοήσαντες, καὶ διὰ πάντων
Col. f. 150 a. τῶν ἀλλήλοις | ἀῤῥήτως εἰς ἑνὸς συμπλήρωσιν κόσμου συνδεδεμένων μόνον τὸν συνδέοντα καὶ ἐπισφίγγοντα τῷ ὅλῳ τὰ μέρη καὶ ἀλλήλοις δημιουργὸν ἐννοήσαντες λόγον τοὺς δύο εἰς ἕνα θεωρίας συνέκλεισαν τρόπον, καθ' ὃν ἁπλῇ προσβολῇ διὰ τῶν ἐν τοῖς οὖσι λόγων πρὸς τὸ αἴτιον νοῦν διαπορθμεύσαντες, καὶ μόνῳ αὐτῷ ὡς συναγωγῷ τῶν ἐξ αὐτοῦ πάντων καὶ ἑλκτικῷ προσδήσαντες, τοῖς καθ' ἕκαστα τῶν ὅλων τῷ ὑπερβαθῆναι οὐκέτι διαχεόμενοι λόγοις, διὰ τοῦ πεπεῖσθαι σαφῶς μόνον τὸν θεὸν κυρίως εἶναι λοιπὸν ἐκ τῆς πρὸς τὰ ὄντα ἀκριβοῦς ἐνατενίσεως, καὶ οὐσίαν τῶν ὄντων καὶ κίνησιν, καὶ τῶν διαφερόντων εὐκρίνειαν, καὶ συνοχὴν ἀδιάλυτον τῶν κεκραμμένων, καὶ ἵδρυσιν ἀμετάθετον τῶν τεθειμένων, καὶ πάσης ἁπλῶς τῆς ὑπωσοῦν νοουμένης οὐσίας, καὶ κινήσεως καὶ διαφορᾶς, κράσεώς τε καὶ θέσεως αἴτιον, σοφῶς δι' ἐμφεροῦς ὁμοιότητος τὴν κατὰ τὸν αἰσθητὸν αἰῶνα μυστικὴν θεωρίαν ἐπὶ τὸν κατὰ διάνοιαν ἐν πνεύματι διὰ τῶν ἀρετῶν συμπληρούμενον κόσμον μετήνεγκαν· καθ' ἣν τοὺς εἰρημένους τρόπους εἰς ἕνα συναγαγόντες τὸν διαφόροις ἀρετῶν εἴδεσι τὴν τοῦ κατὰ διάνοιαν γνωμικοῦ κόσμου οὐσίαν ἐκπληροῦντα δι' ὅλου λόγον μονιότατον ἑαυτοῖς, ὡς ἐφικτὸν, ἐναπωμόρξαντο, πάντας δηλαδὴ περάσαντες τοὺς τῶν ὄντων καὶ αὐτοὺς τοὺς τῶν ἀρετῶν λόγους, μᾶλλον δὲ μετὰ τούτων πρὸς τὸν ὑπὲρ τούτους, καὶ εἰς ὃν οὗτοι καὶ ἐξ οὗ τὸ εἶναι τούτοις ἐστὶν, ὑπερούσιον καὶ ὑπεράγαθον λόγον ἀγνώστως ἀναδραμόντες· καὶ ὅλοι ὅλῳ
Cod. f. 150 b. κατὰ τὸ ἐφικτὸν | τῆς ἐνούσης αὐτοῖς φυσικῆς δυνάμεως [4] ἑνωθέντες τοσοῦτον ἐνδεχομένως ὑπ' αὐτοῦ ἐποιώθησαν, ὥστε καὶ ἀπὸ μόνου γνωρίζεσθαι, οἷον ἔκοπτρα διειδέστατα, ὅλου τοῦ ἐνορῶντος θεοῦ λόγου τὸ εἶδος ἀπαραλείπτως διὰ τῶν θείων αὐτοῦ γνωρισμάτων φαινόμενον ἔχοντες, τῷ ἐλλειφθῆναι μηδένα τῶν παλαιῶν χαρακτήρων, οἷς μηνύεσθαι πέφυκε τὸ ἀνθρώπινον, πάντων εἰξάντων τοῖς ἀμείνοσιν, οἷον ἀὴρ ἀφεγγὴς φωτὶ δι' ὅλου μετεγκραθείς.

## Θεωρία εἰς τὸν Μελχισεδέκ.

Ὅπερ, οἶμαι, γνοὺς καὶ παθὼν ὁ θαυμαστὸς ἐκεῖνος καὶ μέγας Μελχισεδὲκ, περὶ ὃν τὰ μεγάλα καὶ θαυμαστὰ παρὰ τῇ γραφῇ ὁ θεῖος διεξέρχεται λόγος, χρόνου καὶ φύσεως ὑπεράνω γενέσθαι, καὶ ὁμοιωθῆναι τῷ υἱῷ τοῦ θεοῦ κατηξιώθη, τοιοῦτος ἕξει δηλαδὴ κατὰ τὴν χάριν ὡς ἐφικτὸν γενόμενος, οἷος αὐτὸς ὁ δότης τῆς χάριτος κατὰ τὴν οὐσίαν

4. ἑνωθέντος habet Apographum.

Digitized by Google

sapientiam tanquam ad causam deducit. Atque rursus iuxta solam mixtionem, hoc est aequabilem universitatis compositionem, conditionem spectantes, ac per haec omnia, quae mutuo inter se vinculo in unius mundi completionem ineffabili quodam modo cohaerent, solum eum qui ea conligat, cumque universitate partes singulas hasque ipsas inter se ipsas invicem constringit, opificem rationem cogitabundi, duos istos in unum contemplationis modum cluserunt, secundum quem uno appulsu per rationes rerum quae sunt mentem ad causam transmittentes, eique uni tanquam conciliatrici eorum quae ex ea sunt omnium, ac secum trahenti, adiungentes, universorum rationibus per singula quaeque superatorum non iam diffusi, cum eis plane persuasum esset solum deum proprie relinqui ex accurata rerum quae sunt intuitione, et essentiam earum et motionem, et ordinem bene distinctum eorum quae distant, et eorum quae mixta sunt insolubile vinculum, et immutabilem eorum quae posita sunt collocationem, et omnis simpliciter essentiae quaqua menti perceptae, et motionis et discretionis, mixtionis atque positionis causam, hinc, inquam, per similitudinem congruentem sapienter mysticam hoc sensuali aevo contemplationem in mundum intellectualem in spiritu per virtutes completum transtulerunt, secundum quam contemplationem modos quos dixi in unum conflantes rationem variis virtutum speciebus voluntatis consiliique mundi essentiam omnino explentem, solum sibi quatenus poterant, ipsis impresserunt, superatis videlicet eorum quae sunt ipsisque virtutum rationibus, vel potius cum his ad eam quae ultra has est, et in quam hae et unde quod sunt habent, superessentialem rationem, et quae bonitatem excedit, incomprehensibiliter evecti: et omnes omni quantum ex insita eis naturali potestate licuit, aduniti tantum quoad eius fieri potuit ab ea qualificati sunt, ut etiam a solo insignirentur, velut specularia lucidissima, totius dei inspectantis rationis speciem plene per divina eius insignia apparentem habentes, eo quod nullum de pristinis signaculis, quibus humanum indicaretur, reliquum erat, iis quae meliora sunt cedentibus omnibus, ad instar aeris illumini luce plenissima transfusi.

## Contemplatio in Melchisedec.

Quod, puto, novit et passus est admirabilis ille et magnus Melchisedec, de quo magna et admirabilia in scripturis divinus sermo enarrat, quod tempus ac naturam superavit, deique filio similari dignus habitus est, talis videlicet habitu secundum gratiam quoad potuit factus qualis ipse gratiae dator secundum essentiam esse creditur. Quod enim sine patre et matre et sine genere censetur, nihil aliud significare puto quam quae contigit ei ex summa propter virtutem gra-



Digitized by Google

Hebr. 7, 3. ὑπάρχων πιστεύεται. Τὸ γὰρ ἀπάτωρ καὶ ἀμήτωρ καὶ ἀγενεαλόγητος περὶ αὐτοῦ λεγόμενον, οὐκ ἄλλο μηνύειν ὑπονοῶ ἢ τὴν ἐγγενομένην αὐτῷ ἐκ τῆς κατ' ἀρετὴν ἀκροτάτης χάριτος τελείαν τῶν φυσικῶν γνωρισμάτων ἀπόθεσιν· τὸ δὲ μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχειν, τὴν χρόνου παντὸς καὶ αἰῶνος ἰδιότητα περιγράφουσαν γνῶσιν, καὶ πάσης ὑλικῆς καὶ αὐλου οὐσίας τὴν ὕπαρξιν ὑπερβαίνουσαν θεωρίαν μαρτυρεῖ· τὸ δὲ ἀφωμοιωμένος τῷ υἱῷ τοῦ θεοῦ μένει εἰς τὸ διηνεκὲς ἱερεὺς, τάχα μέχρι τέλους καθ' ἕξιν ἄτρεπτον τῆς θεοειδεστάτης ἀρετῆς καὶ τῆς θείας καὶ πρὸς τὸν θεὸν |
Cod. f. 151 a. ἐνατενίσεως τὸ νοερὸν ὄμμα ἀνεπίμυστον δυνηθῆναι φυλάξαι παραδηλοῖ. Τῇ φύσει γὰρ ἡ ἀρετὴ μάχεσθαι πέφυκε, καὶ χρόνῳ καὶ αἰῶνι ἡ ἀληθὴς θεωρία, ἵνα ἡ μὲν ἀδούλωτος μένοι τοῖς ἄλλοις ὅσα μετὰ θεὸν εἶναι πιστεύεται, καὶ ἀκράτητος, ὡς θεὸν μόνον εἰδυῖα γεννήτορα, ἡ δὲ ἀπερίγραφος, οὐδένι τῶν ἀρχὴν ἢ τέλος ἐχόντων ἐναπομένουσα, ὡς θεὸν δι' ἑαυτῆς εἰκονίζουσα, τὸν πάσης ἀρχῆς καὶ τέλους ὁριστικὸν, καὶ πᾶσαν νόησιν τῶν νοούντων κατ' ἔκστασιν ἄῤῥητον πρὸς ἑαυτὸν ἕλκοντα. Ἐξ ὧν ἡ θεῖα ὁμοίωσις δείκνυται, γνώσεώς τέ φημι καὶ ἀρετῆς, καὶ δι' ὧν ἡ εἰς μόνον τὸν θεὸν· ἀκλόνητος ἀγάπη τοῖς ἀξίοις φυλάττεται, καθ' ἣν τὸ τῆς υἱοθεσίας ἀξίωμα θεοπρεπῶς διδόμενον διηνεκῶς ἐντυγχάνειν θεῷ καὶ παρεστάναι χαρίζεται, πρὸς δυςώπησιν αὐτὴν τοῦ ἐντυγχάνοντος τὴν θείαν ὁμοίωσιν παρεχόμενον. Ὅθεν εἰκότως ὑπολαμβάνω μὴ διὰ χρόνου καὶ φύσεως, ὑφ' ἃ φυσικῶς ἐτέλει ὁ μέγας Μελχισεδὲκ, βίῳ καὶ λόγῳ ὑπερβαθέντων ἤδη καὶ παντελῶς καταλελειμμένων, προσαγορευθῆναι δεῖν, Ὁ θεῖος αὐτὸν ἐδικαίωσε λόγος, ἀλλ' ἐξ ὧν καὶ δι' ὧν ἑαυτὸν μετεποίησε γνωμικῶς, ἀρετῆς· λέγω καὶ γνώσεως, ὀνομασθῆναι. Ἐφ' ὧν γὰρ ἡ γνώμη γενναίως διὰ τῶν ἀρετῶν τὸν δυσμαχώτατον τῆς φύσεως κατηγωνίσατο νόμον, καὶ τὴν χρόνου καὶ αἰῶνος ἰδιότητα διὰ γνώσεως ἀχράντως ἡ τοῦ νοῦ ὑπερίπταται κίνησις, τούτοις οὐκ ἔστιν ἐπιφημίσαι
Cod. f. 151 b. δίκαιον τῶν ἀπολειφθέντων ὡς γνώρισμα τὴν ἰδιότητα, | ἀλλὰ μᾶλλον τὴν τῶν προληφθέντων μεγαλοπρέπειαν, ἐξ ὧν καὶ ἐν οἷς μόνον εἰσὶ λοιπὸν καὶ ἐπιγινώσκονται. Ἐπεὶ καὶ ἡμεῖς φυσικῶς τοῖς ὁρατοῖς ἐπιβάλλοντες ἐκ τῶν χρωμάτων τὰ σώματα καὶ γνωρίζομεν καὶ ὀνομάζομεν, οἷον ὡς φῶς τὸν πεφωτισμένον ἀέρα, καὶ πῦρ τὴν οἱανοῦν πυρὸς ἐξημμένην ὕλην, καὶ λευκὸν τὸ λελευκασμένον σῶμα, καὶ ὅσα ἄλλα τοιουτότροπα. Εἰ τοίνυν γνωμικῶς τὴν ἀρετὴν τῆς φύσεως καὶ τῶν κατ' αὐτὴν ἁπάντων προετίμησε, διὰ τὴν καλὴν τοῦ ἐφ' ἡμῖν ἀξιώματος αἵρεσιν, καὶ πάντα χρόνον καὶ αἰῶνα κατὰ τὴν γνῶσιν ὑπερηκόντισε, πάντα ὅσα μετὰ θεὸν κατόπιν ἑαυτοῦ γνωστικῶς κατὰ τὴν θεωρίαν ποιησάμενος, οὐδενὶ τῶν ὄντων ἐμμείνας ᾧ ἐπιθεωρεῖται τὸ οἰονοῦν πέρας, ὁ θεῖος Μελχισεδὲκ, πρὸς δὲ τὰς θείας καὶ ἀνάρχους καὶ ἀθανάτους

Digitized by Google

tia naturalium insignium perfectam depositionem: illud vero, quod neque dierum initium neque vitae finem habeat, cognitionem tempus omne et aevum circumscribentem, et contemplationem omnis materialis et immaterialis substantiae existentiam superantem testatur: quod vero filio dei adsimilatus sacerdos maneat in perpetuum, id fortasse manifestat eum ad usque finem habitu immutato posse virtutis deo simillimae ac divinae et in deum intuitionis intellectualem oculum servare apertum. Cum natura enim confligit virtus, cum tempore et aevo vera contemplatio, altera ut invicta a ceteris maneat quaecunque post deum esse creduntur, et insuperata, ut solum deum sciens genitorem, altera vero incircumscripta, in nullo eorum quae initium aut finem habent immorans, utpote dei per se imaginem referens, qui omne initium et finem definit omnemque intellectionem intellegentium ineffabili ecstasi ad se trahit. Ex quibus divina apparet similitudo, cognitionis inquam et virtutis, et per quas inturbatus dei solius amor dignis servatur, secundum quem adoptionis dignatio ut deum decet data perpetuo adire deum et adesse gratificatur, quae dignatio ad exorationem ipsam adeuntis divinam similitudinem exhibet. Unde probabiliter arbitror non per tempus et naturam, sub quibus naturaliter finiit magnus Melchisedec, quaeque vita et ratione iam superavit et prorsus dereliquit, dici debere, ‚Divina eum cum iustificavit ratio', sed ex quibus et per quae animum ac voluntatem suam regeneravit, id est virtute et cognitione, debere vocari. In quibus enim voluntas gnaviter per virtutes cum lege naturae, cum qua bellum perquam difficile, decertavit, atque temporis aevique proprietatem per cognitionem intemerate mentis transvolat motio, his non fas est attribuere relictorum tanquam insigne proprietatem, sed potius assumptorum magnificentiam, ex quibus et in quibus solum sunt atque agnoscuntur. Si quidem etiam nos naturaliter eis quae videntur incidentes ex coloribus corpora et signamus et appellamus, veluti lucem aerem luce perfusum, et ignem qualemcunque incensam materiam, et candidum corpus candidatum, quaeque alia sunt huius generis. Quod si secundum animi ac voluntatis virtutem pluris aestimavit quam naturam et quaecunque eam sequuntur, propter pulchram nostrae dignitatis electionem, et omne tempus atque aevum cognitione superavit, quaecunque post deum sunt a tergo sibi esse gnostices secundum contemplationem aestimans, et nulli eorum quae existunt in quo qualiscunque ille terminus observatur, immoratus, divinus Melchisedec, et si ad divinas dei quae principio carent et immortales sunt essentias per rationem secundum gratiam in spiritu generatus est, et salvam in se et veram fert dei genitoris similitudinem (si quidem vel

Digitized by Google

[1 οὐσίας] τοῦ θεοῦ διὰ τοῦ λόγου κατὰ χάριν ἐν πνεύματι γεγέννηται, καὶ σῶαν καὶ ἀληθῆ ἐν ἑαυτῷ φέρει τοῦ γεννήσαντος θεοῦ τὴν ὁμοίωσιν (ἐπεὶ καὶ πᾶσα γέννησις ταὐτὸν
Ioann. 3, 6. τῷ γεννῶντι πέφυκεν ἀποτελεῖν τὸ γεννώμενον· Τὸ γὰρ γεγεννημένον, φησὶν, ἐκ τῆς σαρκὸς, σάρξ ἐστι, τὸ δὲ γεγεννημένων ἐκ τοῦ πνεύματος πνεῦμά ἐστιν), εἰκότως οὐκ ἐκ τῶν φυσικῶν καὶ χρονικῶν ἰδιωμάτων, οἷς πατήρ τε καὶ μήτηρ καὶ γενεαλογία, ἀρχή τε καὶ τέλος ἡμερῶν περιέχεται, ἅπερ φθάσας ἑαυτοῦ παντελῶς ἐπελύσατο, ἀλλ' ἐκ τῶν θείων καὶ μακαρίων γνωρισμάτων, οἷς τὸ εἶδος ἑαυτῷ μετεποίησεν,
Cod. f. 152 a. ὠνομάσθη, | ὧν οὐκ ἐφικνεῖται οὐ χρόνος, οὐ φύσις, οὐ λόγος, οὐ νοῦς, οὐδ' ἄλλο τι κατὰ περιγραφὴν φάναι τῶν ὄντων οὐδέν. Ἀπάτωρ οὖν καὶ ἀμήτωρ καὶ ἀγενεαλόγητος, μήτε ἀρχὴν ἡμερῶν, μήτε τέλος ζωῆς ἔχων, ἀναγέγραπται ὁ μέγας Μελχισεδὲκ, ὡς ὁ ἀληθὴς τῶν θεοφόρων ἀνδρῶν τὰ περὶ αὐτοῦ διεσάφησε λόγος, οὐ διὰ τὴν φύσιν τὴν κτιστὴν καὶ ἐξ οὐκ ὄντων, καθ' ἣν τοῦ εἶναι ἤρξατό τε καὶ ἔληξεν, ἀλλὰ διὰ τὴν χάριν τὴν θείαν καὶ ἄκτιστον, καὶ ἀεὶ οὖσαν ὑπὲρ πᾶσαν φύσιν καὶ πάντα χρόνον, ἐκ τοῦ ἀεὶ ὄντος θεοῦ, καθ' ἣν δὲ ὅλου μόνην ὅλος γνωμικῶς γεννηθεὶς ἐπιγινώσκεται. Μόνος δὲ τοῦτο ὧν τῇ γραφῇ τετήρηται, ὡς πρῶτος ἴσως ὑπὲρ τὴν ὕλην καὶ τὸ εἶδος κατὰ τὴν ἀρετὴν γενόμενος, ἅπερ διὰ τοῦ ἀπάτωρ καὶ ἀμήτωρ καὶ ἀγενεαλόγητος δηλοῦσθαι δύναται, καὶ ὡς πάντα τὰ ὑπὸ χρόνον καὶ αἰῶνα κατὰ τὴν γνῶσιν παρελθὼν, ὧν τὸ εἶναι χρονικῶς τῆς γενέσεως ἤρξατο τὸ ποτὲ εἶναι οὐκ ἠρνημένης, οὐδ' ὁτιοῦν τῷ κατὰ διάνοιαν θείῳ δρόμῳ ἐνσκάσας ὅπερ σημαίνει τυχὸν τὸ μήτε ἀρχὴν ἡμερῶν μήτε τέλος ζωῆς ἔχειν· καὶ ὡς ἐξηρημένως, κρυφίως τε καὶ σεσιγημένως, καὶ συνελόντα εἰπεῖν, ἀγνώστως, μετὰ πᾶσαν τῶν ὄντων πάντων ἀφαίρεσιν κατὰ νοῦν εἰς αὐτὸν εἰσδὺς τὸν θεὸν, καὶ ὅλος ὅλῳ ποιωθείς τε καὶ μεταποιωθεὶς, ὅπερ τὸ, Ἀφωμοιωμένος δὲ τῷ υἱῷ τοῦ θεοῦ μένει ἱερεὺς εἰς τὸ διηνεκὲς ὑπεμφαίνειν δύναται. Πᾶς γάρ τις τῶν ἁγίων, οὗτινος [2 κατ' ἐξαίρετον ἀπήρξατο καλοῦ, κατ
Cod. f. 152 b. αὐτὸ καὶ τύπος εἶναι τοῦ | δοτῆρος θεοῦ ἀνηγόρευται. Καθ' ὃ σημαινόμενον καὶ οὗτος ὁ μέγας Μελχισεδὲκ διὰ τὴν ἐμποιηθεῖσαν αὐτῷ θείαν ἀρετὴν εἰκὼν εἶναι κατηξίωται Χριστοῦ τοῦ θεοῦ, καὶ τῶν ἀπορρήτων αὐτοῦ μυστηρίων, εἰς ὃν πάντες μὲν οἱ ἅγιοι συνάγονται ὡς ἀρχέτυπον καὶ τῆς ἐν ἑκάστῳ αὐτῶν τοῦ καλοῦ ἐμφάσεως αἴτιον, μάλιστα δὲ οὗτος, ὡς τῶν ἄλλων ἁπάντων πλείους ἐν ἑαυτῷ φέρων τοῦ Χριστοῦ τὰς ὑποτυπώσεις.

## Ἐξήγησις εἰς τὸν κύριον, περὶ τῶν λεγομένων εἰς τὸν Μελχισεδέκ.

Μονώτατος γὰρ ὁ κύριος ἡμῶν καὶ θεὸς Ἰησοῦς Χριστὸς φύσει καὶ ἀληθείᾳ ἀπάτωρ ἐστὶ καὶ ἀμήτωρ καὶ ἀγε-

Digitized by Google

quaelibet generatio generatoris simile repraesentat generatum; ‚Nam quod generatum est', inquit, ‚de carne, caro est, quod vero de spiritu est generatum, spiritus est'), sequitur ut non ex naturalibus et temporalibus proprietatibus, quibus pater et mater et genealogia, initium et finis comprehenduntur dierum, quae ille antevertens omnino exuit, sed ex divinis ac beatis insignibus, quibus sibi speciem transformavit, sit appellatus, quae non attaminat tempus, nec natura, neque ratio, neque mens, nec aliud quidpiam, ut breviter dicam quaecunque sunt. Sine patre igitur et matre, et sine genere, initio dierum et fine vitae carens, perscriptus est magnus Melchisedec, quemadmodum verax deiferorum virorum sermo res eius enarravit, non propter naturam quae creata est, et de nihilo creata est, secundum quam ille vivere et coepit et desiit, sed propter gratiam divinam, non creatam et sempiternam, quae omnem tam naturam quam tempus superat, ex aeterno deo, secundum quam gratiam solam omnis omnino voluntate et animo generatus agnoscitur. Solus autem eius generis in scriptura servatus est, quippe qui primus fortassis materiam et formam virtute superavit, id quod per illud, ‚Sine patre et matre et sine genere' significari potest, quique omnia tempori et aevo subiecta cognitione transgressus est, quorum existentia temporaliter de nativitate inchoata est quae in tempus aliquod incidere fierique voluerit, neque in divino unquam intellectus curriculo claudicans, id quod fortasse significat illud quod neque principium dierum neque finem habere narratur: et ut singulari plane et non communi modo, clam et tacite, et ut breviter dicam, modo incognito, rebus quae sunt amputatis plane atque relictis mente in ipsum deum immergens sese, et totus toti qualificatus et transqualificatus, id quod illud, ‚Similatus autem dei filio manet sacerdos in perpetuum', subindicare potest. Sanctorum enim quilibet quo praecipue inchoavit pulchro, secundum id etiam simulacrum dei datoris declaratus est. Qua sententia hic quoque magnus Melchisedec propter divinam virtutem ei insitam simulacrum Christi dei esse dignus habitus est, eiusque ineffabilium mysteriorum, in quem universi sancti congregantur tanquam in archetypum ac pulchri in quovis eorum imaginis causam, praesertim vero hic, utpote qui plures quam reliqui in sese Christi deformationes ferebat.

## Enarratio in dominum de iis quae in Melchisedec dicta sunt.

Unus enim dominus noster et deus Iesus Christus natura ac veritate sine patre est et sine matre et sine genere,

1. Vocabulum *σάρκα* supplevi de meo. 2. *κατεξαίρετον* cod. Gud.

Digitized by Google

νεαλόγητος, καὶ μήτε ἀρχὴν ἡμερῶν μήτε ζωῆς τέλος ἔχων· ἀμήτωρ μὲν διὰ τὸ ἄϋλον καὶ ἀσώματον καὶ παντελῶς ἄγνωστον τῆς ἄνω ἐκ τοῦ πατρὸς προαιωνίου γεννήσεως· ἀπάτωρ δὲ κατὰ τὴν κάτω καὶ χρονικὴν ἐκ τῆς μητρὸς καὶ ἐνσώματον γέννησιν, ἧς κατὰ τὴν σύλληψιν τὸ διὰ σπορᾶς εἶδος οὐ κατεστήσατο· ἀγενεαλόγητος δὲ ὡς ἐπ' ἀμφοῖν αὐτοῦ τῶν γεννήσεων τὸν τρόπον ἔχων καθόλου τοῖς πᾶσιν ἄβατον καὶ ἀκατάληπτον. Τὸ δὲ μήτε ἀρχὴν ἡμερῶν μήτε ζωῆς τέλος ἔχων, ὡς ἄναρχος καὶ ἀτελεύτητος καὶ παντελῶς ἄπειρος, οἷα φύσει θεός· μένει δὲ ἱερεὺς εἰς τὸν αἰῶνα, ὡς μηδενὶ θανάτῳ κακίας ἢ φύσεως τοῦ εἶναι πανόμενος, ὅτι θεὸς καὶ πάσης τῆς κατὰ φύσιν καὶ ἀρετὴν ζωῆς χορηγός. Μὴ νόμιζε δὲ ταύτης τινὰ ἀμοιρεῖν τῆς χάριτος, ἐπειδὴ περὶ μόνου τοῦ
Cod. f. 153 a. μεγάλου Μελχισεδὲκ ὁ λόγος αὐτὴν εἶναι διωρίσατο. | Πᾶσι γὰρ ἴσως ὁ θεὸς τὴν πρὸς σωτηρίαν φυσικῶς ἐνέθηκε δύναμιν, ἵνα ἕκαστος βουλόμενος τῆς θείας μεταποιεῖσθαι χάριτος δύνηται, καὶ θέλων Μελχισεδὲκ γενέσθαι, καὶ Ἀβραὰμ, καὶ Μωϋσῆς, καὶ ἁπλῶς πάντας μεταφέρειν εἰς ἑαυτὸν τοὺς ἁγίους, μὴ κωλύηται, οὐκ ὀνόματα καὶ τόπους ἀμείβων, ἀλλὰ τρόπους καὶ πολιτείαν μιμούμενος.

## Θεωρία ἄλλη εἰς τὸν Μελχισεδέκ.

Πᾶς τοιγαροῦν τὰ μέλη νεκρώσας τὰ ἐπὶ τῆς γῆς, καὶ ὅλον ἑαυτοῦ τῆς σαρκὸς ἀποσβέσας τὸ φρόνημα, καὶ τὴν πρὸς αὐτὴν δι' ὅλου σχέσιν ἀποσεισάμενος, δι' ἧς ἡ τῷ θεῷ μόνῳ χρεωστουμένη παρ' ἡμῶν ἀγάπη μερίζεται, καὶ ἀρνησάμενος πάντα τὰ τῆς σαρκὸς καὶ τοῦ κόσμου γνωρίσματα, τῆς θείας ἕνεκεν χάριτος, ὥστε καὶ λέγειν δύνασθαι μετὰ τοῦ μακαρίου
Rom. 8, 35. Παύλου τοῦ ἀποστόλου, Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; καὶ τὰ ἑξῆς, ὁ τοιοῦτος ἀπάτωρ καὶ ἀμήτωρ καὶ ἀγενεαλόγητος κατὰ τὸν μέγαν Μελχισεδὲκ γέγονεν, οὐκ ἔχων ὅπως ὑπὸ σαρκὸς κρατηθῇ καὶ φύσεως, διὰ τὴν γεγενημένην πρὸς τὸ πνεῦμα συνάφειαν.

## Θεωρία εἰς τὸ μήτε ἀρχὴν ἡμερῶν ἔχειν, μήτε τέλος ζωῆς.

Εἰ δὲ καὶ ἑαυτὸν πρὸς τούτοις ἠρνήσατο, τὴν ἰδίαν
Luc. 9, 23. ἀπολέσας τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτὴν, τουτέστι τὴν παροῦσαν ζωὴν μετὰ τῶν αὐτῆς θελημάτων τῆς κρείττονος ἕνεκεν προιέμενος ζῶντά [1] τε καὶ ἐνεργοῦντα μονώτατον τὸν τοῦ θεοῦ λόγον κέκτηται, διϊκνούμενον κατ' ἀρε-
Cod. f. 153 b. τὴν καὶ γνῶσιν ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος, | καὶ μηδὲν τὸ παράπαν τῆς αὐτοῦ παρουσίας ἄμοιρον ἔχει, γέγονε καὶ ἄναρχος καὶ ἀτελεύτητος, τὴν χρονικὴν μηκέτι φέρων ἐν ἑαυτῷ κινουμένην ζωὴν, τὴν ἀρχὴν καὶ τέλος ἔχουσαν, καὶ πολλοῖς δονουμένην παθήμασι, μόνην δὲ τὴν θείαν τοῦ ἐνοικήσαντος λόγου καὶ ἄϊδιον καὶ μηδενὶ θανάτῳ περατουμένην.

Digitized by Google

et initio dierum et vitae fine caret. Sine matre, propter immateriale et incorporale et plane incognitum nativitatis eius ex patre aeterno; sine patre, propter eius in hac terra temporalem ac corporalem ex matre generationem, cuius secundum conceptionem et semen instituendae genus non secutus est; sine genere denique, ut utriusque generationis suae modo omnibus plane invio et incomprehensibili usus. Quod autem principio dierum et vitae fine caret, hoc quia sine initio ac fine est, ac prorsus infinitus, utpote natura deus; manet vero sacerdos in aeternum, quia nulla morte malitiae naturaeve existere desinit, utpote deus omnisque de natura ac virtute vitae largitor. Noli autem huius quemquam gratiae expertem esse putare eo quod de magno uno Melchisedec eam sermo definiit. Omnibus enim aequaliter deus salutis adipiscendae de natura insevit facultatem, ut quicunque voluerit divina gratia impertiri possit, nec si Melchisedec fieri, et Abraam, ac Moysis et simpliciter cunctos in se transferre sanctos cupiverit prohibeatur, non nomina et loca mutando, sed modos et conversationem imitando.

## Contemplatio alia in Melchisedec.

Quicunque igitur membra mortificavit in terra, atque totum carnis suae prudentiam extinxit, totamque ad eam relationem excussit per quam ea quae soli deo a nobis debetur caritas dividitur, atque omnia carnis et mundi ob divinam gratiam negavit signacula, adeo ut cum beato apostolo Paulo dicere quoque possit, ‚Quis nos a caritate Christi separabit?' et reliqua, talis sine patre ac matre et sine genere ad magni Melchisedec instar factus est, nec sub carne aut natura ullo modo potest teneri, cum spiritu copulationem adeptus.

## Contemplatio in id quod neque initium dierum neque finem vitae habuit.

Si vero etiam sese ipsum insuper negavit et animam suam mea gratia perdidit, inveniet eam, hoc est praesente vita cum suis studiis quo rem longe meliorem lucrifaceret abiecta vivum et efficacem solam dei rationem possidet, quae virtute et cognitione ad animae usque et spiritus divisionem penetret, neque ullum omnino quod praesentiae illius expers sit habet, factus est et sine principio ac sine fine, temporalem in se non amplius mobilem vitam ferens, quae initium habeat ac finem multisque affectionibus turbetur, sed solam inhabitantis rationis divinam vitam atque perennem, nullique morti terminatam.

1. *dè* cod. Gud.

Digitized by Google

## *Θεωρία εἰς τὸ, Μένει ἱερεὺς εἰς τὸν αἰῶνα.*

*Εἰ δὲ καὶ προσοχῇ πολλῇ τῷ ἰδίῳ ἐπαγρυπνεῖν οἶδε χαρίσματι, διὰ πράξεως καὶ θεωρίας τῶν ὑπὲρ φύσιν καὶ χρόνον ἐπιμελόμενος ἀγαθῶν, γέγονε καὶ ἱερεὺς διηνεκὴς καὶ αἰώνιος, νοερῶς ἀεὶ τῆς θείας ἀπολαύων ὁμιλίας, καὶ διὰ τὸ μιμεῖσθαι τῇ περὶ τὸ καλὸν κατὰ τὴν γνώμην ἀτρεψίᾳ τὸ κατὰ φύσιν ἄτρεπτον μὴ κωλυόμενος Ἰουδαϊκῶς ἁμαρτίας θανάτῳ εἰς τὸ διηνεκὲς παραμένειν, καὶ θυσίαν προσφέρειν αἰνέσεως καὶ ἐξομολογήσεως, ἐνδόξως θεολογῶν ὡς δημιουργὸν τῶν ἁπάντων, καὶ εὐγνωμόνως εὐχαριστῶν ὡς προνοητῇ καὶ κριτῇ τῶν ὅλων δικαίῳ, ἐν τῶν κατὰ διάνοιαν θείῳ θυσιαστηρίῳ, ἐξ οὗ φαγεῖν οὐκ ἔχουσα ἐξουσίαν οἱ τῇ σκηνῇ λατρεύοντες. Οὐ γὰρ οἱόντε μυστικῶν θείας γνώσεως ἄρτων καὶ κρατῆρος ζωτικοῦ σοφίας μεταλαχεῖν τοὺς μονοστοιχοῦντας τῷ γράμματι, καὶ ἀλόγων θυσίαις παθῶν πρὸς σωτηρίαν ἀρκουμένους, καὶ τὸν μὲν θάνατον τοῦ Ἰησοῦ, διὰ τῆς καθ' ἁμαρτίαν ἀργίας καταγγέλλοντας, τὴν δὲ ἀνάστασιν αὐτοῦ, ὑπὲρ ἧς καὶ δι' ἣν ὁ θάνατος γέγονε, διὰ τῆς κατὰ νοῦν θεωρίας, τῆς ἐν δικαιοσύνῃ ἔργων ἀγαθῶν πεφωτισμένης, οὐχ ὁμολογοῦντας, καὶ τὸ μὲν θανατωθῆναι σαρκὶ εὖ μάλα*

Cod. f. 154 a. *προθύμως | ἑλομένους, τὸ δὲ ζωοποιηθῆναι καὶ πνεύματι οὐδ' ὁπωσοῦν ἀναρχομένους, ἔτι τῆς κατ' αὐτοὺς σκηνῆς ἐχούσης στάσιν διὰ τὸ μήπω πεφανερῶσθαι αὐτοῖς τὴν διὰ λόγου καὶ*

Ioann. 14, 6. *γνώσεως τῶν ἁγίων ὁδὸν, ἥτις ἐστὶν ὁ λόγος τοῦ Θεοῦ ὁ εἰπών, Ἐγώ εἰμι ἡ ὁδὸς, καὶ ἀπὸ τοῦ σάρκα λόγον εἰδέναι διὰ πρακτικῆς τὸν κύριον ἐπὶ τὴν ὡς μονογένους παρὰ πατρὸς δόξαν, τὴν πλήρη χάριτος καὶ ἀληθείας, διὰ θεωρίας ἐλθεῖν οὐκ ἐφιεμένους.*

## *Θεωρία εἰς τὸν Ἀβραάμ.*

*Ἀβραὰμ πάλιν πνευματικὸς γίνεται τῆς γῆς καὶ τῆς συγγενείας καὶ τοῦ οἴκου τοῦ πατρὸς ἐξερχόμενος καὶ εἰς τὴν ὑπὸ Θεοῦ δεικνυμένην ἐρχόμενος γῆν, ὁ τῆς σαρκὸς κατὰ διάθεσιν ἀποῤῥήξας, καὶ ἐκτὸς αὐτῆς γενόμενος τῷ χωρισμῷ τῶν παθῶν, καὶ τὰς αἰσθήσεις ἀπολιπὼν, καὶ μηδεμίαν δι' αὐτῶν ἁμαρτίας ἔτι παραδεχόμενος πλάνην, καὶ τὰ αἰσθητὰ πάντα παρελθὼν, ἐξ ὧν τῇ ψυχῇ διὰ τῶν αἰσθήσεων τὸ ἀπατᾶσθαι καὶ παίειν προσγίνεται, καὶ μόνῳ τῷ νῷ παντὸς ὑλικοῦ ἐλευθέρῳ δεσμοῦ εἰς τὴν θείαν καὶ μακαρίαν τῆς γνώσεως ἐρχόμενος γῆν, καὶ εἰς μῆκος καὶ πλάτος αὐτὴν μυστικῶς διοδεύων, ἐν ᾗ τὸν κύριον ἡμῶν εὑρήσει καὶ θεὸν Ἰησοῦν Χριστὸν, τὴν ἀγαθὴν τῶν φοβουμένων αὐτὸν κληρονομίαν, εἰς μῆκος μὲν ἀνείκαστον δι' ἑαυτὸν ὑπὸ τῶν ἀξίων κατὰ τὸ ἐφικτὸν ἀνθρώποις θεολογούμενον, δι' ἡμᾶς δὲ εἰς πλάτος δοξολογούμενον, διὰ τῆς συνεκτικῆς τοῦ παντὸς σοφωτάτης αὐτοῦ προνοίας, καὶ τῆς ὑπὲρ ἡμῶν μάλιστα θαυμαστῆς καὶ ὑπεραῤῥήτου οἰκονομίας, καὶ μέτοχος τῶν οἷς γεραίρειν τὸν*

Digitized by Google

## Contemplatio in illud, ‚Manet sacerdos in aeternum.'

Si vero etiam summa cum intentione proprio gratiae donativo invigilare novit, perque actionem et contemplationem curam habuit bonorum quae naturam atque tempus superant, factus est etiam sacerdos perpetuus atque aeternus, intellectualiter semper dei consuetudine fruens, et sua circa pulchrum voluntatis constantia naturalem constantiam cum aemuletur, non prohibitus Iudaice in morte peccati, perpetuo perseverare, sacrificiumque offerre laudis et confessionis, clare deum praedicans ut omnium conditorem, et pio animo gratias agens ei ut provido atque iudici universorum aequo, in intellectuali ara divina, unde eis qui tabernaculum venerantur edere non licet. Fieri enim non potest ut mysticorum divinae cognitionis panum ac poculorum vitalis sapientiae ii participes fiant qui sola in littera inceduńt, irrationaliumque ad suam salutem sacrificiis passionum contenti, Iesuque mortem per peccandi cessationem pronuntiantes, resurrectionem vero eius, de qua et propter quam mors facta est, per intellectualem contemplationem, quae in bonorum actionum iustitia collustratur, diffitentes, et carnaliter mortificari paratissimi, at vivificari quoque in spiritu nequaquam denuo inchoantes, tabernaculo ipsorum adhuc stante, quando nondum eis per rationem et cognitionem sanctorum via est monstrata quae dei sermo est, dicens, ‚Ego sum via', — et postquam dominum sermonem carnem per philosophiam activam cognorunt, ad gloriam, quae unigeniti est apud patrem, gratiae et veritatis plenam per contemplationem venisse non cupientes.

## Contemplatio in Abraham.

Abraham rursus spiritualis fit de terra, de propinquitate deque patris domo discedens in terram quam deus monstravit, qui a carne sese secundum habitum abrumpens, et extra eam factus passionum divortio, sensibusque relictis nullum amplius per eos peccati errorem recipiens, sensibiliaque omnia praetergressus, ex quibus animae per sensus fraus fit atque illusio, solaque mente omni materiali vinculo libera in divinam atque beatam cognitionis terram profectus longe lateque eam mystice peragrat, ubi dominum nostrum inveniet atque deum Iesum Christum, bonam illam eorum qui ipsum verentur haereditatem, Christum, in longitudinem quidem incomparabilem sui causa a dignis quoad fieri potest apud homines, praedicatum, nostri causa vero in latitudinem glorificatum de sapientissima eius quae omnia complectitur providentia deque admirabili illa praesertim et plus quam in-

1. τὸν cod. Gud.

Digitized by Google

Cod. f. 154 b. κύριον | ἐξεπαιδεύθη τρόπων κατὰ πρᾶξιν τέως καὶ θεωρίαν γενόμενος, δι' ὧν ἡ πρὸς θεὸν βεβαίως κυροῦσθαι πέφυκε φιλία τε καὶ ἀφομοίωσις. Καὶ συντόμως περὶ τούτων εἰπεῖν, ὁ σάρκα καὶ αἴσθησιν καὶ κόσμον, περὶ ἃ τοῦ νοῦ ἡ πρὸς τὰ νοητὰ κατὰ τὴν σχέσιν διάλυσις γίνεται, πρακτικῶς καταπαλαίσας, καὶ μόνῃ διανοίᾳ δι' ἀγάπης θεῷ γνωστικῶς προσχωρήσας, ὁ τοιοῦτος ἄλλος Ἀβραὰμ ὑπάρχει, διὰ τῆς ἴσης χάριτος τὸν αὐτὸν τῷ πατριάρχῃ τῆς ἀρετῆς καὶ τῆς γνώσεως ἔχων χαρακτῆρα δεικνύμενος.

## Θεωρία εἰς τὸν Μωυσῆν.

Καὶ Μωυσῆς πάλιν ἄλλος ἐκφαίνεται, ὁ ἐν τῷ καιρῷ τῆς τῶν παθῶν δυναστείας, ὁπηνίκα τοῦ διαβόλου τοῦ νοητοῦ Φαραὼ τυραννοῦντος τὸ χεῖρον ἐπικρατεῖν τοῦ ἀμείνονος, καὶ τοῦ πνευματικοῦ τὸ σαρκικὸν ἐπανίστασθαι, καὶ πᾶς εὐσεβὴς ἀναιρεῖσθαι πέφυκε λογισμός, κατὰ θεὰν γνωμικῶς γεννώμενος, καὶ θήκῃ ἀσκήσεως ἀληθοῦς ἐμβληθείς, ἠθικοῖς ἔξωθεν κατὰ σάρκα τρόποις καὶ ἔσωθεν κατὰ ψυχῆς θείοις ἠσφαλισμένος νοήμασι, καὶ μέχρι νόμου τῆς ἀναλήψεως τῶν φυσικῶν θεωρημάτων ἀνεχόμενος εἶναι ὑπὸ τὴν αἴσθησιν, τὴν τοῦ νοητοῦ Φαραὼ θυγατέρα, ζήλῳ δὲ γνησίῳ τῶν θείων ἀγαθῶν τὸ Αἰγυπτιάζον τῆς σαρκὸς ἀποκτείνας φρόνημα, καὶ ὑπὸ τὴν ψάμμον, τὴν τῶν κακῶν ἄγονον ἕξιν φημὶ, καταθέμενος, ἐν ᾗ κἂν ὑπὸ τοῦ ἐχθροῦ σπαρῇ τὸ τῆς κακίας ζιζάμιον, οὐ πέφυκε φύεσθαι διὰ τὴν ἐνοῦσαν ἐνδιαθέτως πτωχείαν τοῦ πνεύματος, τὴν τὸ ἀπαθὲς γεννῶ-
Cod. f. 155 a. σάν τε καὶ φυλάττουσαν | καὶ θείῳ προστάγματι τὴν ἀγριουμένην τοῖς πνεύμασι τῆς πονηρίας καὶ τοῖς ἀλλεπαλλήλοις τῶν πειρασμῶν κύμασι δενδρουμένην, τῆς πικρᾶς καὶ ὄντως ἁλμώδους κακίας ὁρίζουσαν θάλασσαν καθὼς γέγραπται, Ὁ
Hierem. 5. 22. τιθεὶς ἄμμον ὅριον τῇ θαλάσσῃ, καὶ λέγων αὐτῇ, Μέχρι
Prov. 8, 29. τούτου διελεύσῃ, καὶ οὐχ ὑπερβήσῃ, καὶ ἐν σοὶ συντριβήσονταί σου τὰ κύματα· τοὺς δὲ εἰς γῆν ἔτι κατανεύοντας λογισμοὺς καὶ τὴν ἐξ αὐτῆς ἐπιζητοῦντας ἀπόλαυσιν, ὑπὲρ ἧς τὸ θυμικὸν διαμάχεσθαι καὶ τὸν διαγνωστικὸν τυραννεῖν καὶ ἀπωθεῖσθαι πέφυκε λόγον, προβάτων δίκην διὰ τῆς ἐρήμου παθῶν καὶ ὑλῶν ἐστερημένης καὶ ἡδονῶν καταστάσεως ἄγων ὡς ἐπιστήμων ποιμὴν πρὸς τὸ ὄρος τῆς γνώσεως τοῦ θεοῦ τὸ ἐν τῷ ὕψει τῆς διανοίας ὁρώμενον. Ὡι φιλοπόνως ἐνδιατρίβων διὰ τῶν προσφυῶν κατὰ πνεῦμα θεωρημάτων μετὰ τὴν ἀπόλειψιν τῆς κατὰ νοῦν πρὸς τὰ αἰσθητὰ σχέσεως (τοῦτο γὰρ οἶμαι δηλοῦν τὴν τοῦ τεσσαρακονταετοῦς χρόνου πάροδον), καὶ τοῦ ἀῤῥήτου καὶ ὑπερφυοῦς ὥςπερ θάμνῳ τῇ οὐσίᾳ τῶν ὄντων ἐνυπάρχοντος θείου πυρὸς κατ' ἔννοιαν θεατὴς γενέσθαι καὶ ἀκροατὴς ἀξιωθήσεται, τοῦ ἐκ τῆς βάτου τῆς ἁγίας παρθένου φημὶ ἐπ' ἐσχάτων τῶν χρόνων ἐκλάμψαντος καὶ διὰ σαρκὸς ἡμῖν ὁμιλήσαντος θεοῦ λόγου, γυμνὸν τὸ τῆς διανοίας ἴχνος

Digitized by Google

effabili pro nobis oeconomia, eorum quoque quibus honorare dominum didicit modorum active interim et contemplative factus particeps, quibus modis firmiter sancitur dei amor atque assimilatio. Et ut breviter de his dicam, is qui carnem et sensum et mundum, circa quos mentis ad intelligibilia fit relativa solutio, active debellavit, soloque intellectu per dilectionem ad deum cognitione accessit, eiusmodi alter est Abraham, et de pari gratia pari cum patriarcha virtutis et cognitionis charactere instructus apparet.

## Contemplatio in Moysea.

Etiam Moyses rursus alter apparet qui regni passionum tempore, cum diabolo intellegibili Pharaone dominante melius in ditionem peioris cogeretur, et carnale exsurgeret contra spirituale, et omnis pia cogitatio tolleretur secundum deum de voluntate atque animo natus, inque loculo verae exercitationis impositus, moralibus extra carnaliter modis et intra animaliter stabilitus consiliis, et usque ad legem receptionis naturalium contemplationum sub sensu esse patiens, id est sub intellegibili Pharaonis filia, studio autem bonorum divinorum sincero carnis, quae Aegyptum refert, prudentiam interficiens, et in harena, malorum, sterilem dico habitum, expositus, in quo, etiamsi ab inimico malitiae spargatur, lolium crescere nequit, ob intimam spiritus inopiam, quae statum ab affectibus liberum gignit et alit, per quam divino imperio nequitiae spiritus grassantur, quaeque tentationum fluctibus assiduis tanquam silva inhorrescit, amarae ac revera salsuginosae nequitiae mare limitans, ut scriptum est, ‚Qui disposui harenam mari, et dicit ei, Hucusque penetrabis, et ultra non transgredieris, et in te conflictabuntur tui fluctus:‘ — cogitationes vero adhuc in terram inclinantes et frui hac terra cupientes, pro qua thymicon, sive concupiscentivum, decertat, et cognitionis, sive diagnosticam, rationem dominatur atque propulsat, ovium instar per desertam regionem passionibus et materiis voluptatumque concilio privatam agens, tanquam gnarus opilio, ad montem cognitionis dei quod in sublimitate sensus videtur: in quo studiose versatus per aptas spirituales contemplationes, relicta mentis ad sensualia relatione (hoc enim significari puto per transitum annorum quadraginta annorum), ineffabilis quoque et horrendi, qui velut in arbusto in rerum essentia inest, ignis divini spectator cogitatu et auditor fieri merebitur, dei inquam Sermonis, qui de sanctae virginis rubro in novissimis diebus eluxit et carnaliter nobis conversatus est; nudum intellectus vestigium tali mysterio propinquans, humanarumque cogitationum, ut mortuarum, calceamentis plane liberum, et ad investigandam

Digitized by Google

τῷ τοιούτῳ μυστηρίῳ προσάγων, καὶ λογισμῶν ἀνθρωπίνων ὡς νεκρῶν ὑποδημάτων παντελῶς ἐλεύθερον, καὶ πρὸς μὲν ζήτησιν, ὥσπερ πρόσωπον, τὸ τῆς διανοίας ὀπτικὸν ἀποστρέ-
Cod. f. 155 b. φων, πίστει δὲ μόνῃ πρὸς ὑποδοχὴν τοῦ | μυστηρίου, ἀκοῆς τρόπον, τὸ τῆς ψυχῆς εὐπειθὲς διανοίγων, παρ' οὗ τὴν ἰσχυρὰν καὶ ἀήττητον κατὰ τῶν πονηρῶν δυνάμεων κομίσαντος δύναμιν τῶν παρὰ φύσιν τὰ κατὰ φύσιν, καὶ τῶν σαρκικῶν τὰ ψυχικὰ, καὶ τῶν ὑλικῶν τε καὶ αἰσθητῶν τὰ νοητὰ καὶ ἄϋλα κατὰ πολλὴν ἀφορίζει ἐξουσίαν, τῆς δοῦλον ποιεῖν τὸ ἐλεύθερον πειρωμένης πολὺ ὑπερέχων δυνάμεως.

## Ἄλλη Θεωρία εἰς τὸν αὐτὸν σύντομος.

Καὶ ἵνα συνελὼν εἴπω, ὁ μὴ ὑπελθὼν τὸν τῆς ἁμαρτίας ζυγὸν, μήτε τῷ θολερῷ τῶν παθῶν ῥεύματι διὰ τῆς κακῆς ἐπιθυμίας ἑαυτὸν ἐμπνίξας, καὶ αἰσθήσει τρέφεσθαι τῇ πηγῇ τῶν ἡδονῶν ἀνασχόμενος, ἀποκτείνας δὲ μᾶλλον τὸ φρόνημα τῆς σαρκὸς, τὸ τυραννοῦν τῆς ψυχῆς τὴν εὐγένειαν, καὶ πάντων τῶν φθειρομένων ὑπεράνω γενόμενος τὸν πλάνον τοῦτον κόσμον ὥσπερ Αἴγυπτόν τινα φυγὼν, τὸν ἐκθλίβοντα ταῖς σωματικαῖς φρόντισι τὸν διορατικώτατον νοῦν, καὶ καθ' ἡσυχίαν ἑαυτῷ συγγενόμενος καὶ φιλοπόνῳ σχολῇ τῆς διεπούσης θείως τὸ πᾶν θείας προνοίας τὴν σοφὴν οἰκονομίαν διὰ τῆς ἐπιστημονικῆς τῶν ὄντων θεωρίας ἀῤῥήτως διδαχθεὶς, κἀντεῦθεν διὰ μυστικῆς θεολογίας, ἣν κατ' ἔκστασιν ἄῤῥητον νοῦς καθαρὸς διὰ προσευχῆς πιστεύεται μόνος, ὡς ἐν γνόφῳ τῇ ἀγνωσίᾳ ἀφθέγκτως θεῷ συγγενόμενος, καὶ ἑαυτὸν ἔσωθεν κατὰ νοῦν εὐσεβείας δόγμασι, καὶ ἔξωθεν, ὡς τὰς πλάκας ὁ Μωυσῆς, ἀρετῶν χάρισι δακτύλῳ θεοῦ τῷ ἁγίῳ πνεύματι ἐγχαράξας, ἢ γραφικῶς εἰπεῖν, ὁ ἑλόμενος συγκακουχεῖσθαι
Cod. f. 156 a. τῷ λαῷ τοῦ θεοῦ μᾶλλον ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας | ἀπόλαυσιν, καὶ τῶν ἐν Αἰγύπτῳ θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ τιμιώτερον κρίνας, τουτέστι πλούτου καὶ δόξης, τῶν προσκαίρων καὶ φθειρομένων, τοὺς ὑπὲρ ἀρετῆς ἑκουσίως ἀνθαιρούμενος πόνους, — οὗτος Μωϋσῆς πνευματικὸς γέγονεν, οὐχ ὁρατῷ διαλεγόμενος Φαραὼ, ἀλλὰ ἀοράτῳ τυράννῳ καὶ ψυχῶν φονευτῇ καὶ κακίας ἀρχηγῷ τῷ διαβόλῳ καὶ ταῖς ἀμφ' αὐτὸν πονηραῖς δυνάμεσι μεθ' ἧς διὰ χειρὸς ἐπιφέρεται ῥάβδου, τῆς κατὰ τὸ πρακτικὸν φημι τοῦ λόγου δυνάμεως, νοητῶς παρατασσόμενος.

## Θεωρία περὶ τοῦ, Πῶς τοὺς πρὸ νόμου καὶ μετὰ νόμον ἁγίους τις μιμήσασθαι δύναται, καὶ τίς ἡ τοῦ φυσικοῦ νόμου καὶ τοῦ γραπτοῦ κατὰ τὴν εἰς ἀλλήλους μεταχώρησιν ταυτότης.

Ὡσαύτως δὲ καὶ πάντας τοὺς ἁγίους ἕκαστος ἡμῶν θέλων εἰς ἑαυτὸν μεταθεῖναι δύναται, πρὸς ἕκαστον πνευματικῶς ἐκ τῶν περὶ αὐτοῦ καθ' ἱστορίαν τυπικῶς γεγραμμένων

Digitized by Google

velut faciem mentis aciem avertens, solaque fide ad recipiendam mysterii, ad aurium instar, animae obsequium patefaciens, ex quo, validam et invictam contra malas potestates habente potestatem, ab eis quae contra naturam ea quae secundum naturam, a carnalibus animalia, a materialibus sensibilibusque intellegibilia et immaterialia, eam quae libertatem fortiter segregat, famulare studet longe superans potestatem.

## Alia contemplatio brevis in eundem.

Atque ut paucis absolvam, is qui peccati iugum non subiit, neque coenoso passionum flumine per malam cupidinem sese suffocavit ac sensu voluptatum fonte ali se passus est, immo potius prudentiam carnis, quae in nobilitatem animae exercet dominatum, interfecit et eorum quae intereunt superior factus hunc mundum erroris plenum veluti Aegyptum aliquam fugit, quae perspicacissimam mentem corporalibus curis vexat, qui quiete secum conversatus otioque studiis ac laboribus dedito de sapiente divinae providentiae, quae divine universum moderatur et curat, dispensatione per gnaram rerum contemplationem ineffabili modo edoctus est, indeque per mysticam theologiam, quae castae solum menti per orationem creditur, ignorantiae tanquam in nimbo, ineffabiliter congressus cum deo intus sibi in mente pietatis praecepta et extrinsecus, quemadmodum tabulis Moyses, virtutum gratias dei digito qui sanctus spiritus est, inscripsit, vel, ut expresse dicam, qui cum populo dei afflictari quam temporalem fructum peccati percipere et thesauris Aegypti contumeliam Christi praetulit, hoc est divitiis atque gloriae, quae sunt temporalia atque interitui obnoxia, labores pro virtute sponte ac lubenter suscipere maluit, — is Moyses spiritualis factus est, non cum visibili colloquens Pharaoni, sed cum invisibili tyranno animarumque interfectori et nequitiae principi diabolo, quaeque eum comitantur malis potestatibus virga, quam manu fert, actuali inquam rationis potestate intellectualiter congrediens.

## Contemplatio in illud, ‚Quomodo quis possit sanctos tam qui ante legem quam qui post legem exiterunt aemulari possit, et quaenam sit naturalis legis atque scriptae secundum mutuam in se transitionem ac vicissitudinem identitas.

Similiter vero item quicunque nostrum volet omnes sanctos in se transferre potest, dum ad quemque spiritualiter sese format ex iis quae typice de eo memoriae mandata sunt

Digitized by Google

1 Cor. 10, 11. μορφούμενος (Συνέβαινε γὰρ ἐκείνοις τυπικῶς, φησὶν ὁ θεῖος ἀπόστολος, ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησε), πρὸς μὲν τοὺς πάλαι πρὸ νόμου ἁγίους, ἀπὸ μὲν κτίσεως κόσμου τὴν περὶ θεοῦ γνῶσιν εὐσεβῶς ποριζόμενος, ἀπὸ δὲ τῆς τὸ πᾶν σοφῶς διοικούσης προνοίας τὰς ἀρετὰς κατορθοῦν διδασκόμενος, κατ' αὐτοὺς ἐκείνους τοὺς πρὸ τοῦ νόμου ἁγίους, οἳ διὰ πάντων φυσικῶς ἐν ἑαυτοῖς τὸν γραπτὸν ἐν πνεύματι προχαράξαντες νόμον εὐσεβείας καὶ ἀρετῆς τοῖς κατὰ νόμον εἰκότως προεβλήθησαν
Esai. 51, 2. ἐξεμπλάριον (Ἐμβλέψατε γὰρ, φησὶ, πρὸς Ἀβραὰμ τὸν πα-
Cod. f. 156 b. τέρα ὑμῶν, καὶ Σάῤῥαν | τὴν ὠδίνουσαν ὑμᾶς) πρὸς δὲ τοὺς κατὰ νόμον διὰ τῶν ἐντολῶν εἰς ἐπίγνωσιν τοῦ ἐν αὐταῖς ὑπηγορευμένου θεοῦ δι' εὐσεβοῦς ἐννοίας ἀναγόμενος, καὶ τοῖς καθήκουσι τῶν ἀρετῶν τρόποις δι' εὐγενοῦς πράξεως καλλωπιζόμενος, καὶ ταὐτὸν τῷ γραπτῷ νόμῳ τὸν φυσικὸν ὄντα παιδευόμενος, ὅταν σοφῶς διὰ συμβόλων κατὰ τὴν πρᾶξιν ποικίλληται, καὶ ἔμπαλιν τῷ φυσικῷ τὸν γραπτὸν, ὅταν ἐνοειδὴς καὶ ἁπλοῦς καὶ συμβόλων ἐν τοῖς ἀξίοις κατ' ἀρετήν τε καὶ γνῶσιν διὰ λόγου καὶ θεωρίας ἐλεύθερος γένηται, κατ' αὐτοὺς ἐκείνους τοὺς ἐν νόμῳ ἁγίους, οἳ τὸ γράμμα ὥσπερ κάλυμμα περιελόντος τοῦ πνεύματος τὸν φυσικὸν νόμον ἔχοντες πνευματικῶς διεδείχθησαν.

*Ὅτι καὶ οἱ κατὰ νόμον ἅγιοι πνευματικῶς τὸν νόμον ἐκδεχόμενοι τὴν δι' αὐτοῦ μηνυομένην χάριν προέβλεπον.*

Πάντες γὰρ διαῤῥήδην ἑτέραν παρὰ τὴν νομικὴν ἔσεσθαι λατρείαν προθεωρήσαντες τὸ κατ' αὐτὴν φανησόμενον τῆς θεοπρεπεστάτης ζωῆς τέλειον προεκήρυξαν, καὶ τῇ φύσει πρόσφορόν τε καὶ οἰκειότατον, ὡς μηδενὸς τῶν ἐκτὸς πρὸς τελείωσιν ἐπιδεόμενοι, καθὼς πᾶσι δῆλον καθέστηκε τοῖς μὴ ἀγνοοῦσι τὰ διὰ τοῦ νόμου καὶ τῶν προφητῶν θεῖα θεσπί-
2 Reg. 24. 4 Reg. 20. σματα. Ὅπερ μάλιστα Δαβὶδ καὶ Ἐζεκίας καὶ τῷ καθ' ἑαυτὸν πρὸς τοῖς ἄλλοις ἑκάτερος δράματι παρηνίττετο, ὁ μὲν ὑπὲρ τῆς ἁμαρτίας νομικῶς τὸν θεὸν ἐξιλεούμενος, ὁ δὲ προσθήκῃ ζωῆς ἑτέρᾳ παρὰ τὸν νόμον θεσμῷ παρὰ τοῦ θεοῦ σεμνυνόμενος.

*Ὅτι καὶ ὑπὲρ τὸν γραπτὸν καὶ ὑπὲρ τὸν φυσικὸν νόμον γίνεται ὁ τῷ Χριστῷ γνησίως διὰ τῶν ἀρετῶν κατὰ διάθεσιν ἀκολουθῶν.*

Οὐδὲν δὲ τὸ κωλύον, ὡς οἶμαι, ἐστὶ τὸν ἐν τούτοις προπαιδευθέντα τοῖς νόμοις, τῷ φυσικῷ τέ φημι καὶ τῷ γραπτῷ, [1] θεοφιλῶς, ἥπερ τούτοις γενέσθαι θεοπρεπῶς, καὶ

1. θεοφιλως (sic) εἴπερ τούτους cod. Gud.

Digitized by Google

(‚Evenerunt enim illis in imaginem', divinus ait apostolus, ‚sunt vero ad nos commonendos conscripta, in quos fines aevorum decucurrerunt'), ad veteres quae legem antecesserunt, a condito mundo dei cognitionem pie adquirendo, a providentia vero universum sapienter administrante virtutes exercere discendo, in modum ipsorum illorum qui ante legem vixerunt sanctorum, qui per omnia naturaliter in semet ipsis scriptam spiritu legem ante expresserunt et pietatis ac virtutis veluti exemplarium legalibus merito sunt propositi (nam, ‚Intuemini', inquit, ‚in Abrahamum patrem vestrum, et in Saram, quae peperit vos'): ad eos vero qui secundum legem vixerunt, dum per praecepta in agnitionem dei, praedicati in illis, pia mente promovetur, et convenientibus virtutum modis per nobilem actionem ornatur, eandemque cum scripta naturalem legem esse instruitur, quando sapienter per symbola actualiter variatur, et rursus nec differre a naturali scriptam, quando unius speciei ac simplex inque dignis tam de virtute quam de cognitione per rationem et contemplationem symbolis liber fit, ad ipsorum illorum imaginem sanctorum in libris sacris recensitorum, qui, littera tanquam velamento a spiritu sublata naturali lege usi spiritualiter apparuerunt.

## Quod etiam legales sancti spiritualiter legem accipientes gratiam per eam manifestatam providebant.

Omnes enim diserte alium praeter legalem cultum prospicientes vitae deo convenientissimae secundum eum consummationem apparituram praedixerunt naturaeque commodam atque maxime propriam, cum externorum nihil ad perfectionem opus haberent; quemadmodum universis liquido constat qui legis atque prophetarum divina oracula non ignorant. Id quod praecipue David atque Ezechias et sua uterque cum aliis conversandi agendique ratione significarunt, alter dum pro peccato legaliter deum placat et veniam impetrat, alter dum alio praeter legem praecepto vitae additamento a deo augetur.

## Quod is qui sincero animi studio Christum per virtutes sectatur etiam superet legem tam scriptam quam naturalem.

Nihil autem impedit, ut arbitror, quominus is qui his legibus, naturali inquam ac scripta, dei amorem mereri vel probationem institutus est, atque extra has per sinceram fidem solam rationem ad summum bonum deducentem fideli-



Digitized by Google

τούτων χωρὶς δὲ εἰλικρινοῦς πίστεως μόνῳ τῷ ἐπὶ τὸ ἀκρότατον ἀγαθὸν ἄγοντι λόγῳ γνησίως ἀκολουθήσαντα, καὶ μηδενὸς κατ᾽ ἔννοιαν τὸ παράπαν ἁπτόμενον πράγματος ἢ λογισμοῦ ἢ νοήματος οἷς ἡ ὁπωσοῦν οὖσα παντὸς τοῦ ὁπωσοῦν νοουμένου τε καὶ ὄντος φύσις τε καὶ γνῶσις ὑποπίπτει καὶ ἐμφαίνεται, [2] ὥσπερ εἰκὸς τὸν ἕπεσθαι γνησίως προθέμενον τῷ διεληλυθότι τοὺς οὐρανοὺς Ἰησοῦ, καὶ τῇ παραδείξει τοῦ θείου φωτὸς δυνηθῆναι τὴν ἀληθῆ τῶν ὄντων, ὡς ἔστιν ἀνθρώπῳ δυνατὸν, συνεκδοχικῶς [3] ὑποδέξασθαι γνῶσιν.

## *Θεωρία τοῦ τρόπου καθ᾽ ὃν ὑπὲρ τὸν φυσικὸν καὶ τὸν γραπτὸν νόμον γίνεται ὁ διὰ πάντων τῷ θεῷ γενόμενος εὐπειθής.*

*Εἰ γὰρ πᾶσα ἡ τῶν ὄντων φύσις εἰς τὰ νοητὰ καὶ τὰ αἰσθητὰ διῄρηται, καὶ τὰ μὲν λέγεται καὶ ἔστιν αἰώνια, ὡς ἐν αἰῶνι τοῦ εἶναι λαβόντων ἀρχὴν, τὰ δὲ χρονικὰ, ὡς ἐν χρόνῳ πεποιημένα, καὶ τὰ μὲν ὑποπίπτει νοήσει, τὰ δὲ αἰσθήσει, διὰ τὴν ταῦτα ἀλλήλοις ἐπισφίγγουσαν τοῦ κατὰ φύσιν σχετικοῦ ἰδιώματος ἄλυτον δύναμιν (πολλὴ γὰρ ἡ πρὸς τὰ νοούμενα τῶν νοούντων καὶ πρὸς τὰ αἰσθητὰ τῶν αἰσθανομένων ἡ σχέσις, ὃ δὲ ἄνθρωπος ἐκ ψυχῆς καὶ σώματος τυγχάνων αἰσθητικοῦ διὰ τῆς κατ᾽ ἐπαλλαγὴν πρὸς ἑκάτερα τὰ τῆς κτίσεως τμήματα φυσικῆς σχέσεώς τε καὶ ἰδιότητος καὶ περιγράφεται καὶ περιγράφει, τὸ μὲν τῇ οὐσίᾳ, τὸ δὲ*

Cod. f. 157 b. *τῇ δυνάμει, | ὡς τοῖς ἑαυτοῦ πρὸς ταῦτα διαιρούμενος μέρεσι, καὶ ταῦτα διὰ τῶν οἰκείων μερῶν ἑαυτῷ καθ᾽ ἕνωσιν ἐπισπώμενος· περιγράφεσθαι γὰρ τοῖς νοητοῖς καὶ αἰσθητοῖς, ὡς ψυχὴ τυγχάνων καὶ σῶμα, καὶ περιγράφειν ταῦτα κατὰ δύναμιν πέφυκεν, ὡς νοῶν καὶ αἰσθανόμενος· ὁ δὲ θεὸς ἁπλῶς καὶ ἀορίστως ὑπὲρ πάντα τὰ ὄντα ἐστὶ, τὰ περιέχοντά τε καὶ περιεχόμενα καὶ τὴν, ὧν οὐκ ἄνευ ταῦτα, χρόνου φημὶ καὶ αἰῶνος καὶ τόπου φύσιν, οἷς τὸ πᾶν περικλείεται, ὡς πᾶσι παντελῶς ἄσχετος ὤν), — ἆρα σωφρόνως ὁ διαγνοὺς πῶς ἐρᾶν τοῦ θεοῦ δεῖ, τοῦ ὑπὲρ λόγον καὶ γνῶσιν καὶ πάσης ἁπλῶς τῆς οἱασδήποτε παντάπασι σχέσεως ἐξῃρημένου καὶ φύσεως, πάντα τὰ αἰσθητὰ καὶ νοητὰ καὶ πάντα χρόνον καὶ αἰῶνα [1] καὶ τόπον ἀσχέτως παρελεύσεται, καὶ πάσης τελευταῖον ὅλης τῆς κατ᾽ αἴσθησιν καὶ λόγον καὶ νοῦν ἐνεργείας ἑαυτὸν ὑπερφυῶς ἀπογυμνώσας ἀῤῥήτως τε καὶ ἀγνώστως τῆς ὑπὲρ λόγον καὶ νοῦν θείας τερπνότητος ἐπιτεύξεται, καθ᾽ ὃν οἶδε τρόπον τε καὶ λόγον ὁ τὴν τοιαύτην δωρούμενος χάριν θεὸς καὶ οἱ ταύτην παρὰ θεοῦ λαβεῖν ἀξιωθέντες, οὐκέτι οὐδὲν φυσικὸν ἢ γραπτὸν ἑαυτῷ συνεπικομιζόμενος, πάντων αὐτῷ τῶν λεχθῆναι ἢ γνωσθῆναι δυναμένων παντελῶς ὑπερβαθέντων καὶ κατασιγασθέντων.*

---

2. *ὡς παρ᾽ εἰκὸς* habet apographum.

Digitized by Google

ter secutus est, nullumque mente omnino facinus aut consilium aut cogitatum concepit, quibus natura ac cognitio qualitercunque existens omnis qualitercunque cogitati succidit atque apparet, ut eum decet qui Iesum, caelos transgressum, sincere sectandi consilium cepit, divina luce ostensa veram quoque eâdem rerum naturae, quantum quidem id homini licet, cognitione possit imbui.

## Contemplatio modi quo is qui deo per omnia obtemperaverit tam naturalem quam scriptam legem superet.

Etenim si omnis rerum natura in intellegibilia ac sensibilia dividitur, et altera et dicuntur et sunt aeterna, ut qui in aeternitate existentiae initium ceperunt, altera vero temporalia, utpote in tempore facta, si illa porro intellectui succidunt, haec sensui, propter inseparabilem vim, haec inter se sibi copulantem, proprietatis naturaliter relativae (multa enim ad intellecta intellegentium est et ad sensibilia sentientium relatio, homo autem ex anima et corpore sensibili constans naturali et mutua ad utramque conditionis partem relatione atque proprietate tam circumscribitur quam circumscribit, alterum essentia, alterum potestate, utpote sui ipsius partibus in haec separatus, et haec per proprias partes coadunans et attrahens: circumscribitur enim intellegibilibus ac sensibilibus, quippe anima est et corpus, et circumscribit haec de potestate, quippe intellegens et sentiens: deus vero simpliciter et infinite super omnem rerum naturam est, tam super ea quae circumdant quam quae circumdantur superque naturam eorum sine quibus haec non sunt, temporis dico et aeternitatis et loci, quibus universitas circuncluditur, utpote omni ad quidquam relatione carens), — ergo qui prudenter cognovit quomodo deum amare deberet, qui rationem et cognitionem superat et qualicunque omnino omni relatione et natura liber est, is omnia sensibilia atque intellegibilia et omne tempus et aeternitatem et locum sine relatione transgredietur, et omni demum ac tota et sensuali et rationali et intellectuali actione plane denudatus ineffabiliter et incomprehensibiliter divinam, quae verbum et intellectum superat, voluptatem consequetur, ratione et modo quem norunt qui dat eiusmodi gratiam deus et illi qui eam a deo accipere meruerunt, nec naturale quid amplius nec scriptum secum ferens, postquam universa quae dici ei aut cognosci potuerunt, superata sunt atque silentio obsignata.

---

3. Apographum habet *ὑποδείξασθαι*.

1. *εἰς τόπον* cod. Gud.



Digitized by Google

Luc.10,30 sqq. *Θεωρία εἰς τὸ περὶ τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστὰς ῥητὸν τοῦ εὐαγγελίου.*

*Καὶ τάχα τοῦτό ἐστι τὸ τοῖς δοθεῖσιν ἐπὶ θεραπείᾳ τοῦ λῃσταῖς περιπεσόντος δυσὶ θηναρίοις ἐν τῷ πανδοχείῳ παρὰ τοῦ κυρίου τῷ ἐπιμελεῖσθαι κελευομένῳ προσδαπανώ-*
Cod. f. 158 a. *μενον, ὅπερ καὶ | φιλοτίμως ἐπανερχόμενος ὁ κύριος δώσειν ὑπέσχετο, ἢ διὰ πίστεως γινομένη παντελὴς τῶν ὄντων ἐν*
Luc. 14, 33. *τοῖς τελείοις ἀφαίρεσις (φησὶ γὰρ ὁ κύριος, Ὅστις οὐκ ἀποτάσσεται πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ, οὐ δύναταί μου εἶναι μαθητὴς), καθ' ἣν πανθ' ἑαυτοῦ ἢ ἑαυτὸν πάντων ἀφαιρούμενος εἰπεῖν οἰκειότερον, ὁ τῆς σοφίας ἑαυτὸν ἐραστὴν καταστήσας μόνῳ θεῷ συνεῖναι καταξιοῦται, τὴν εὐαγγελικῶς ὑποδειχθεῖσαν υἱοθεσίαν δεξάμενος, κατὰ τοὺς ἁγίους καὶ μακαρίους ἀποστόλους, οἳ τὸ πᾶν ἑαυτῶν ὁλοσχερῶς περιελόμενοι καὶ μόνῳ δι' ὅλου τῷ θεῷ καὶ λόγῳ προσφύντες,*
Matth. 19, 27. *Ἰδοὺ πάντα, ἔφασαν, ἀφήκαμεν καὶ ἠκολουθήσαμέν σοι, τῷ καὶ τῆς φύσεως ποιητῇ καὶ δοτῆρι τῆς κατὰ νόμον βοηθείας, καὶ ὄν, κύριον δηλονότι, ὥςπερ ἀληθείας φῶς μονώτατον κτησάμενοι ἀντὶ νόμου καὶ φύσεως πάντων εἰκότως τῶν μετὰ θεὸν ἄπταιστον τὴν γνῶσιν παρέλαβον. Αὐτῷ γὰρ πέφυκε συνεκφαίνεσθαι κυρίως ἡ τῶν ὑπ' αὐτοῦ γεγενημένων γνῶσις. Ὡς γὰρ τῷ αἰσθητῷ ἡλίῳ ἀνατέλλοντι πάντα καθαρῶς συνεκφαίνονται τὰ σώματα, οὕτω καὶ θεὸς ὁ νοητὸς τῆς δικαιοσύνης ἥλιος ἀνατέλλων τῷ νῷ, καθὼς χωρεῖσθαι ὑπὸ τῆς κτίσεως οἶδεν αὐτὸς, πάντων ἑαυτῷ νοητῶν τε καὶ αἰσθητῶν τοὺς ἀληθεῖς βούλεται συνεκφανίζεσθαι λόγους. Καὶ δηλοῖ τοῦτο τῆς ἐπὶ τοῦ ὄρους μεταμορφώσεως τοῦ κυρίου ἡ λαμπρὰ τῶν ἐσθημάτων τῷ φωτὶ τοῦ προσώπου αὐτοῦ γενομένη συνένδειξις, τῷ θεῷ τὴν τῶν μετ' αὐτὸν, ὡς οἶμαι, καὶ περὶ αὐτὸν συνάγουσα γνῶσιν. Οὔτε γὰρ δίχα φωτὸς τῶν*
Cod. f. 158 b. *αἰσθητῶν ὀφθαλμὸς ἀντιλαμβάνεσθαι | δύναται, οὔτε νοῦς χωρὶς γνώσεως θεοῦ θεωρίαν δόξασθαι πνευματικήν. Ἐκεῖ τε γὰρ τῇ ὄψει τὸ φῶς τῶν ὁρατῶν τὴν ἀντίληψιν δίδωσι, καὶ ἐνταῦθα τῷ νῷ τὴν γνῶσιν τῶν νοητῶν ἡ τοῦ θεοῦ ἐπιστήμη χαρίζεται.*

*Θεωρία τοῦ τρόπου καθ' ὃν γέγονε τοῦ Ἀδὰμ ἡ παράβασις.*

*Ἀμέλει τούτῳ μὴ ἐπερείσας τῷ θεῷ φωτὶ τὸν τῆς ψυχῆς ὀφθαλμὸν ὁ προπάτωρ Ἀδὰμ τυφλοῦ δίκην εἰκότως ἐν σκότει τῆς ἀγνωσίας ἄμφω τὼ χεῖρε τὸν τῆς ὕλης φορυτὸν ἑκουσίως ἀφάσσων μόνῃ αἰσθήσει ἑαυτὸν ὅλον ἐπικλίνας ἐκδέδωκε, δι' ἧς τοῦ πικροτάτου θηρὸς τὸν φθαρτικὸν ἰὸν εἰσδεξάμενος] οὐδ' αὐτῆς, ὡς ἠβουλήθη, ἀπήλαυσε τῆς αἰσθήσεως, δίχα θεοῦ, καὶ πρὸ θεοῦ, καὶ οὐ κατὰ θεὸν, ὡς οὐκ ἔδει, ὅπερ ἀμήχανον ἦν, τὰ τοῦ θεοῦ ἔχειν ἐπιτηδεύσας. Τὴν γὰρ*

Digitized by Google

## Contemplatio in evangelii dictum de eo qui in latrones incidit.

Ac fortasse hoc quod datis in curationem eius qui in latrones inciderat duobus denariis in diversorio a domino ei cui cura hominis iniungebatur impensum est, quod etiam se daturum esse in reditu dominus liberaliter pollicitus est, rerum quae sunt absoluta per fidem in perfectis abdicatio est (ait enim dominus, ‚Qui non renunciat universae suae possessioni, non potest esse meus discipulus'), secundum quam omnia sese aut, quod dicere magis usitatum, sese omnibus nudando qui sapientiae amori se dedidit cum solo deo conversari merebitur et adoptivi filii dignitatem evangelio praedicatam accipiet, ad exemplar sanctorum et beatorum apostolorum, qui quae possidebant omnibus omnino sese spoliarunt solique plane deo et verbo adhaeserunt, dicentes, ‚Ecce omnia abiecimus teque sumus secuti,' naturae quoque creatorem ac datorem legalis auxilii, quemque, dominum videlicet, tanquam veritatis lucem unicum consecuti loco legis atque naturae omnium merito quae post deum censentur certam cognitionem acceperunt. Simul enim cum eo apparet proprie cognitio eorum quae ab eo facta sunt. Quemadmodum enim simul cum sole oriente universa clare corpora apparent, ita etiam deus intellectualis iustitiae sol, ubi primum menti ortus est, prout capi a conditione ipse novit, omnium una secum et intellectualium et sensualium veras rationes vult apparere. Quod significat domini in monte transfigurati vestium quae faciei eius splendore lucebant coniuncta ostentio, cum dei eorum etiam quae post eum sunt, ut puto, et circa eum, cognitionem concilians. Neque enim sine luce oculus sensualia, neque mens sine cognitione dei, contemplationem spiritualem capere potest. Illic enim visui lux visibilium perceptionem praebet, atque hic menti intellectualium cognitionem dei scientia donat.

## Contemplatio modi quo Adami transgressio facta sit.

Nimirum in divinam hanc lucem oculum animae Adam proavus non figens sane in modum caeci in ignorantiae tenebris ambabus manibus materiae purgamentum sponte contrectans soli sensui sese totum inclinavit et tradidit, per quem acerbissimae bestiae veneno letali recepto nec ipsius, ut voluit, sensus fructum habuit, dum extra deum, et prae deo, et non secundum deum, quod fieri non potuit, dei rebus illicite potiri studet. Nam cum sensum, qui serpentem magis quam deum in consilium vocavit, recepisset, ac de vetito ligno, cuius etiam fructum mortiferum esse didicerat, degustavisset,

Digitized by Google

σύμβουλον παραδεξαμένην τὸν ὄφιν θεοῦ πλέον παραδεξάμενος αἴσθησιν καὶ τοῦ ἀπηγορευμένου ξύλου, ᾧ καὶ θάνατον συνεῖναι προεδιδάχθη τὸν καρπὸν ὀρέγουσαν, βρώσεως ἀπαρχὴν ποιησάμενος πρόσφορον τῷ καρπῷ τὴν ζωὴν μετηλλάξατο, ζῶντα τὸν θάνατον ἑαυτῷ κατὰ πάντα τὸν χρόνον τοῦ παρόντος καιροῦ δημιουργήσας. Εἰ γὰρ φθορὰ γενέσεως ὑπάρχει ὁ θάνατος, ἀεὶ δὲ τὸ [1] δι' ἐπιῤῥοῆς τροφῶν γινόμενον φυσικῶς φθείρεται σῶμα τῇ ῥοῇ διαπνεόμενον, ἀεὶ ἄρα δι' ὧν εἶναι τὴν ζωὴν ἐπίστευσεν ἀκμάζοντα ἑαυτῷ τε καὶ ἡμῖν τὸν θάνατον ὁ Ἀδὰμ συνετήρησεν. Ὡς εἴγε τῷ θεῷ μᾶλλον ἢ τῇ συνοίκῳ πεισθεὶς τῷ ξύλῳ τῆς ζωῆς διετράφη, οὐκ ἂν τὴν
Cod. f. 159 a. δοθεῖσαν ἀπέθετο ἀθανασίαν | ἀεὶ συντηρουμένην τῇ μετοχῇ τῆς ζωῆς, ἐπειδὴ πᾶσα ζωὴ οἰκεία τε καὶ καταλλήλῳ πέφυκε συντηρεῖσθαι τροφῇ. Τροφὴ δὲ τῆς μακαρίας ἐκείνης ζωῆς ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς καὶ ζωὴν διδοὺς τῷ
Ioann. 6, 32. κόσμῳ, καθὼς αὐτὸς περὶ ἑαυτοῦ ἐν τοῖς εὐαγγελίοις ὁ ἀψευδὴς ἀπεφήνατο λόγος, ᾧ διατραφῆναι μὴ βουληθεὶς ὁ πρῶτος ἄνθρωπος τῆς μὲν θείας εἰκότως ἀπεγένετο ζωῆς, ἄλλης δὲ θανάτου γεννήτορος ἐπελάβετο, καθ' ἣν τὴν μὲν ἄλογον ἑαυτῷ μορφὴν ἐπιθέμενος, τῆς θείας δὲ τὸ ἀμήχανον ἀμαυρώσας κάλλος, βορὰν τῷ θανάτῳ τὴν ἅπασαν φύσιν παρέδωκε. Δι' ἧς ὁ μὲν θάνατος ζῇ δι' ὅλου τοῦ χρονικοῦ τούτου διαστήματος, ἡμᾶς βρῶσιν ποιούμενος, ἡμεῖς δὲ ζῶμεν οὐδέποτε, ἀεὶ διὰ φθορᾶς ὑπ' αὐτοῦ κατεσθιόμενοι.

## Ὅτι ἐκ τῆς ἀστάτου περιφορᾶς τῆς παρούσης ζωῆς ἄλλην εἶναι τὴν ἀληθῆ καὶ θείαν καὶ ὡσαύτως ἔχουσαν ζωὴν ἐπαιδεύθησαν οἱ ἅγιοι.

Ἧς τὸ ἀδρανὲς καὶ ἀλλεπάλληλον σοφῶς κατανοήσαντες οἱ ἅγιοι τὴν ἀνθρώποις προηγουμένως ἐκ θεοῦ δεδωρημένην ταύτην μὴ εἶναι τὴν ζωὴν, ὡς εἰκὸς, ἐπαιδεύθησαν, ἄλλην δὲ θείαν καὶ ὡσαύτως ἔχουσαν, ἣν μάλιστα δεῖν ὑπέλαβον ἑαυτῷ πρεπόντως ἀγαθὸν ὄντα τὸν θεὸν προηγουμένως δημιουργῆσαι, μυστικῶς ἐδιδάχθησαν, πρὸς ἣν διὰ σοφίας κατὰ τὴν χάριν τοῦ πνεύματος, ὡς ἐφικτὸν ἀνθρώποις τοῖς ὑπὸ θάνατον, τὸ ὄμμα τῆς ψυχῆς ἀνανεύσαντες, καὶ ἐνδιαθέτως τὸν αὐτῆς θεῶν ὑποδεξάμενοι πόθον, ἀποθέσθαι δεῖν ταύτην τὴν παροῦσαν ζωὴν εἰκότως ᾠήθησαν, εἰ μέλλοιεν καθαρῶς ἐκεί-
Cod. f. 159 b. νης κατὰ τὸν δέοντα λόγον ἐπιλήψεσθαι. | Καὶ ἐπειδὴ ζωῆς ἀπόθεσις θανάτου χωρὶς οὐ γίνεται, θάνατον αὐτῆς ἐπενόησαν τὴν ἀποβολὴν τῆς κατὰ σάρκα στοργῆς, δι' ἧς εἰς τὸν βίον ἡ τοῦ θανάτου γέγονεν εἴσοδος, ἵνα θανάτῳ θάνατον ἐπινοήσαντες τοῦ ζῆν τῷ θανάτῳ παύσωνται, τὸν τίμιον ἐναντίον κυρίου θάνατον ἀποθανόντες, τὸν ὄντως τοῦ ὄντως θανάτου θάνατον, τὸν τὴν φθορὰν μὲν φθείρειν δυνάμενον, τῇ δὲ μακαρίᾳ ζωῇ καὶ ἀφθαρσίᾳ παρεχόμενον ἐν τοῖς ἁξίοις εἴσοδον. Τὸ γὰρ πέρας τῆς παρούσης ταύτης ζωῆς οὐδὲ θά-

Digitized by Google

similem fructui vitam transmutavit, et vivam sibi mortem in omne praesentis aevi tempus effecit. Nam si interitus geniturae mors est, semper autem ciborum affluentia conflatum naturaliter corrumpitur corpus fluxu evaporans, semper igitur per quae vitam esse confidit vigentem sibi et nobis mortem Adamus conservavit. Quod si modo deo magis quam contubernali obtemperans ligno vitae se aluisset, immortalitatem sibi largitam non deposuisset, vitae communicatione semper nutriendam, siquidem omnis vita proprio et idoneo nutrimento conservatur. Nutrimentum autem beatae illius vitae panis est de caelo devectus vitamque mundo largiens, quemadmodum ipse de se ipso in evangeliis verax significavit Sermo, quo ali primus homo cum nollet, divina merito vita excidit, alteram nactus genitoris mortis, secundum quam irrationabilem sibi formam imponens, divinae vero inenarrabilem pulchritudinem obscurans, morti escam tradidit totam naturam. Per quam mors vivit per totum hoc temporis spatium, et nos sibi escam parat, nos vero nunquam vivimus, et semper per interitum ab eo devoramur.

## Quod ex instabili cursu praesentis vitae alteram esse veram ac divinam et parem vitam sancti didicerint.

Cuius cum sancti futile atque turbatum cognovissent, vitam hominibus principio datam non hanc esse nimirum sunt edocti, sed alteram divinam et parem, quam maxime oportere sibi convenienter deum, qui bonus est, principio creasse suspicabantur, mystice didicerunt: quo per sapientiam pro gratiâ spiritus, quantum id licet hominibus semel morti subiectis, animae oculum reflectentes, atque intime divinum eius suscipientes desiderium, deponendam hanc esse praesentem vitam merito existimaverunt, si pure illam vellent, et ut ratio postulat, consequi. Atque cum vitae depositio sine morte non fit, mortem eius censuerunt esse abiectionem carnalis amoris, per quem morti factus est in vitam introitus ut morti mortem machinando vitam morte finirent; honorabilem coram domino mortem subeuntes, mortem verae mortis veram, qui interitum quidem perdere posset, sed beatae simul vitae et immortalitatis aditum aperire. Quod enim ultra hanc est praesentem vitam non iure mihi mortem videor appellare, sed potius mortis solutionem, interitus discessum, servitutis liberationem, perturbationis sedationem, bellorum sublationem, confusionis transitum, tenebrarum recessum, laborum remissionem, strepitus confusi silentium, fervoris quie-

1. διαπιφροῦς cod. Gud., pro more.

Digitized by Google

νατον οἶμαι δίκαιον ὀνομάζειν, ἀλλὰ θανάτου ἀπαλλαγὴν, καὶ φθορᾶς χωρισμὸν, καὶ δουλείας ἐλευθερίαν, καὶ ταραχῆς παύλαν, καὶ πολέμων ἀναίρεσιν, καὶ συγχύσεως πάροδον, καὶ σκότους ὑποχώρησιν, καὶ πόνων ἄνεσιν, καὶ βομβήσεως ἀσήμου σιγὴν, καὶ βράσματος ἠρεμίαν, καὶ αἰσχύνης συγκάλυμμα, καὶ παθῶν ἀποφυγὴν, καὶ ἁμαρτίας ἀφανισμὸν, καὶ πάντων, ἵνα συνελὼν εἴπω, τῶν κακῶν περιγραφήν· ἅπερ δι' ἑκουσίου νεκρώσεως οἱ ἅγιοι κατορθώσαντες ξένους ἑαυτοὺς τοῦ βίου καὶ παρεπιδήμους παρέστησαν. Κόσμῳ τε γὰρ καὶ σώματι καὶ ταῖς ἐξ αὐτῶν ἐπαναστάσεσι γενναίως μαχόμενοι, καὶ τὴν ἐξ ἀμφοῖν κατὰ τὴν τῶν αἰσθήσεων πρὸς τὰ αἰσθητὰ συμπλοκὴν παραγενομένην ἀπάτην ἀποπνίξαντες, ἀδούλωτον ἑαυτοῖς ἐφύλαξαν τῆς ψυχῆς τὸ ἀξίωμα· μάλα γε εἰκότως, ἔννομον κρίναντες εἶναι καὶ δίκαιον τὸ ἧττον ἄγεσθαι μᾶλλον τῷ κρείττονι, ἢ τὸ κρεῖττον τῷ χείρονι συμποδίζεσθαι. Ὅσπερ δὴ νόμος θεῖος καὶ τοῖς προαιρουμένοις τὴν λογικοῖς
Cod. f. 160 a. προηγουμένως πρέπουσαν | ἀσπάζεσθαι ζωὴν ἐμπεφυκὼς, τὴν ἐμφερῶς δι' ὀλιγαρκείας τὸ ἀπροσδεὲς τῶν ἀγγέλων μιμουμένην καὶ ἄνετον.

## Ὅτι μὴ καθ' ἡμᾶς ἢ τὴν φυσικὴν θεωρίαν, ἢ τὴν γραφικὴν μυσταγωγίαν ἐποίουν οἱ ἅγιοι.

Ἀλλ' ἐπανελθόντες καθ' εἱρμὸν τὰ λείποντα τῆς μεταμορφώσεως τοῖς προθεωρηθεῖσι κατὰ δύναμιν διασκοπήσαντες προσαρμόσωμεν, ἵνα θεωρηθῇ τῶν ἁγίων ἡ ἐν πᾶσιν ἀκρότης καὶ ἡ γνησία πρὸς τὴν σάρκα καὶ τὴν ὕλην ἀποδιάθεσις, καὶ ὅτι μὴ καθ' ἡμᾶς καὶ αὐτοὶ ἢ τὴν κτίσιν ἢ τὴν ἁγίαν γραφὴν ὑλικῶς τε καὶ χαμερπῶς ἐθεώρουν, αἰσθήσει μόνον καὶ ἐπιφανείαις καὶ σχήμασι πρὸς ἀνάληψιν τῆς μακαρίας γνώσεως τοῦ θεοῦ, γράμμασί τε καὶ συλλαβαῖς χρώμενοι, ἐξ ὧν τὸ πταίειν ἐστὶ περὶ τὴν κρίσιν τῆς ἀληθείας καὶ σφάλλεσθαι, ἀλλὰ νῷ μόνῳ καθαρωτάτῳ καὶ πάσης ὑλικῆς ἀπηλλαγμένῳ ἀχλύος. Εἴπερ οὖν εὐσεβῶς κρίνειν βουλόμεθα τοὺς τῶν αἰσθητῶν νοητῶς διασκοποῦντες λόγους, εἰς τὴν περὶ θεοῦ καὶ τῶν θείων αὐτοὺς ἄπταιστον γνῶσιν ὀρθῶς δι' εὐθείας τρίβου βαίνοντας κατίδοιμεν.

## Θεωρία εἰς τὴν μεταμόρφωσιν πλατυτέρα.

Εἴρηται τοίνυν ἀνωτέρω ὅτι διὰ μὲν τῆς γενομένης ἐπὶ τοῦ ὄρους τοῦ προσώπου τοῦ κυρίου φωτοειδοῦς λαμπρότητος πρὸς τὴν πᾶσι καθόλου τοῖς οὖσιν ἄληπτον τοῦ θεοῦ μυστικῶς οἱ τρισμακάριοι ἀπόστολοι κατὰ τὸ ἄῤῥητόν τε καὶ ἄγνωστον ἐχειραγωγοῦντο δύναμίν τε καὶ δόξαν, τῆς ἀφανοῦς κρυφιότητος τὸ φανὲν αὐτοῖς πρὸς τὴν αἴσθησιν φῶς σύμβολον εἶναι μανθάνοντες. Ὡς γὰρ ἐνταῦθα τοῦ γενομένου φωτὸς τὴν τῶν ὀφθαλμῶν νικᾷ ἐνέργειαν ἡ ἀκτὶς, ἀχώρητος αὐτοῖς διαμένουσα, οὕτω κἀκεῖ θεὸς πᾶσαν νοὸς δύναμιν ὑπερβαίνει

Digitized by Google

tem, pudoris velamentum, passionum fugam, peccati abolitionem, omnium, ut uno verbo comprehendam, malorum circumscriptionem et exterminationem: quae quidem per voluntariam mortificationem sancti impetraverunt, seque vitae hospites atque peregrinos exhibuerunt. Cum mundo enim et corpore et seditionibus inde natis gnaviter colluctati, fraudem illam ex ambobus secundum sensuum cum sensualibus complexum obortam suffocarunt, animaeque sibi liberam servarunt auctoritatem ac dignitatem, ut par erat omnino; quandoquidem consentaneum esse et iustum, potius ut peius a meliori profligaretur censebant quam ut melius a peiori in vincula coniceretur. Quae utique lex est divina atque eis insita qui vitae genus elegerunt ab rationalibus principaliter dignum adamari, quod vitae genus per frugalitatem suam angelorum aemulatur sufficientiam atque otium.

## Quod sancti non ut nos, neque naturali contemplatione neque per sacras litteras initiatione utebantur.

Sed reversi ordine ad ea quae antea examinavimus reliqua transformationis pro virili parte deliberata adiciamus, ut sanctorum in universis perfectio et sincera affectus in carnem et materiam proclivis libertas spectetur, et quod non in nostrum morem ipsi quoque vel conditionem vel sacram scripturam materialiter atque humiliter contemplabantur, modo sensu et speciebus et figuris ad acquirendam beatam dei cognitionem, et litteris syllabisque utendo, unde titubare circa veritatis iudicium ac falli contingit, sed mente sola purissima omnique materiali caligine liberata. Quod si religioso uti iudicio volemus in sensualium intellectualiter examinandis rationibus, in firmam dei ac divinorum eos cognitionem recta via procedentes rite spectaverimus.

## Contemplatio in transformationem amplior.

Dictum erat igitur supra, per domini in monte faciei splendorem et claritudinem ter beati apostoli ineffabili et incognito modo ad dei quam omnia omnino quaecunque existunt percipere nequeunt potestatem atque gloriam mystice deducti sunt, dum lucem quod sensibus eorum apparuit mysterii obscuritate tecti symbolum esse docentur. Nam quemadmodum hic lucis quae effulsit radius oculorum aciem superat et imperceptibilis eis permanet, ita etiam illic deus omnem mentis superat vim et aciem, neque ullam dum videtur ei qui periculum videndi facit qualemcunque imaginem concedit. Per candidas vero vestes magnificentiam creatura-

Digitized by Google

Cod. f. 160 b. καὶ ἐνέργειαν, | [1] οὐδ' ὅλως ἐν τῷ νοεῖσθαι τῷ νοεῖν πειρωμένῳ τὸν οἰονοῦν τύπον ἀφείς. Διὰ δὲ τῶν λευκῶν ἱματίων τήν τε ἐν τοῖς κτίσμασιν ἀναλόγως τοῖς καθ' οὓς γεγενῆνται λόγοις μεγαλουργίαν καὶ τὴν ἐν τοῖς ῥήμασι τῆς ἁγίας γραφῆς κατὰ τὸ νοούμενον μυσταγωγίαν ἐν ταὐτῷ καὶ ἅμα θεοπρεπῶς ἐδιδάσκοντο, οἷα τῇ ἐπιγνώσει τοῦ θεοῦ συναναφαινομένης τῆς τε γραφικῆς κατὰ τὸ πνεῦμα δυνάμεως καὶ τῆς ἐν τοῖς κτίσμασι κατ' αὐτὸ σοφίας καὶ γνώσεως, δι' ὧν πάλιν αὐτὸς ἀναλόγως ἐκφαίνεται. Διὰ δὲ Μωϋσέος καὶ [2]Ἠλίου τῶν ἑκατέρωθεν αὐτῷ συνόντων (τοῦτο γὰρ εἰς τὴν ἐξέτασιν τῆς θεωρίας λείπεται), πολλοὺς κατὰ πολλὰς ἐπινοίας, ὧν τύποι προεβέβληντο μυστηρίων δι' ἀληθοῦς θεωρίας γνωστικοὺς ὑπεδέχοντο τρόπους.

## Θεωρία εἰς τὸν Μωϋσῆν καὶ τὸν [2]Ἠλίαν.

α'. Καὶ πρῶτον μὲν τὴν περὶ τοῦ δεῖν πάντως συνεῖναι τῷ λόγῳ καὶ θεῷ τόν [1] τε νομικὸν καὶ τὸν προφητικὸν λόγον διὰ Μωϋσέος καὶ [2]Ἠλίου εὐσεβεστάτην ἐλάμβανον ἔννοιαν, ὡς ἐξ αὐτοῦ καὶ περὶ αὐτοῦ καὶ ὄντας καὶ ἀπαγγέλλοντας, καὶ περὶ αὐτὸν ἱδρυμένους.

β'. Εἶτα σοφίαν καὶ χρηστότητα συνοῦσαν αὐτῷ διὰ τῶν αὐτῶν ἐπαιδεύοντο, τὴν μὲν ὅτι κατ' αὐτὴν διαγορευτικός ἐστι τῶν ποιητέων ὁ λόγος, καὶ ἀπαγορευτικὸς τῶν οὐ ποιητέων, ἧς τύπος ὑπῆρχε Μωϋσῆς (σοφίας γὰρ τὴν τῆς νομοθεσίας εἶναι πιστεύομεν χάριν), τὴν δὲ ὅτι κατ' αὐτὴν προτρεπτικός ἐστι καὶ ἐπιστρεπτικὸς πρὸς τὴν θείαν ζωήν, τῶν αὐτῆς ἀπολισθησάντων, ἧς τύπος ὑπῆρχεν [2]Ἠλίας, δι'
Cod. f. 161 a. ἑαυτοῦ ὅλον τὸ προφητικὸν δηλῶν χάρισμα. Χρη|στότητος γὰρ θείας ἴδιον γνώρισμα τῶν πεπλανημένων ἡ μετὰ φιλανθρωπίας ἐπιστροφή, ἧς κήρυκας τοὺς προφήτας γινώσκομεν.

γ'. Ἡ γνῶσιν καὶ παιδείαν, τὴν μὲν ὅτι καλοῦ τε καὶ
Deuter. 30, 19. κακοῦ τῆς εἰδήσεως τοῖς ἀνθρώποις ὑπάρχει παρεκτικός· Δέδωκα γὰρ, φησὶ, πρὸ προσώπου σου τὴν ζωὴν καὶ τὸν θάνατον, ἐφ' ᾧ τὴν μὲν ἐλεῖν αἱρεῖσθαι, τὸν δὲ φυγεῖν, καὶ μὴ ὡς καλῶ περιπεσεῖν ἐξ ἀγνοίας τῷ χείρονι, ὅπερ Μωϋσῆς πεπραχὼς ἀνηγόρευται, προτυπῶν ἐν ἑαυτῷ τῆς ἀληθείας τὰ σύμβολα· τὴν δὲ ὅτι τῶν τοῖς ἐναντίοις ἀνέδην χρωμένων κατὰ τὸν [2]Ἰσραὴλ, οὗ παιδευτὴς [2]Ἠλίας ὁ μέγας ἐγένετο, καὶ μιγνύντων ἀδιακρίτως τὰ ἄμικτα, τῆς ἀδιαφορίας ἐστὶ κολαστικὸς, καὶ τῶν παντελῶς τῷ κακῷ προσκειμένων τὴν ἄνοιαν καὶ τὴν πώρωσιν εἰς ἔννοιαν ἄγων, ὡς λόγος, καὶ [2] αἴσθησιν.

δ'. Ἡ πρᾶξιν καὶ θεωρίαν, τὴν μὲν ὡς κακίας ἀναιρετικὴν, καὶ κόσμου δι' ἐπιδείξεως ἀρετῶν τοὺς δι' αὐτῆς ἀγομένους παντελῶς κατὰ διάθεσιν τέμνουσαν, ὡς Μωϋσῆς τῆς Αἰγύπτου τὸν [2]Ἰσραὴλ, καὶ θείοις νόμοις τοῦ πνεύματος εὐπειθῶς παιδεύουσαν ἄγεσθαι· τὴν δὲ ὡς ὕλης καὶ εἴδους ἁρπάζουσαν, ὡς τὸν [2]Ἠλίαν τὸ ἐκ πυρὸς ἅρμα, καὶ θεῷ διὰ

Digitized by Google

rum, rationibus secundum quas factae sunt aequalem, atque significatum in verbis sacrae scripturae mysterium eâdem et una deo convenienter didicere, quippe quia dei agnitione tam litterarum simul revelatur secundum spiritum vis, quam rerum conditarum secundum eum sapientia et cognitio, quibus rursus ipse congruenter manifestatur. Per Moysen vero et Eliam qui utrinque aderant ei — nam hoc contemplationis ad disquirendum superest, — multos iuxta multa cogitata de eis quorum imagines propositae erant mysteriis per veram contemplationem gnosticos receperunt modos.

## Contemplatio in Moysen et Eliam.

I. Atque primum quidem de eo quod Sermoni ac deo ratio tam legalis quam prophetica deberet adesse per Moysen atque Eliam piissimam ceperunt notionem, ut quae, ex eo et de eo tam existerent quam denuntiarent, et circa eum collocatae essent.

II. Deinde sapientiam atque clementiam ei adesse per eosdem discebant, alteram quia per hanc eorum quae facienda imperativa est ratio, et prohibitiva eorum quae non sunt facienda, cuius imago Moyses erat (nam sapientiae esse legislationis gratiam credimus): alteram vero invitare atque adhortari ad divinam vitam eos qui ea exciderint, cuius imago erat Elias, propheticam omne per se significans gratiam. Clementiae enim divinae proprium insigne est adhortatio quae fit cum humanitate et indulgentia, cuius praecones prophetas novimus.

III. Vel cognitionem et eruditionem, alteram quidem quod boni ac mali scientiam hominibus praestat: ‚Dedi enim', inquit, ‚coram facie tua vitam et mortem', alteram ad eligendum, alteram ad devitandum, et ne ex ignorantia pro bono pelori se quis induat, id quod Moyses fecisse renuntiatus est, veritatis symbola in se praeformans: alteram vero quod eorum in Israel, cuius praeceptor magnus Elias erat, qui palam et impudenter contrariorum usum sequebantur separandaque indifferenter confundebant, coërcet indifferentiam, et quod eorum qui malo prorsus se addixerunt amentiam et duritiem ad sapientiam, ut ratio, et sensum deducit.

IV. Vel actionem et contemplationem, alteram quod malitiam tollit et virtutibus propositis eos qui illa aguntur secundum affectum prorsus a mundo resecat, ut Moyses Israelem ab Aegypto, divinisque praeceptis in spiritus obsequio

---

1. οὐδόλως cod. Gud. ubique.

1. δὲ habet apographum. 2. Manus antiqua correxit αἴσθησις in cod. Gud.

Digitized by Google

γνώσεως προσάγουσάν τε καὶ συνάπτουσαν ὑπὸ σαρκὸς μηδ' ὁτιοῦν βαρουμένους, διὰ τὴν τοῦ κατ' αὐτὴν νόμου ἀθέτησιν, ἢ ἐπάρσει καθ' ὁτιοῦν ἐπὶ τοῖς κατορθώμασι φλεγομένους, διὰ τὴν συνημμένην ταῖς ὄντως ἀρεταῖς δρόσον τῆς πτωχείας τοῦ πνεύματος.

Cod. f. 161 b. ε'. Ἢ πάλιν τὰ | κατὰ τὸν γάμον καὶ τὴν ἀγαμίαν μυστήρια παρὰ τῷ λόγῳ εἶναι μανθάνοντες διὰ Μωϋσέος, τοῦ διὰ γάμον τῆς θείας ἐραστοῦ γενέσθαι δόξης μὴ κωλυθέντος, καὶ διὰ Ἡλίου, τοῦ παντελῶς γαμικῆς συναφείας καθαροῦ διαμείναντος, οἷα τοῦ λόγου καὶ θεοῦ τοὺς λόγῳ ταῦτα ἰθύνοντας, κατὰ τοὺς θειωδῶς περὶ αὐτῶν κειμένους νόμους, ἑαυτῷ μυστικῶς εἰςποιεῖσθαι κηρύττοντος.

ς'. Ἢ ζωῆς καὶ θανάτου διὰ τῶν αὐτῶν κύριον πιστῶς ὄντα τὸν λόγον πληροφορούμενοι.

ζ'. Ἢ καὶ τὸ πάντας ζῆν τῷ θεῷ καὶ μηδένα παντελῶς παρ' αὐτῷ νεκρὸν εἶναι διὰ τῶν αὐτῶν μανθάνοντες, πλὴν τοῦ ἑαυτὸν τῇ ἁμαρτίᾳ νεκρώσαντος, καὶ τῇ ἑκουσίῳ πρὸς τὰ πάθη ῥοπῇ τοῦ λόγου ἑαυτὸν ἀποκόψαντος.

η'. Ἢ πάλιν πρὸς τὸν λόγον ὡς ἀληθειαν ὄντα κατ' ἀναφορὰν εἶναί τε καὶ ὑπάρχειν τοὺς τύπους τῶν μυστηρίων, καὶ εἰς αὐτὸν συνάγεσθαι, τῆς τε νομικῆς καὶ τῆς προφητικῆς πραγματείας ὡς ἀρχὴν καὶ τέλος, ἐφωταγωγοῦντο.

θ'. Ἢ τὰ μετὰ θεὸν πάντα καὶ ἐκ θεοῦ γεγονότα, τουτέστι τὴν φύσιν τῶν ὄντων καὶ τὸν χρόνον, παρὰ τῷ θεῷ ὄντα συνεκφαίνεσθαι ἀληθῶς φαινομένῳ, κατὰ τὸ ἐφικτὸν, ὡς αἰτίῳ καὶ ποιητῇ. Ὧν τοῦ μὲν χρόνου τύπος ἂν εἴη Μωϋσῆς, οὐ μόνον ὡς χρόνου καὶ τοῦ κατ' αὐτὸν ἀριθμοῦ διδάσκαλος (οὗτος γὰρ πρῶτος τὸν κατὰ τὴν γένεσιν τοῦ κόσμου χρόνον ἠρίθμησε), καὶ ὡς χρονικῆς γενόμενος λατρείας καθηγητὴς, ἀλλὰ καὶ ὡς μὴ [3] συνειςερχόμενος ἐκείνοις σωματικῶς εἰς τὴν κατάπαυσιν. ὧν πρὸ τῆς θείας καθηγήσατο |
Cod. f. 162 a. εὐαγγελίας· τοιοῦτον γὰρ καὶ ὁ χρόνος, οὐ φθάνων ἢ συνερχόμενος κατὰ τὴν κίνησιν ἐκείνοις οὓς πρὸς τὴν θείαν τοῦ μέλλοντος αἰῶνος ζωὴν πέφυκε παραπέμπειν. Ἰησοῦν γὰρ ἔχει τὸν παντὸς ὄντα καὶ χρόνου καὶ αἰῶνος διάδοχον· κἂν εἰ ἄλλως οἱ λόγοι τοῦ χρόνου ἐν τῷ θεῷ διαμένωσιν, ὡς δηλοῖ μυστικῶς ἡ τοῦ ἐν ἐρήμῳ δοθέντος νόμου διὰ Μωϋσέος τοῖς τὴν γῆν λαβοῦσι τῆς κατασχέσεως συνείσοδος. Αἰὼν γάρ ἐστιν ὁ χρόνος, ὅταν στῇ τῆς κινήσεως, καὶ χρόνος ἐστὶν ὁ αἰὼν, ὅταν μετρῆται κινήσει φερόμενος, ὡς εἶναι τὸν μὲν αἰῶνα, ἵνα ὡς ἐν ὅρῳ περιλαβὼν εἴπω, χρόνον ἑστερημένον κινήσεως, τὸν δὲ χρόνον αἰῶνα κινήσει μετρούμενον. Τῆς δὲ φύσεως Ἠλίας, οὐ μόνον ὡς τοὺς καθ' ἑαυτὸν ἀλωβήτους φυλάξας λόγους, καὶ τὸ ἐπ' αὐτοῖς κατὰ γνώμην φρόνημα τροπῆς τῆς ἐκ πάθους ἐλεύθερον, ἀλλὰ καὶ ὡς ἐν κρίσει

3. *συνερχόμενος* a m. pr. habet cod. Gud.

Digitized by Google

vivere instituit: alteram vero ut ab materia atque forma abripientem, quemadmodum currus ignitus Eliam, perque cognitionem deo adducentem et copulantem carne nihil gravatos propter reprobatam istius legem, aut ullâ de recte factis superbia flagrantes, propter rorem spiritus indigentiae, veris virtutibus coniunctum.

V. Vel rursus matrimonii et caelibatus mysteria comitari Sermonem edocti per Moysen sunt, quem matrimonium non prohibuit quominus in amorem divinae gloriae veniret, et per Eliam, qui omni prorsus matrimoniali nexu semper abstinuit: quippe Sermo ac deus eos qui ratione haec dirigunt secundum leges de eis rebus divinitus statutas, mystice sibi adoptari annuntiat.

VI. Vel vitae et mortis dominum revera esse Sermonem per eadem persuasionem tulerunt.

VII. Vel etiam omnes deo vivere, nec quemquam omnino apud eum mortuum esse per eadem didicerunt, praeter eum qui peccato se ipse morti auctorasset, seque voluntaria ad passiones et vitia proclivitate a verbo abscidisset.

VIII. Vel etiam ad Sermonem, ut qui veritas est, referri et esse mysteriorum imagines, et in eum cogi et redire tam legalis quam prophetici operis tanquam in principium et finem, eruditi sunt.

IX. Vel quae post deum sunt omnia et ex deo procreata, hoc est rerum naturam et tempus, una cum deo, ut causa et factore, apparere existentia, qui ipse, quoad fieri ejus potest, vere apparet. Quorum quidem temporis imago Moyses videatur esse, non solum ut temporis ac numerandi secundum hoc doctor (hic enim primus tempora a condito mundo numeravit), et temporalis cultus deductor, sed etiam quod non una cum illis in carnalem requiem introivit de quibus ante adventum divini evangelii narravit; eiusmodi enim etiam tempus est, neque antevertens neque conveniens motu illis quos ad divinam futuri aevi vitam transmittit. Iesum enim qui universi tam temporis est quam aeternitatis, habet successorem; quamquam alias temporis rationes in deo permanent, quemadmodum lex a Moyse in deserto data una cum eis qui terram possessionis ceperunt ingressa mystice manifestat. Aeternitas enim tempus est postquam motum stitit, et tempus est aeternitas quando mensura distinguitur motu agitata, adeo ut aeternitas, ut definite loquar, tempus sit motu privatum, tempus vero aeternitas motu mensurata. Naturae autem Elias videatur imago esse, non solum quod inviolatas sibi custodivit rationes et voluntatis consiliique prudentiam in illis, ab omni passionis vicissitudine liberam, sed etiam quod in iudicio, quemadmodum naturalis aliqua lex, castigat eos qui naturâ praeter naturam utuntur. Tale

Digitized by Google

παιδεύων, οἷόν τις φυσικὸς νόμος, τοὺς παρὰ φύσιν τῇ φύσει χρωμένους. Τοιοῦτον γὰρ καὶ ἡ φύσις, τοὺς αὐτὴν παραφθείρειν ἐπιχειροῦντας τοσοῦτον κολάζουσα, ὅσον τοῦ παρὰ φύσιν ζῆν ἐπιτηδεύουσι, τῷ μὴ ὅλην αὐτῆς φυσικῶς ἔτι κεκτῆσθαι τῆς φύσεως τὴν δύναμιν, μειωθέντας ἤδη τῆς κατ' αὐτὴν ἀρτιότητος καὶ διὰ τοῦτο κολαζομένους, ὡς ἑαυτοῖς ἀβούλως τε καὶ ἀφρόνως διὰ τῆς πρὸς τὸ μὴ ὂν νεύσεως τοῦ εἶναι παρεχομένους τὴν ἔλλειψιν.

ι. Ἴσως δὲ καὶ τὴν νοητὴν καὶ τὴν αἰσθητὴν κτίσιν ἔχεσθαι τοῦ δημιουργοῦ λόγου τις εἰπὼν διὰ Μωϋσέος καὶ Ἠλίου, τῆς ἀληθείας οὐ διαμαρτάνει. Ὧν τῆς μὲν αἰσθη-
Cod. f. 162 b. τῆς | Μωϋσῆς λόγον ἐπέχει, ὡς ὑπὸ γένεσιν καὶ φθορὰν γενόμενος, καθὼς ἡ περὶ αὐτοῦ ἱστορία δηλοῖ, τὴν γένεσιν καὶ τὸν θάνατον αὐτοῦ καταγγέλλουσα. Τοιοῦτον γὰρ καὶ αἰσθητὴ κτίσις, ἀρχὴν ἐγνωσμένην γενέσεως ἔχουσα καὶ διαφθορᾶς ὡρισμένον τέλος ἐλπίζουσα. Τῆς δὲ νοητῆς Ἠλίας, ὡς οὔτε γένεσιν αὐτοῦ τῆς περὶ αὐτοῦ μηνυούσης ἱστορίας, κἂν εἰ γεγέννηται, οὔτε μὴν τὴν διὰ θανάτου φθορὰν ἐλπίζεσθαι ὁριζομένης, κἂν εἰ τεθνήξεται. Τοιοῦτον γὰρ καὶ ἡ νοητὴ κτίσις, οὔτε ἀρχὴν γενέσεως ἀνθρώποις κατάδηλον ἔχουσα, κἂν εἰ γεγένηται καὶ ἦρκται καὶ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρῆκται, οὔτε τέλος τοῦ εἶναι διὰ φθορᾶς ὡρισμένον ἐκδέχεται. Τὸ γὰρ ἀνώλεθρον φυσικῶς ἔχει λαβοῦσα παρὰ θεοῦ, τοῦ οὕτως αὐτὴν δημιουργῆσαι θελήσαντος.

## Ἄλλη συνεκτικὴ θεωρία εἰς τὴν μεταμόρφωσιν.

Εἰ δέ τῳ μὴ περιεργότερος τοῦ δέοντος εἶναι δοκῶ, καὶ ἕτερον μέγα τε καὶ θεῖον, ὡς οἶμαι, ἐκ τῆς θείας μεταμορφώσεως μυστήριον ἡμῖν ἀναφαίνεται, καὶ τῶν εἰρημένων λαμπρότερον. Οἶμαι γὰρ τοὺς καθόλου δύο τῆς θεολογίας τρόπους μυστικῶς ὑφηγεῖσθαι τὰ ἐπὶ τοῦ ὄρους κατὰ τὴν μεταμόρφωσιν θεοπρεπῆ δραματουργήματα, τόν τε προηγούμενόν φημι καὶ ἁπλοῦν καὶ ἀναίτιον, καὶ διὰ μόνης καὶ παντελοῦς ἀποφάσεως τὸ θεῖον ὡς ἀληθῶς καταφάσκοντα, καὶ τὴν ὑπεροχὴν αὐτοῦ δι' ἀφασίας δεόντως σεμνύνοντα, καὶ τὸν ἑπόμενον τούτῳ καὶ σύνθετον, διὰ καταφάσεως μεγαλοπρεπῶς
Cod. f. 163 a. ἐκ τῶν | αἰτιατῶν ὑπογράφοντα· οἷς, κατὰ τὸ δυνατὸν ἀνθρώπους εἰδέναι, ἡ περὶ θεοῦ τε καὶ τῶν θείων ἐπαιωρουμένη γνῶσις διὰ τῶν προσφυῶν ἡμῖν συμβόλων πρὸς ἀμφοτέρους ἡμᾶς ἄγει τοὺς τρόπους, δι' εὐσεβοῦς τῶν ὄντων κατανοήσεως ἀμφοτέρων ἡμῖν ἐφιστῶσα τοὺς λόγους, καὶ τοῦ μὲν προτέρου πᾶν τὸ ὑπὲρ αἴσθησιν σύμβολον εἶναι διδάσκουσα, τοῦ δὲ δευτέρου τὰ κατ' αἴσθησιν ἀθροιστικὰ εἶναι παιδεύουσα μεγαλουργήματα. Ἐκ γὰρ τῶν ὑπὲρ αἴσθησιν συμβόλων τὴν ὑπὲρ λόγον καὶ νοῦν ἀλήθειαν εἶναι μόνον πιστευομεν, περὶ τοῦ τί καὶ πῶς καὶ ὁποίαν εἶναι καὶ ποῦ καὶ πότε μηδ' ὅλως τολμῶντες σκοπεῖν ἢ ἐννοεῖν ἀνεχόμενοι, τῆς ἐγχειρήσεως τὸ

Digitized by Google

enim etiam natura, quae se ipsam corrumpere conantes eatenus castigat, quatenus innaturali vivendi generi operam dant, eo quod non plenam ipsius naturae facultatem naturaliter amplius exercere eos sinit, imminutos iam integritate et per hoc castigatos, quippe qui sibi ipsis inconsulto et imprudenter ad id quod non est inclinando existentiae defectum praestant.

X. Intellectualem vero quoque ac sensualem conditionem opificis Sermonis si quis per Moysen et Eliam contineri dixerit, is fortasse a vero non aberrabit. Ex quibus sensualis Moyses rationem tenet, ut generationi ac interitui subiectus, quemadmodum historia eius narrat, generationem ac mortem eius commemorans. Tale enim sensualis quoque conditio, cuius initium generationis notum est, et quae interitus definitam consummationem sperat. Intellectualis contra Elias, cuius nec nativitatem prodit historia, etiam si generatus fuerit, nec utique mortis eum sibi sperare interitum definit, etiamsi mortem subierit. Tale enim intellectualis quoque conditio, quae non initium nativitatis hominibus manifestum habet, etiamsi facta fuerit et initium ceperit, et de nihilo in existentiam pervenerit, nec finem existentiae per interitum definitum exspectat. A deo enim, qui eam ita creasse volebat, hoc accepit, ut naturaliter exitio careret.

## Compendiaria alia in transformationem contemplatio.

Si cui autem necessario non operosior videbor, etiam aliud magnum et divinum, ut puto, ex divina transformatione mysterium nobis revelatur, iisque quae iam dixi luculentius. Arbitror per transformationis spectacula illa deo convenienter ac digne in monte edita divinae Christi naturae duos mystice enarrari generales modos, primum dico, et simplicem et causa carentem, solaque ac plena negatione divinum revera affirmantem, ac fastigium eius per stuporem, cui oratio non suppetit, ut par est, celebrantem, et alterum, qui hunc sequitur, compositum atque per affirmationem magnifice ex causatis probantem: quibus, quatenus hominibus id nosse licebit, suspensa de deo deque divinis rebus cognitio per symbola nobis idonea ad utrumque modum nos deducit, dum per religiosam rerum considerationem amborum rationes nobis sistit, prioris quidem symbolum quodcunque sensum excedat esse docens, alterius collectiva esse quae ad sensum pertineant opera magnifica. Ex symbolis enim quae sensum excedunt veritatem rationem et intellectum superantem solum modo censeri existimamus, et quid et quomodo et qualis ea sit, et ubi et quando nequaquam inquirere conantes aut mente percipere sustinentes, quandoquidem peri-

Digitized by Google

ἀσεβὲς παραιτούμενοι· ἐκ δὲ τῶν κατ' αἴσθησιν, ὡς ἡμῖν ἐστι δυνατὸν, κατ' ἔννοιαν μόνον ἰσχνῶς τῆς περὶ θεοῦ γνώσεως τὰς εἰκασίας λαμβάνοντες πάντα αὐτὸν εἶναί φαμεν ὅσα ἐκ τῶν αὐτοῦ ποιημάτων ὡς αἴτιον ἐγνωρίσαμεν.

## Ὅτι καὶ ἑαυτοῦ τύπος ὁ κύριος γέγονε κατὰ τὴν ἑαυτοῦ διὰ σαρκὸς οἰκονομίαν.

Σκοπήσωμεν δὲ εἰ μὴ καλῶς ἑκάστῳ τῶν εἰρημένων τρόπων κατὰ τὴν θείαν ἐκείνην τοῦ κυρίου μεταμόρφωσιν καὶ σοφῶς ἐνυπάρχει τὸ σύμβολον. Εἶδει γὰρ αὐτὸν καθ' ἡμᾶς ἀτρέπτως κτισθῆναι δι' ἄμετρον φιλανθρωπίαν καταδεξάμενον ἑαυτοῦ γενέσθαι τύπον καὶ σύμβολον, καὶ παραδεῖξαι ἐξ ἑαυτοῦ συμβολικῶς ἑαυτὸν, καὶ δι' ἑαυτοῦ φαινομένου πρὸς ἑαυτὸν ἀφανῶς πάντη κρυπτόμενον χειραγωγῆσαι τὴν ἅπασαν κτίσιν καὶ τῆς ἀφανοῦς καὶ πάντων ἐπέκεινα κρυφιομύστου καὶ ὑπ' οὐδενὸς τῶν ὄντων οὐδενὶ τὸ σύνολον
Cod. f. 163 b. τρόπῳ νοηθῆναι ἢ λεχθῆναι δυναμένης | ἀπειρίας τὰς ἐκφανεῖς διὰ σαρκὸς θεουργίας ἀνθρώποις παρέχειν φιλανθρώπως μηνύματα.

## Θεωρία τοῦ ἀστράψαντος προσώπου τοῦ κυρίου.

Τὸ τοίνυν φῶς τοῦ προσώπου τοῦ κυρίου τὸ νικῆσαν τῆς ἀνθρωπίνης μακαρίας ἀποστόλοις τῆς κατ' ἀπόφασιν μυστικῆς θεολογίας, καθ' ὃ ἡ μακαρία καὶ ἅγια θεότης κατ' οὐσίαν ἐστὶν ὑπεράρρητος καὶ ὑπεράγνωστος καὶ πάσης ἀπειρίας ἀπειράκις ἐξηρημένη, οὐδ' ἴχνος ὅλως καταλήψεως κἂν ψιλὸν τοῖς μετ' αὐτὴν καταλείψασα, οὐδὲ τὴν πῶς κἂν ποσῶς ἡ αὐτὴ καὶ μονὰς ἐστι καὶ τριὰς ἔννοιαν ἐφιεῖσά τινι τῶν ὄντων, ἐπειδὴ μηδὲ χωρεῖσθαι κτίσει τὸ ἄκτιστον πέφυκε, μηδὲ περινοεῖσθαι τοῖς πεπερασμένοις τὸ ἄπειρον.

## Θεωρία εἰς τὰ φανὰ τοῦ κυρίου ἐνδύματα.

Τὸν δὲ καταφατικὸν τρόπον εἴς τε τὸν κατ' ἐνέργειαν πρόνοιάν τε καὶ κρίσιν διαιρούμενον τὸν μὲν κατ' ἐνέργειαν, τὸν ἐκ [1] καλλονῆς καὶ μεγέθους τῶν κτισμάτων τὴν περὶ τοῦ δημιουργὸν εἶναι τῶν ὅλων τὸν θεὸν εἰσηγούμενον δήλωσιν, διὰ τῶν λαμπρῶν ἐσθημάτων τοῦ κυρίου δηλοῦσθαι, ἅπερ εἰς τὰ φαινόμενα κτίσματα προεκλαβὼν ὁ λόγος ἀπέδειξεν.

## Θεωρία ἄλλη εἰς τὸν Μωϋσῆν.

Τὸν δὲ κατὰ πρόνοιαν τρόπον διὰ τοῦ Μωϋσέος σημαίνεσθαι, ὡς πλάνης φιλανθρώπως ἐξαιρουμένην τοὺς κακίᾳ συνειλημμένους, καὶ τοὺς τρόπους σοφῶς τοῖς ἀνθρώποις

1. καλονῆς habet cod. Gud.

Digitized by Google

culi faciendi impietatem devitamus: ex sensualibus autem, quantum id nobis licet, cogitatu solummodo subtiliter capientes res divinas cognoscendi coniecturas deum esse statuimus quaecunque ex creaturis ipsius cognorimus.

## Quod etiam ipsius imago dominus fuerit secundum suam per carnem dispensationem.

Consideremus autem annon suum quisque quos dixi modorum secundum divinam illam domini transformationem bene atque sapienter suum tueatur symbolum. Specie enim eum humanae simili, sed non mutata ipsius natura, conditum esse propter infinitam suam in genus humanum clementiam sui ipsius symbolum atque imaginem fieri non recusantem, atque ex se ipso se ipsum symbolice demonstrare, perque suam apparentiam ad sese, qui in obscuritate ubique latet, omnem conditionem deducere, obscuraeque et omnium longe difficillimo mysterio obvolutae et quae ab ullo, quotquot hac vita fruimur, haudquaquam intellegi et edici possit, infinitatis luculenta per incarnationem hominibus praestare indicia.

## Contemplatio fulgentis domini faciei.

Splendor igitur faciei domini vincens humanam beatitudinem apostolis negativae est mysticae Christi dei naturae, qua beata atque sancta divinitas secundum essentiam plusquam inenarrabilis et plusquam incognita et omni infinitate infinite superior ne vestigium quidem ullum vel tenue comprehensionis iis quae post se habet, relinquit, nec quomodo vel aliquatenus eadem unio sit et trinitas, intellegendum ulli eorum qui sunt concessit; quandoquidem a creatura id quod non creatum est capi nequit, neque cogitatione comprehendi a finitis infinitum.

## Contemplatio in luminosas domini vestes.

Affirmativum autem modum in activam providentiam et iudicium distinctum suspicor, primum quidem, hoc est activum, qui ex pulchritudine et magnitudine creaturarum deum universitatis esse artificem colligi iubet, per splendidas domini vestes manifestari, quas Sermo in creaturas visui apparentes productas ostendit.

## Contemplatio alia in Moysen.

Providentiae autem modum per Moysen significari, ut quae clementer errore eximit pravitate correptos, atque modos profectionis ad divina et immaterialia et incorporalia a mate-



Digitized by Google

διαποικίλλουσαν τῆς πρὸς τὰ θεῖα καὶ ἕνλα καὶ ἀσώματα ἀπὸ τῶν ὑλικῶν καὶ φθαρτῶν καὶ σωματικῶν ἐκθημίας, καὶ τοῖς θείοις νόμοις ἐπιστημόνως ἐρείδουσα.

Cod. f. 164 a. *Θεωρία ἄλλη εἰς τὸν Ἠλίαν.*

Τὸν δὲ τῆς κρίσεως τρόπον διὰ τοῦ Ἠλίου μηνύεσθαι, ὡς λόγῳ τε καὶ ἔργῳ τοὺς μὲν κατ' ἀξίαν τιμωρουμένης, τοὺς δὲ περιεπούσης διὰ τοῦ κατὰ τὴν ὑποκειμένην ὕλην τε καὶ ποιότητα τῆς ἀρετῆς ἢν τῆς κακίας ἑκάστῳ προσφόρως αὐτὴν ἁρμόζεσθαι. Ταῦτα γὰρ πάντα τὰ προθεωρηθέντα κατὰ τὸν παρόντα τῆς ἁγίας γραφῆς τόπον Μωϋσῆς τε καὶ Ἠλίας, ὡς ἐνῆν μάλιστα τοὺς τὰ θεῖα τυπικῶς δι' ἑαυτῶν ὑπογράφοντας πράγματα, ἐν τοῖς καθ' ἑαυτὸν ἑκάτερος χρόνοις καθ' ἱστορίαν εἰργάσαντο, ἐμφερῶς ἔχοντα πρὸς τὰ εἰρημένα κατὰ τὸν τῆς θεωρίας τρόπον.

## *Θεωρία περὶ τῆς πρὸς τὸν κύριον κατὰ τὴν μεταμόρφωσιν διαλέξεως Μωϋσέος καὶ Ἠλίου.*

Ἐκ δὲ τοῦ συλλαλεῖν αὐτοὺς τῷ κυρίῳ, καὶ τὴν ἔξοδον λέγειν ἣν ἔμελλε πληροῦν ἐν Ἱερουσαλὴμ, οὐ μόνον τὴν ἐπ' αὐτῷ διὰ νόμου καὶ προφητῶν προκεκηρυγμένην τῶν μυστηρίων ἔκβασιν ἐδιδάσκοντο, ἀλλ' ἴσως καὶ τὸ μὴ ληπτὸν εἶναι μηδενὶ καθόλου τῶν ὄντων τὸ πέρας τῆς ἀῤῥήτου περὶ τὸ πᾶν βουλῆς τοῦ θεοῦ καὶ τῶν ἐπ' αὐτῇ θείων οἰκονομιῶν, πλὴν τῆς μεγάλης αὐτοῦ προνοίας καὶ κρίσεως, δι' ὧν εἰς τὸ μόνῳ τῷ θεῷ προεγνωσμένον τέλος τὸ πᾶν εὐτάκτως ἐπείγεται, ὅπερ πάντες μὲν ὁμοίως ἠγνόησαν κατὰ τὸ τίποτε εἶναι καὶ πῶς καὶ ποῖον καὶ πότε, μόνοι δὲ ἀληθῶς μόνον ἐπέγνωσαν ἔσεσθαι οἱ τὴν ψυχὴν ἀρεταῖς ἐκκαθάραντες ἅγιοι, καὶ πρὸς τὰ θεῖα τὴν ῥοπὴν αὐτῆς ὅλην τὴν νοερὰν ὁλικῶς μετεγκλίναντες, αὐτῆς, ὡς εἰπεῖν, τῆς καθόλου τῶν ὁρατῶν
Cod. f. 164 b. φύσεως, δι' ὧν | συνίστασθαι πέφυκε τρόπων, τὸ τέλος τῆς παρούσης αὐτῆς εὐκοσμίας, μονονουχὶ διαῤῥήδην βοώσης, ἀκούσαντες.

## *Θεωρία φυσικὴ περὶ τοῦ τέλος ἐξ ἀνάγκης ἔχειν τὸν κόσμον.*

Περιαθρήσαντες γὰρ, ὡς ἐνῆν μάλιστα, ἐπιστημόνως τὸν παρόντα κόσμον, καὶ τῶν ἐν αὐτῷ ποικίλως ἀλλήλοις συνηρμοσμένων σωμάτων, τὸν συνεπτυγμένον κατ' ἔννοιαν σοφῶς ἐξαπλώσαντες λόγον εὗρον τὰ μὲν αὐτῶν αἰσθητὰ καὶ ἀντιληπτικὰ καὶ καθολικὰ, πάντα δὲ πᾶσι περιεχόμενά τε καὶ περιτρεπόμενα τῇ ἐπαλλαγῇ τῆς περὶ ἕκαστον ποιᾶς ἰδιότητος. Τοῖς μὲν γὰρ αἰσθητοῖς περιέχεται κατὰ φύσιν τὰ αἰσθητικὰ, τὰ δὲ αἰσθητὰ τοῖς αἰσθητικοῖς κατ' αἴσθησιν,

1. ἡλιοῦ cod Gud. Nec semel ita.

Digitized by Google

rialibus et corruptibilibus et corporalibus hominibus sapienter distinguit, divinisque legibus prudenter fulcit.

## Contemplatio alia in Eliam.

Iudicii vero modum per Eliam significari, ut quae tam verbo quam facto alios secundum meritum punit, alios prosequitur ita ut secundum subiectam materiam et qualitatem vel virtutis vel pravitatis pro merito uniuscuiusque attribuatur. Haec enim omnia quae adhuc quaerebamus de praesente sacrae scripturae loco Moyses atque Elias, id quod iis maxime licuit qui res divinas typice per suas ipsorum res adumbrabant, suis uterque quibus vixit temporibus, ut narratur, egerunt, et cum illis conveniunt quae pro contemplationis modo exposuimus.

## Contemplatio de Moysis et Eliae in transfiguratione cum Domino colloquio.

Ex colloquio autem eorum cum domino et quod finem indixerunt quem Hierosolymis completurus esset, non solum de mysteriorum in eo, quem lex ac prophetae praedicaverant, exitu erudiebantur, sed fortasse etiam de eo quod nulli omnino in tota rerum natura divinae arcanae circa universum dei voluntatis et divinorum eius dispensationum finis comprehendere posset, praeter magnam eius providentiam et iudicium, quibus in finem soli deo praecognitum omnia ordinate procedunt, quem finem quid sit tandem et quomodo et qualis et quando aeque ignoraverunt omnes, solique vere duntaxat hunc futurum esse cognoverunt sancti mentes virtutibus purgati, quique libramentum intellectuale mentis totum et plene ad divina declinaverunt, ab ipsa, ut ita dicam, universali visibilium natura per eosdem, quibus constiterit, modos praesentis eius ordinis finem, tantum non diserte et clara voce praedicante, accipientes.

## Contemplatio naturalis de necessitate finis mundi.

Perlustrato enim summa, quae suppetebat peritia hoc praesente mundo, corporibusque in eo varie sibi iunctorum, complicatam mente scite explicarunt rationem, et invenerunt partem quidem eorum sensibilia esse et comprehensibilia et universalia, omnia vero omnibus coerceri atque converti vicissitudine proprietatis qualiscunque singula circumdantis. Sensibilibus enim coercentur naturaliter quae sentiunt, sensibilia vero sensu aliter iis quae sentiunt, ut comprehensibilia. Atque rursus universalia particularibus secundum immutationem,



Digitized by Google

ὡς ἀντιληπτά. Καὶ πάλιν τὰ μὲν καθόλου τοῖς μερικοῖς κατὰ ἀλλοίωσιν, τὰ δὲ μερικὰ τοῖς καθόλου κατὰ ἀνάλυσιν περιτρεπόμενα φθείρεται. Καὶ τῶν μὲν διὰ τῆς τῶν ἄλλων γενέσεως ἡ φθορὰ ἐπιγίνεται. Τῶν γὰρ καθόλου ἡ πρὸς ἄλληλα σύνοδος τῶν μερικῶν ποιουμένη τὴν γένεσιν ἀλλήλων τῇ ἀλλοιώσει ἐστὶ φθορά, καὶ τῶν αὖ μερικῶν ἡ κατὰ διάλυσιν τῆς συνδέσεως πρὸς τὰ καθόλου ἀνάλυσις τὴν φθορὰν ἐπεισάγουσα τῶν καθόλου ἐστὶ διαμονὴ καὶ γένεσις. Καὶ ταύτην εἶναι μαθόντες τοῦ αἰσθητοῦ κόσμου τὴν σύστασιν, τὴν εἰς ἄλληλα τῶν ἐν αὐτῷ σωμάτων ἐξ ὧν καὶ ἐν οἷς ὑφέσιη-
Cod. f. 165 a. κε | δι' ἀλλήλων φθορὰν καὶ ἀλλοίωσιν, ἀκολούθως διὰ τῆς κατὰ φύσιν ἀστάτου καὶ ἀλλοιωτῆς καὶ ἄλλοτε ἄλλως φερομένης τε καὶ περιτρεπομένης καθόλου τῶν ἐξ ὧν συνέστηκε σωμάτων ἰδιότητος τὴν ἐξ ἀνάγκης καθ' εἱρμὸν γενησομένην αὐτοῦ συντέλειαν ἐπαιδεύθησαν οὐκ εἶναι δυνατὸν, οὔτε μὴν λογικῆς συνέσεως ἄϊδιον φάναι τὸ μὴ ὡσαύτως ἔχον ἀεὶ, δίχα τροπῆς καὶ τῆς οἱασοῦν ἀλλοιώσεως, ἀλλὰ μυρίοις σκεδαννύμενον τρόποις καὶ περιτρεπόμενον, ὀρθῶς λογισάμενοι.

## Θεωρία σύντομος περὶ τοῦ μέλλοντος αἰῶνος, καὶ τί τὸ χάσμα ἐστὶ τὸ μεταξὺ θεοῦ καὶ ἀνθρώπων, καὶ τί ὁ Λάζαρος καὶ ὁ κόλπος τοῦ πατριάρχου.

Ἐντεῦθεν τῶν ὁρωμένων ὑπεράνω γενόμενοι μεγαλοφυῶς τοῦ πάντως ἐσομένου τῶν ὅλων κατεστοχάσαντο πέρατος, ἐν ᾧ τι τῶν ὄντων οὐκέτι φέρον ἐστὶ καὶ φερόμενον, οὐδέ τις οὐδενὸς τὸ σύνολον κίνησις παγιότητος ἀῤῥήτου, τὴν τῶν φερομένων τε καὶ κινουμένων φοράν τε ὁρισαμένης καὶ κίνησιν. Πρὸς ὃ γενέσθαι κατὰ νοῦν ἐπιθυμήσαντες, ἔτι τὴν ὑπὸ φθορὰν περικείμενοι σάρκα ἐμφρόνως τὸ μεταξὺ θεοῦ καὶ ἀνθρώπων χάσμα διέβησαν, σαρκὸς καὶ κόσμου κατὰ τὴν σχέσιν ἑκουσίως ἀπογενόμενοι. Χάσμα γὰρ ὡς ἀληθῶς φοβερόν τε καὶ μέγα μεταξὺ θεοῦ καὶ ἀνθρώπων ἐστὶν ἡ πρὸς τὸ σῶμα καὶ τὸν κόσμον τοῦτον στοργὴ καὶ διάθεσις. Ὧν γενναίως τὴν στέρησιν χαίρων στέρξας ὁ Λάζαρος (ὡς δηλοῖ ἥ τε νόσος καὶ ἡ πενία, ἡ μὲν τὴν πρὸς τὸν κόσμον, ἡ δὲ τὴν πρὸς τὸ σῶμα ποιουμένη αὐτῷ ἀλλοτρίωσιν) τὴν ἐν κόλ-
Cod. f. 165 b. ποις Ἀβραὰμ κατηξιώθη λαβεῖν | ἀνάπαυσιν, τὸν τούτοις προστετηκότα πλούσιον ἔξω ἀφεὶς τῆς ἀνέσεως, μηδὲν ἄλλο τῆς διὰ σαρκὸς ὠφεληθέντα ζωῆς, πλὴν τοῦ ἐπ' αὐτῇ ἀπεράντως κολάζεσθαι, ὡς οὔτε τὴν παροῦσαν ζωὴν ἔχοντα, ἣν ποθήσας μόνην ἠσπάζετο, ἀκράτητον φύσει κατὰ τὴν ῥεῦσιν ὑπάρχουσαν, οὔτε τῆς μελλούσης μεταλαχεῖν δυνάμενον, πρὸς ἣν ἀργὸς παντάπασι διέμεινε καὶ ἀνέραστος, μόνοις ἐκείνοις συμφύεσθαι τοῖς αὐτὴν ὁλοσχερῶς ἀγαπήσασι πεφυκυῖας, καὶ τοῦ πρὸς αὐτὴν εἵνεκα πόθου πάντα τὰ ἄλγεινὰ προθύμως μεθ' ἡδονῆς ὑπομείνασι. Κόλπους δὲ Ἀβραὰμ ἀκούοντας τὸν ἐκ

Digitized by Google

particularia contra universalibus secundum dissolutionem conversa corrumpuntur. Atque parti quidem per aliorum generationem interitus accidit. Universalium enim mutua inter se congregatio, dum particularium efficit generationem, singulorum inter sese immutatione interitus est, et iterum particularium nexu sublato in universalia facta resolutio, dum interitum introducit, universalium est perennitas ac generatio. Atque hanc mundi sensibilis constitutionem, cum mutuum esse nossent corporum, de quibus et in quibus consistat per se ipsa interitum immutationemque, consequenter ex instabili secundum naturam et immutata quae huc illuc fertur convertiturque generali corporum quibus constat proprietate, de nexu ac serie eius necessario consummationem evenire posse nullam edocebantur, recte aestimantes nec rationaliter utique posse intellegi quomodo aeternum dici queat quod et semper sibi non constet, nec vicissitudine et qualicunque immutatione careat, sed infinito modorum numero dissipetur et convertatur.

## Contemplatio brevis de futuro aevo, et quid interhiet inter deum atque hominem, et quis sit Lazarus et sinus patriarchae.

Hinc visibilia magnifice supergressi finem universae rerum naturae, qui omnino futurus est, speculati sunt, in quo nihil rerum iam ferat aut feratur, nec rei ullius omnino motio stabilitatis ineffabilis eius quae rerum quae feruntur quaeque ferunt impetum et motum definit. Quo pervenisse mente dum hac adhuc interibili carne induti cupiunt, hiatum inter deum atque hominem interiectum vivi transierunt, carne et mundo secundum relationem sponte exuti. Hiatus enim revera terribile et ingens inter deum et hominem interhiat corporis ac mundi huius amor atque affectus, quorum privationem Lazarus fortiter et cum gaudio amplexus (quemadmodum significat morbus et paupertas, altera eum a mundo, alter a corpore alienans) in sinu Abrahami requiem accipere meruit, et divitem, qui totus in illis inhaesisset, extra refrigerationem reliquit, neque alium carnalis vitae fructum habentem praeter quod eius ipsius causa aeterna poena afficitur, neque praesente vita fruentem, quam solam desiderabat et adamabat, cum tamen retineri ea naturaliter propter fluxum haud queat, neque futurae compotem, cuius semper studio et amore ex toto vacaverat, quae solos eos complectatur qui penitus eam diligant et pro desiderio eius quosvis dolores lubenter et cum voluptate perferant. Sinus autem Abrahami qui dicuntur intellegemus deum qui de Abrahami semine carnaliter nobis apparuit, verum omnium praebitorem,

Digitized by Google

σπέρματος Ἀβραὰμ τὸν κατὰ σάρκα ἡμῖν ἐπιφανέντα νοήσομεν θεὸν, τὸν ὄντως πάντων χορηγικὸν καὶ πᾶσι τοῖς ἀξίοις τῆς χάριτος ἀναλόγως τῇ κατ' ἀρετὴν ἑκάστου ποιότητί τε καὶ ποσότητι, οἷόν τινας διαφόρους [1] νομὰς ἀμερῶς ἑαυτὸν ἐπιμερίζοντα καὶ τοῖς μετέχουσιν οὐδ' ὁπωσοῦν συνδιατεμνόμενον, διὰ τὴν κατὰ φύσιν ἄτμητον ὀντότητα τῆς ἑνότητος, κἄμπαλιν διὰ τὴν διάφορον ἀξίαν τῶν μετεχόντων ταῖς μετοχαῖς παραδόξως καθ' ἕνωσιν ἀῤῥήτον ἀφοριστικῶς ἐπιφαινόμενον (οἶδεν ὁ λόγος), πρὸς ὃν οὐδεὶς διαβῆναι δυνήσεται θρύψει χαίρων σαρκὸς, καὶ τῆς αὐτοῦ μακαρίας δόξης τῇ τοῦ κόσμου ἀπάτῃ πλέον ἡδόμενος, οὐδὲ στήσεται μετὰ τοῦ τὸν κόσμον νικήσαντος ὁ τῷ κόσμῳ ἡττηθεὶς καὶ ἐπ' αὐτῷ κακῶς εἰδῶς ἀγαλλόμενος. Οὐκ εἶναι γὰρ ἄξιον ἔκρινεν ἡ θεία δικαιο-

Cod. f. 166 a. σύνη, | τοὺς τῇ ζωῇ ταύτῃ τὰ κατὰ τὸν ἄνθρωπον περιγράφοντας, καὶ πλούτῳ καὶ ὑγείᾳ σώματος καὶ τοῖς ἄλλοις ἀξιώμασιν ἀβρυνομένους, καὶ τοῦτο μόνον μακάριον κρίνοντας, τὰ δὲ τῆς ψυχῆς ἀγαθὰ παρ' οὐδὲν τιθεμένους, τῶν θείων καὶ αἰωνίων μεταλαχεῖν ἀγαθῶν, ὧν οὐδ' ὅλως ἐφρόντισαν, διὰ τὴν πολλὴν περὶ τὰ ὑλικὰ σπουδὴν, ἀγνοήσαντας ὅσον πλούτου καὶ ὑγείας καὶ τῶν ἄλλων προσκαίρων ἀγαθῶν αἱ ἀρεταὶ ὑπερέχουσιν.

## Θεωρία περὶ ἀρετῶν.

Μόναι γὰρ καὶ σὺν τοῖς ἄλλοις αἱ ἀρεταὶ μακάριον ποιοῦσι τὸν ἄνθρωπον. Μετὰ μὲν τῶν ἄλλων, κατὰ πλάτος, ὥς τις ἔφη τῶν τὰ θεῖα σοφῶν, μόναι δὲ καὶ καθ' ἑαυτὰς, κατὰ περιγραφήν. Τῶν γὰρ ὄντων τὰ μὲν κατὰ περιγραφὴν νοεῖται, ὡς δίπηχυ, τὰ δὲ κατὰ πλάτος, ὡς σωρός. Σωροῦ γὰρ κἂν δύο μεδίμνους ἀφέλῃς, τὸ λειπόμενον μένει σωρός· καὶ τῆς δὲ κατὰ πλάτος μακαριότητος ἂν ἀφέλῃς τὰ τοῦ σώματος καὶ τῶν ἐκτὸς ἀγαθὰ, καταλίπῃς δὲ μόνας τὰς ἀρετὰς, μένει καὶ οὕτως ἀνελλιπὲς τὸ μακάριον. Αὐτάρκης γὰρ καὶ καθ' ἑαυτὴν τῷ ἔχοντι πρὸς εὐδαιμονίαν ἡ ἀρετή. Πᾶς οὖν κακὸς ἄθλιος, κἂν πάντα συλλήβδην ἔχῃ τὰ λεγόμενα τῆς γῆς ἀγαθὰ, τῶν ἀρετῶν ἐστερημένος· καὶ πᾶς ἀγαθὸς μακάριος, κἂν πάντων ἐστέρηται τῶν ἐπὶ γῆς ἀγαθῶν, ἔχων τῆς ἀρετῆς τὴν λαμπρότητα, μεθ' ἧς Λάζαρος τὴν ἐν κόλποις Ἀβραὰμ ἀνάπαυσιν ἔχων ἀγάλλεται.

Gregorii Naz. Or. in S. Pascha cap. 24. tom. I. p. 864. ed. Benod.

## Ἄλλη θεωρία εἰς τὸ, Ἐὰν [1] σταυρωθῇς ὡς ληστής.

Κἂν αὖθις ληστὴς ἐστιν εὐγνώμων ὁ καταξιωθεὶς | συ-

Cod. f. 166 b. σταυρωθῆναι Χριστῷ διὰ τῆς παντελοῦς καὶ ὁλοκλήρου τῶν παθῶν [2] ἐκκρούσεως, καὶ δεξιῶς αὐτῷ συσταυρούμενος, τουτέστι μετὰ λόγου καὶ γνώσεως πᾶσαν διεξιὼν ἀρετὴν, καὶ

---

1. *νόμας* cod. Gud.

1. Repone *συσταυρωθῇς*, ut extat etiam infra fol. 248 b.

Digitized by Google

omnibus gratia dignis pro qualitate et quantitate cuiusque virtutis, velut diversa quaedam donativa, sed individuum sese distribuentem, et tamen ita ut cum eis qui participant nequaquam simul dissecetur, propter unitatis naturaliter inseparabilem existentialitatem, et rursus, propter disparem eorum quibus communicatur dignitatem in communicando sese mirifice secundum ineffabilem quandam adunationem separatim apparentem (novit ratio): ad quem nemo penetrare poterit qui carnis voluptate gaudet, ac mundi magis fraude quam beata ipsius gloria delectatur, nec stabit cum mundi victore a mundo devictus et male prudens eo exultans. Neque enim fas esse statuit divina iustitia, ut qui hac vita rem humanam metiuntur et opulentia ac valetudine corporis et aliis muneribus insolescunt, inque his solis beatitudinem collocant, contra animae bona nihili aestimant, divinis atque aeternis potirentur bonis, quorum curam habuerint plane nullam, ob nimiam materialium studium, immemores quantum divitiae et valetudo reliquaque temporalia bona virtutibus superentur.

## Contemplatio de virtutibus.

Solae enim, etiam si alia comitantur, virtutes beatum reddunt hominem: una cum aliis, secundum latitudinem, ut aliquis in rebus divinis sapiens dicebat, solae vero per semet ipsas, secundum circumscriptionem. Rerum enim pars secundum circumscriptionem noscitur, ut bicubitale, pars vero secundum latitudinem, uti acervus. Acervi enim etiamsi duos modios demis, tamen relinquitur acervus; et si illius secundum latitudinem beatitudinis demtis corporalibus atque externis bonis solas virtutes reliquas feceris, beatitudo nihilominus illibata perseverat. Sufficit enim vel per semet ipsam ad beatitudinem virtus. Omnis igitur malus miser, etiam si cuncta terrae quae dicuntur, bona habeat, cum virtutum sit expers: et omnis bonus beatus, etiam si omnibus privetur terrenis bonis, cum sit virtutis splendore ornatus, quocum Lazarus in sinu Abrahami requie gaudet.

## Alia contemplatio in illud, ‚Si crucifigaris ut latro.'

Atque si rursus latro, qui una cum Christo crucem pati meruit, aequus et probus est affectionibus plene atque perfecte expulsis, et ad dexteram eius cruci affixus, hoc est cum ratione et cognitione omnem virtutem percurrens, et vitam cunctis hominibus inoffensam et innocuam servans,

2. Ita rescripsi. Cod. Gud. enim habet ἐκφάσεως.

Digitized by Google

ἀπρόσκοπον πᾶσιν ἀνθρώποις τὸν βίον διατηρῶν, καὶ μηδεμίαν ἔχων τὸ παράπαν τῆς τοῦ λόγου πραότητος ἀπάδουσαν δι' αὐστηρότητα κίνησιν, ἀγνώμων δὲ λῃστής ἐστιν ὁ δόξης ἕνεκεν ἢ λημμάτων ἀδροτέρων τοῖς φαινομένοις τρόποις ὑπούλως τὸν κατ' ἀρετὴν βίον ὑποχρινόμενος, καὶ ἕνα καὶ μόνον πρὸς τοὺς ἔξω τὸν κόλακα λόγον ἀντὶ πάσης ἀρετῆς τε καὶ γνώσεως μετερχόμενος, πρὸς δὲ τοὺς συνήθεις σκολιός τις τὴν γνώμην τῶν παντάπασιν ὢν καὶ δυσιάντητος, ὃν δεῖ μάλα γε τὴν ὁδὸν τοῦ θεοῦ βλασφημοῦντα μετὰ συνέσεως ἐπιστομίζειν. Ἴσως γὰρ παύσεται τοῦ διαβάλλειν διὰ τῆς οἰκείας ἀναστροφῆς τὸν λόγον, [3] τῇ παραινέσει τοῦ ἐπιπλήσσοντος, ὥςπερ ἐπὶ τοῦ σταυροῦ πέπονθεν ὁ τὴν βλασφημίαν ἀδεῶς προσενέγκας λῃστής. Τὸ γὰρ μὴ ἀντιφθέγξασθαι τῷ ἐπιπλήξαντι σημεῖον ἔχει τῆς τοῦ ῥηθέντος ἀποδοχῆς λόγου τὴν σιωπήν. Καθ' ἥντινα γοῦν τῶν εἰρημένων τῷ Χριστῷ συσταυρούμεθα, σπουδάσωμεν, ὡς ἐσμεν ἐνταῦθα, τὸν συσταυρούμενον ἡμῖν ἱλεώσασθαι λόγον, καὶ τὴν ἀψευδῆ [4] δέξασθαι κατὰ συνείδησιν καταρθεῖσαν τῶν πλησσόντων αὐτὴν νοημάτων τῆς ἀναπαύσεως ἐπαγγελίαν, εἴπερ ἡ σήμερον τὴν ἐνεστῶσαν τούτου τοῦ αἰῶνος ἡμέραν ἐνδείκνυται (Σήμερον γὰρ,
Luc. 23, 43. φησὶν, ἔσῃ μετ' ἐμοῦ ἐν τῷ | παραδείσῳ), ἡ δὲ αὔριον τὴν
Cod. f. 167 a. τοῦ μέλλοντος· καθ' ἣν οὐδεμίαν μὲν ἄφεσιν ἁμαρτημάτων ἐκδέχεσθαι χρὴ, μόνην δὲ τῆς ἑκάστῳ πρεπούσης κατ' ἀξίαν ἀμοιβῆς τῶν βεβιωμένων ἀντίδοσιν.

Greg. Naz. Or. in Novam Dominic. cap. 5. tom. I. p. 838. ed. Bened.

## Ἄλλη θεωρία πρὸς τοὺς ἀποροῦντας περὶ τοῦ ῥητοῦ τοῦ ἐν τῷ λόγῳ τῶν Ἐγκαινίων τοῦ λέγοντος, Ὑψηλῆς ὑψηλοτέρα, καὶ θαυμασίας θαυμασιωτέρα.

Καὶ αὖθις τὴν μὲν πρώτην κυριακὴν τῆς μελλούσης φυσικῆς ἀναστάσεως καὶ ἀφθαρσίας εἶναι σύμβολον, τὴν δὲ δευτέραν τῆς κατὰ χάριν μελλούσης θεώσεως φέρειν εἰκόνα. Εἰ τοίνυν τῆς μὲν καθαρευούσης κακῶν ἕξεως ἡ τῶν ἀγαθῶν ἀπόλαυσίς ἐστι τιμιωτέρα, τῆς δὲ κατ' ἀρετὴν ὑγιοῦς προαιρέσεως ἡ ἕξις τῆς κατὰ τὴν ἀληθῆ γνῶσιν τελειότητος, καὶ τῆς φυσικῆς ἀφθαρσίας ἡ ἐν χάριτι πρὸς τὸν θεὸν κατὰ τὴν θέωσιν μεταποίησις, ὧν ἡ μὲν πρώτη κυριακὴ φέρει τύπον, ἡ δὲ δευτέρα τυγχάνει σύμβολον, εἰκότως ὑψηλῆς ὑψηλοτέραν ἀγόμενος πνεύματι τὴν καινὴν ὁ διδάσκαλος ἔφη κυριακήν.

## Θεωρία φυσικὴ, δι' ἧς τὸν θεὸν ἐκ τῶν κτισμάτων οἱ ἅγιοι ἐδιδάσκοντο.

Οὕτω μὲν οὖν τὴν κτίσιν κατανοήσαντες οἱ ἅγιοι, καὶ τὴν εὐκοσμίαν αὐτῆς καὶ τὴν ἀναλογίαν καὶ τὴν χρείαν, ἣν

3. Apographum habet τῇ γὰρ παραινέσει. Delevi illud γὰρ quod non dubito quin accreverit ex vocabulo παραινέσει.

Digitized by Google

omnisque omnino ab rationis mansuetudine absoni propter duritiem motus expers, iniquus contra latro est qui vitam virtutibus colere modis speciosis famae aut spissiorum emolumentorum gratia subdole simulat, unum et solum apud externos adulatorem sermonem pro omni virtute atque cognitione meditans, erga familiares contra versutus animo prae ceteris atque occursu difficilis, qui cum dei viam graviter blasphemet, perite reprimi debet ac refrenari. Fortasse enim desinet conversatione sua obtrectare Sermoni a castigatore admonitus, ut evenit in cruce latroni illi qui blasphemiam impudenter intulerat. Quod enim castiganti nihil respondit, hoc silentio sermonem a se comprobatum significavit. Quacunque igitur huius contemplationis ratione cum Christo cruci affigimur, demus operam, ut sumus ibi, ut sermonem una cum nobis in crucem datum placemus nobis, ac fidam recipiamus pura conscientia castigantium cogitationum ipsam requiei et refrigerii annuntiationem; siquidem hodierna dies praesentem huius saeculi diem significat (‚Hodie enim', inquit, ‚mecum in paradiso eris'), crastina autem futuri saeculi, qua nullam peccatorum remissionem expectare debes, verum solam pro uniuscuiusque vitae merito retributionem condignam.

## Alia contemplatio ad eos qui ambigunt de dicto in sermone de dedicatione eius qui dixit, ‚Sublimi sublimior, et admirabili admirabilior.'

Ac rursus primam dominicam naturalis resurrectionis futurae et sempiternitatis esse symbolum, secundam vero imaginem ferre deificationis quae de gratia nobis obtinget. Quod si habitu malorum puro ac libero bonorum fruitio, et voluntate sana et virtute temperata praestat habitus perfectionis secundum veram cognitionem, si naturali etiam perpetuitate praestat in gratia ad deum transferri et regenerari per deificationem, quorum prima dominica fert imaginem, altera vero est symbolum, merito sublimi sublimiorem spiritu actus magister novam dixit dominicam.

## Contemplatio naturalis, per quam deum ex rebus conditis sancti didicerunt.

Partim igitur sic conditionem intuentes sancti et ordinem eius ac proportionem et operam quam singula quaeque praestant universo, et quam perfecta secundum suam quaeque sint rationem sapienter ac providenter constituta, quodque

4. δόξασθαι cod. Gud.

Digitized by Google

ἕκαστον παρέχεται τῷ πάντι, καὶ ὡς τέλεια πάντα σοφῶς τε καὶ προνοητικῶς καθ' ὃν δεδημιούργηνται λόγον δεδημιουργημένα, καὶ ὡς οὐχ οἷοντε ἄλλως γε καλῶς ἔχειν τὰ γενόμενα παρ' ὃ νῦν ἔχει, προσθήκης ἢ ἀφαιρέσεως πρὸς
Cod. f. 167 b. τὸ καλῶς ἄλλως ἔχειν μὴ δεόμενα, | τὸν δημιουργὸν ἐκ τῶν αὐτοῦ ποιημάτων ἐδιδάχθησαν· οὕτω δὲ τὴν διαμονὴν, τήν τε τάξιν καὶ τὴν θέσιν τῶν γεγονότων, καὶ τὴν διεξαγωγὴν, καθ' ἣν πάντα κατὰ τὸ οἰκεῖον ἕκαστα εἶδος ἔστηκεν ἀσύγχυτα καὶ παντὸς ἐλεύθερα φυρμοῦ, τήν τε τῶν ἄστρων φορὰν κατὰ τὸν αὐτὸν τρόπον γινομένην, μηδὲν μηδέποτε διαλλάττουσαν, καὶ τὸν κύκλον τοῦ ἐνιαυτοῦ κατὰ τὴν τῶν αὐτῶν ἀπὸ τοῦ αὐτοῦ εἰς τὸν αὐτὸν τόπον ἀποκατάστασιν εὐτάκτως γινόμενον, τῶν τε νυκτῶν καὶ τῶν ἡμερῶν τὴν κατ' ἔτος ἰσότητα, παρὰ μέρος ἑκατέρας αὐξανομένης τε καὶ μειουμένης, οὔτε πλείονι οὔτε ἐλάττονι μέτρῳ τῆς αὐξήσεως αὐταῖς ἢ τῆς μειώσεως ἐπιγινομένης, προνοητὴν ἐπίστασαν εἶναι τῶν ὄντων, ὃν καὶ θεὸν καὶ δημιουργὸν τῶν ὅλων ἐπέγνωσαν.

## *Θεωρία φυσικὴ περὶ τοῦ ἀρχὴν ἔχειν τὸν κόσμον καὶ γένεσιν, καὶ πᾶν ἄλλο μετὰ θεόν.*

*Τίς γὰρ τὸ κάλλος καὶ τὸ μέγεθος τῶν τοῦ θεοῦ κτισμάτων θεώμενος οὐκ εὐθὺς αὐτὸν γενεσιουργὸν ἐννοήσει, ὡς ἀρχὴν καὶ αἰτίαν τῶν ὄντων καὶ ποιητὴν, καὶ πρὸς αὐτὸν μόνον ἀναδραμεῖται τῇ διανοίᾳ, ταῦτα ἀφεὶς κάτω, ὅτι μηδὲ πέφυκε τῆς διανοίας χωρεῖν τὴν ὅλην διάβασιν, λαβεῖν ποθῶν ἀμέσως ὃν διὰ μέσων τῶν ἔργων ἐγνώρισε, καὶ τὴν περὶ τοῦ ἄναρχον εἶναι τὸν κόσμον ἑαυτοῦ πλάνην ἑτοίμως ἀπώσεται, λογιζόμενος ἀληθῶς ὅτι πᾶν κινούμενον πάντως καὶ ἤρξατο τῆς κινήσεως. Πᾶσα δὲ κίνησις οὐκ ἄναρχος,*
Cod. f. 168 b. *ἐπειδὴ οὐδὲ ἀναίτιος.* | *Ἀρχὴν γὰρ ἔχει τὸ κινοῦν, καὶ αἰτίαν ἔχει τὸ καλοῦν τε καὶ* [1] *ἕλκον πρὸς ὃ καὶ κινεῖται τέλος. Εἰ δὲ πάσης κινήσεως παντὸς κινουμένου τὸ κινοῦν ἐστιν ἀρχὴ, καὶ τέλος ἡ πρὸς ἣν φέρεται τὸ κινούμενον αἰτία (οὐδὲν γὰρ ἀναιτίως κινεῖται), οὐδὲν δὲ τῶν ὄντων ἀκίνητον, εἰ μὴ τὸ πρώτως κινοῦν (τὸ γὰρ πρώτως κινοῦν πάντως ἀκίνητον, ὅτι καὶ ἄναρχον), οὐδὲν ἄρα τῶν ὄντων ἐστὶν ἄναρχον, ὅτι μὴ καὶ ἀκίνητον. Πάντα γὰρ κινεῖται τὰ ὁπωσοῦν ὄντα, δίχα τῆς μόνης καὶ ἀκινήτου καὶ ὑπὲρ πάντα αἰτίας, τὰ μὲν νοερά τε καὶ λογικὰ, γνωστικῶς τε καὶ ἐπιστημονικῶς, ὅτι μὴ αὐτογνῶσις ἢ αὐτοεπιστήμη* [2] *ἐστιν. Οὔτε γὰρ οὐσία αὐτῶν ἡ γνῶσις αὐτῶν ἐστι καὶ ἡ ἐπιστήμη, ἀλλ' ἕξεις τῇ αὐτῶν οὐσίᾳ ἐπιθεωρουμέναι, ἐκ τῆς κατὰ νοῦν καὶ λόγον (τὰς συστατικὰς αὐτῶν λέγω δυνάμεις) ὀρθῆς κρίσεως ἐπεγερόμεναι.*

---

1. ἕλκει cod. Gud. 2. ἐστὶν cod. Gud.

Digitized by Google

non aliter bene se habere quae sunt facta possint quam quomodo iam sunt, quippe quae neque additamento ullo aut subtractione quo meliore fruantur statu indigent, mundi artificem ex operibus eius didicerunt: partim vero perennitatem intuentes, et ordinem ac positionem rerum quae facta sunt, et institutum, quo omnia secundum suam quodque speciem stant inconfusa omnique conturbatione libera, stellarumque motum eodem semper modo procedentem, neque unquam nihil non differentem, et orbem anni secundum eorundem temporum ex eodem loco in eundem locum restitutionem pulchro ordine sese complentem, et noctium atque dierum per annum aequabilitatem, dum utraque augetur vicissim et minuitur nullo aut maiori aut minori modulo incrementi aut imminutionis eis obtinente, prospectorem esse rerum omnium intellexerunt, eundemque et deum et conditorem universitatis agnoverunt.

## Contemplatio naturalis de eo quod mundus initium habeat ac finem, et reliquum quodcunque deo posterius est.

Quis enim cum rerum a deo conditarum pulchritudinem et magnitudinem intuetur, eum non statim auctorem generationis esse videbit, qua principium et causam rerum atque conditorem, ad eumque solum intellectu recurret, his omissis inferioribus, cumque intellectu penitus transire ac penetrare nequeat et tamen immediate comprehendere eum desideret quem per opera media agnoverit, etiam errorem suum quo mundum principio carere statuit lubenter abiciet, quodcunque moveatur iure recogitans, omnino moveri etiam coepisse. Nullus vero motus sine principio, siquidem nec sine causa. Principium etenim habet id quod movet, atque causam id quod evocat et ad finem quo movetur adtrahit. Iam si cuiuscunque quod movetur motionis omnis principium illud est quod movet, et finis causa ad quam fertur res mota (nihil enim sine causa movetur), nihil porro in rebus non movetur praeter unum illud quod primitus movet (nam quod primitus movet ideo caret motu quod etiam principio caret), nihil ergo in rebus sine principio est, propterea quod etiam sine motu. Moventur enim quaecunque utcunque sunt, excepta una eaque immobili et omnia superante causa, tam intellectualia quam rationalia, tam cognitione quam scientia, quia nec sui ipsius cognitio nec sui ipsius scientia extat. Etenim cognitio eorum et scientia non essentia est eorum, sed habitus qui in essentia eorum animadvertuntur, ex intellectuali et rationali (potestates dico quae ut consistant ipsae efficiunt) recto iudicio accedentes.

Digitized by Google

*Θεωρία περὶ συστολῆς καὶ διαστολῆς οὐσίας, ποιότητός τε καὶ ποσότητος, καθ' ἣν ἄναρχοι εἶναι οὐ δύνανται.*

*Ἀλλὰ καὶ αὐτὴ ἡ ἁπλῶς λεγομένη οὐσία οὐ μόνον ἡ τῶν ἐν γενέσει καὶ φθορᾷ κατὰ γένεσιν κινεῖται καὶ φθοράν, ἀλλὰ καὶ ἡ τῶν ὄντων ἁπάντων καὶ κεκίνηται καὶ κινεῖται τῷ κατὰ διαστολὴν καὶ συστολὴν λόγῳ τε καὶ τρόπῳ. Κινεῖται γὰρ ἀπὸ τοῦ γενικωτάτου γένους διὰ τῶν γενικωτέρων γενῶν εἰς τὰ εἴδη δι' ὧν καὶ εἰς ἃ διαιρεῖσθαι πέφυκε, προϊοῦσα μέχρι τῶν εἰδικωτάτων εἰδῶν οἷς περατοῦται ἡ κατ' αὐτὴν διαστολή, τὸ εἶναι αὐτῆς πρὸς τὰ κάτω περιγράφουσα, καὶ συνάγεται πάλιν ἀπὸ τῶν εἰδικωτάτων εἰδῶν διὰ τῶν*
Cod. f. 168 b. *γενικωτέρων ἀναποδίζουσα | μέχρι τοῦ γενικωτάτου γένους, ᾧ περατοῦται ἡ κατ' αὐτὴν συστολή, πρὸς ὃ ἄνω τὸ εἶναι αὐτῆς ὁρίζουσα, καὶ λοιπὸν διχόθεν περιγραφομένη, ἄνωθέν τε λέγω καὶ κάτωθεν, ἀρχὴν καὶ τέλος ἔχουσα δείκνυται, τὸν τῆς ἀπειρίας οὐδ' ὅλως ἐπιδέξασθαι δυναμένη λόγον. Ὡσαύτως δὲ καὶ ἡ ποσότης, οὐ μόνον ἡ τῶν ἐν γενέσει καὶ φθορᾷ παντὶ τρόπῳ ᾧ πέφυκε θεωρεῖσθαι κατ' αὔξησιν κινεῖται καὶ μείωσιν, ἀλλὰ καὶ ἡ πᾶσα καὶ πάντων τῷ κατ' ἄνεσιν καὶ ἐπίτασιν λόγῳ κινουμένη καὶ ταῖς κατὰ μέρος διαφοραῖς κατὰ διαστολὴν εἰδοποιουμένη περιγράφεται, τὸ [3] ἄπειρον χεῖσθαι οὐκ ἔχουσα, καὶ συνάγεται πάλιν ἀναποδίζουσα, τὸ κατ' αὐτὰς, ἀλλ' οὐ τὸ συμφυὲς εἶδος ἀπολύουσα. Ὁμοίως δὲ καὶ ἡ ποιότης, οὐ μόνον ἡ τῶν ἐν γενέσει καὶ φθορᾷ κινεῖται κατ' ἀλλοίωσιν, ἀλλὰ καὶ ἡ πᾶσα καὶ πάντων, τῷ τρεπτῷ τε καὶ σκεδαστῷ τῆς κατ' αὐτὴν διαφορᾶς κινουμένη, διαστολὴν καὶ συστολὴν ἐπιδέχεται. Οὐδεὶς δὲ τὸ πεφυκὸς σκεδάννυσθαί τε καὶ συνάγεσθαι λόγῳ ἢ ἐνεργείᾳ εἴποι ἂν εὐφρονῶν ἀκίνητον εἶναι παντάπασιν. Εἰ δὲ μὴ ἀκίνητον, οὐδὲ ἄναρχον, εἰ δὲ μὴ ἄναρχον, οὐδὲ ἀγένητον δηλονότι, ἀλλ' ὥςπερ οἶδεν ἠργμένον κινήσεως τὸ κινούμενον, οὕτως καὶ τῆς πρὸς τὸ εἶναι γενέσεως ἦρχθαι τὸ γεγενημένον ἐπίσταται, καὶ ἐκ τοῦ μόνου καὶ ἑνὸς ἀγενήτου τε καὶ ἀκινήτου τὸ εἶναί τε καὶ τὸ κινεῖσθαι λαβόν. Τὸ δὲ κατὰ τὴν τοῦ εἶναι γένεσιν ἠργμένον οὐδαμῶς ἄναρχον εἶναι δύναται.*

*Ἀπόδειξις τοῦ, Πᾶν ὁτιοῦν ἄνευ Θεοῦ πάντως ἐν τόπῳ, καὶ διὰ τοῦτο ἐξ ἀνάγκης καὶ ἐν χρόνῳ, καὶ ὅτι τὸ ἐν τόπῳ πάντως κατὰ χρόνον καὶ ἦρκται τοῦ εἶναι.*

Cod. f. 169 b. *Ἵνα δὲ ἐάσω λέγειν ὅτι καὶ αὐτὸ τὸ εἶναι τῶν ὄντων, τὸ πῶς εἶναι ἔχον, ἀλλ' οὐχ ἁπλῶς, ὅπερ ἐστὶ πρῶτον εἶδος*

3. ἐπ' ἄρον cod. Gud. Sed in marg. eadem manus correxit ἄπειρον.

Digitized by Google

## Contemplatio de contractione et dilatatione essentiae, qualitatis et quantitatis, secundum quam sine principio esse non possunt.

Verum et ipsa quae simpliciter dicitur essentia non modo eorum quae generationi sunt et interitui obnoxia secundum generationem movetur et interitum, sed etiam omnium quae sunt et mota est et movetur, contractionis, et dilatationis ratione ac modo. Movetur enim ab generalissimo genere per generaliora genera in species per quas et in quas dividitur, progrediens usque ad specialissimas species quibus terminatur dilatatio, naturam eius ad inferiora definiens: item contrahitur rursus a specialissimis speciebus per generaliores revocata usque ad generalissimum genus, quo contractio terminatur, naturam eius ad superius definiens: et deinceps utrinque circumscripta, de superiori inquam et de inferiori, sic principium atque finem habere demonstratur, infinitatis rationis haudquaquam capax. Pariter vero etiam quantitas non solum eorum quae generationi sunt atque interitui obiecta omni quo conspicitur modo secundum incrementum motatur et decrementum, sed etiam universa et universorum remissionis et intentionis ratione mota et vicissitudinis differentiis secundum dilatationem specificata circumscribitur, inque infinitum effundi nequit, sed contrahitur rursus revocata, dum illarum quidem species, at non innatam speciem dimittit. Pariter vero etiam qualitas, non solum eorum quae nascuntur et intereunt motantur secundum immutationem, sed etiam omnis et omnium, suae differentiae mutabilitate atque dissipabilitate mota, distractionem capit et contractionem. Nemo autem sana mente praeditus illud quod dissipari et contrahi ratione aut vi possit immobile esse omnino dixerit. Id vero si motu non caret, nec caret principio; si vero non principio, nec geniturae est, ut apparet, expers, sed uti id quod movetur moveri coepisse novit, ita etiam generari ut esset coepisse id quod factum est intellegit, atque de solo et uno non facto nec moto esse atque motari accepisse. Quod vero per existentiae originem coepit, id nequaquam potest principio carere.

## Demonstratur quod praeter deum quaelibet omnia plane in loco sint, et propterea necessario etiam in tempore, et quod id quod in loco sit, id omnino secundum tempus etiam esse inceperit.

Ut autem omittam ipsam quoque existentiam rerum, cum simul ut aliquo modo existatur comprehendat, at non simpliciter, quae quidem prima circumscriptionis species sit, valde

Digitized by Google

περιγραφῆς, ἰσχυρόν τε καὶ μέγα πρὸς ἀπόδειξιν τοῦ ἤρχθαι κατ᾽ οὐσίαν καὶ γένεσιν τὰ ὄντα, τίς ἀγνοεῖ ὅτι παντὸς τοῦ ὁπωσοῦν ὄντος, πλὴν τοῦ θείου καὶ μόνου, τοῦ καὶ ὑπὲρ αὐτὸ τὸ εἶναι κυρίως ὑπάρχοντος, προεπινοεῖται τὸ ποῦ, ᾧ πάντη τε καὶ πάντως ἐξ ἀνάγκης συνεπινοεῖται τὸ ποτέ. Οὐ γὰρ τοῦ ποτὲ διωρισμένον κατὰ στέρησιν δυνατόν ἐστιν ἐπινοῆσαι τὸ ποῦ (τῶν γὰρ ἅμα ταῦτά ἐστιν, ἐπειδὴ καὶ τῶν οὐκ ἄνευ τυγχάνουσιν) [1] ἢ δὲ τοῦ ποῦ τὸ ποτὲ, ᾧ συνεπινοεῖσθαι πέφυκεν, οὐδαμῶς διώρισται κατὰ στέρησιν. Ὑπὸ τὸ ποῦ δὲ πάντα, ὡς ἐν τόπῳ ὄντα, δείκνυται. Οὐ γὰρ ὑπὲρ τὸ πᾶν αὐτὸ τὸ πᾶν τοῦ παντὸς (τοῦτο γάρ πως καὶ ἄλογον καὶ ἀδύνατον αὐτὸ τὸ πᾶν ὑπὲρ τὸ ἑαυτοῦ πᾶν εἶναι θεσπίζειν), ἀλλ᾽ ὑφ᾽ ἑαυτοῦ ἐν ἑαυτῷ τὴν περιγραφὴν ἔχον, μετὰ τὴν πάντα περιγράφουσαν τοῦ παναιτίου ἄπειρον δύναμιν, αὐτὸ τὸ πέρας ἑαυτοῦ τὸ ἐξώτερον. Ὅπερ καὶ τόπος ἐστὶ τοῦ παντὸς, καθὼς καὶ ὁρίζονταί τινες τὸν τόπον λέγοντες, Τόπος ἐστὶν ἡ ἔξω τοῦ παντὸς περιφέρεια, ἢ ἡ ἔξω τοῦ παντὸς θέσις, ἢ τὸ πέρας τοῦ περιέχοντος ἐν ᾧ περιέχεται τὸ περιεχόμενον. Καὶ ὑπὸ τὸ ποτὲ, ὡς ἐν χρόνῳ πάντως ὄντα, συναποδειχθήσεται, ἐπειδὴ μὴ ἁπλῶς, ἀλλὰ πῶς τὸ εἶναι ἔχουσι, πάντα ὅσα μετὰ θεὸν τὸ εἶναι ἔχει. Καὶ διὰ τοῦτο οὐκ ἄναρχά. Πᾶν γὰρ ὅπερ καθ᾽ ὁτιοῦν τὸν τοῦ πῶς ἐπιδέχεται λόγον, κἂν εἰ ἔστιν, ἀλλ᾽ οὐκ ἦν. Ὅθεν τὸ θεῖον εἶναι λέγοντες οὐ τὸ πῶς εἶναι λέγομεν· | καὶ διὰ
Cod. f. 109 b. τοῦτο καὶ τὸ ἔστι καὶ τὸ ἦν ἁπλῶς καὶ ἀορίστως καὶ ἀπολελυμένως ἐπ᾽ αὐτοῦ λέγομεν, Ἀνεπίδεκτον γὰρ παντὸς λόγου καὶ νοήματος τὸ θεῖόν ἐστι, καθ᾽ ὃ οὔτε κατηγοροῦντες αὐτοῦ τὸ εἶναι λέγομεν αὐτὸ εἶναι. Ἐξ αὐτοῦ γὰρ τὸ εἶναι, ἀλλ᾽ οὐκ αὐτὸ τὸ εἶναι. Ὑπὲρ γάρ ἐστι καὶ αὐτοῦ τοῦ εἶναι, τοῦ τε πῶς καὶ ἁπλῶς λεγομένου τε καὶ νοουμένου. Εἰ δὲ πῶς, ἀλλ᾽ οὐχ ἁπλῶς, ἔχει τὰ ὄντα τὸ εἶναι, ὥςπερ ὑπὸ τὸ ποῦ εἶναι διὰ τὴν θέσιν καὶ τὸ πέρας τῶν ἐπ᾽ αὐτοῖς κατὰ φύσιν λόγων, καὶ ὑπὸ τὸ ποτὲ πάντως εἶναι διὰ τὴν ἀρχὴν ἐπιδέξεται.

## Ἀπόδειξις τοῦ μὴ δύνασθαι ἄπειρον εἶναι, καὶ διὰ τοῦτο οὔτε ἄναρχον πᾶν, εἴ τι κατὰ τὴν ἐν πλήθει ποσότητα ἔχει τὸ εἶναι.

Καὶ πάλιν εἰ ἡ πάντων οὐσία πολλῶν ὄντων τῶν πάντων ἄπειρος εἶναι οὐ δύναται (πέρας γὰρ ἔχει αὐτῶν τῶν πολλῶν ὄντων τὴν ἐν πλήθει ποσότητα, περιγράφουσαν αὐτῆς τόν τε τοῦ εἶναι καὶ τοῦ πῶς εἶναι λόγον, οὐ γὰρ ἄφε-

1. ἢ δὲ restitui pro εἰ δὲ quod in apographo extat.

Digitized by Google

atque egregie probare illud, quod res secundum essentiam et generationem inceperint, quis ignorat qualibet re quoquomodo existente, praeter illud quod divinum et singulare est ipsamque existentiam proprie superat, prius intellegi ubi existatur, cum quo una ac simul ut etiam quando existatur intellegamus necessitas postulat. Non enim ab ‚aliquando esse' privative separatum ‚esse alicubi' cogitari capit (nam haec simul sunt, quandoquidem nec dislungi patiuntur); nec rursus ab ‚esse alicubi', nequaquam privative separatum est ‚aliquando esse', quocum illud una cogitatur. Sub loci notione autem omnia, cum in loco sint, apparent. Non enim universum superat universum ipsum universi (hoc enim et ineptum et impossibile, ipsum universum superare sui ipsius universum pronuntiare), sed a se ipso in se ipso habet circumscriptionem, post eam quae universa circumscribit infinitam eius qui universorum causa et fons est potestatem, ipsum sui exteriorem finem. Quod locus etiam universi est; quemadmodum definiunt quidam locum, dicentes, Locus est exterior universum circumcurrens orbis, vel exterior universi positio, vel terminus circumplectentis in quo res comprehensa comprehenditur. Etiam sub temporis notione, quia in tempore omnino sunt, una demonstrabuntur; quandoquidem non simpliciter, sed aliquo modo esse habent, quaecunque post deum sunt, existentiam suam habent. Propterea autem nec sine principio sunt. Quodcunque enim secundum quidpiam modi capit rationem, etiam si est, tamen non erat. Unde deum esse dicentes non aliquam existentiam dicimus; et propterea illud ‚Est' quoque et ‚Erat' simpliciter et indefinite et absolute de eo dicimus. Nullam enim nec rationem nec intellectum capit divinum; quare nec praedicantes ipsius existentiam dicimus ipsam esse existentiam. Ipse enim existentiae origo est, sed non ipsa existentia. Superior est enim vel ipsa existentia, quae aliquomodo et simpliciter se habere et dicitur et intellegitur. Si vero aliquomodo, sed non simpliciter, res habent esse, sicut sub loci notione esse propter positionem et terminum naturalium in eis rationum, ita etiam sub temporis necessario esse propter principium capiet.

## Demonstratur nihil posse infinitum esse, et propterea nec sine initio, si quid secundum numeri quantitatem habet existentiam.

Atque rursus, si universorum essentia, cum multa sint universa, infinita esse non potest (terminus enim ipsorum multorum quae existunt numeri quantitatem tenet, quae illius tam existendi quam aliquomodo existendi rationem; neque enim absoluta est universorum essentia), nec singulorum, ut

Digitized by Google

τος ἢ τῶν πάντων οὐσία), οὐδὲ ἡ τοῦ καθ' ἕκαστον δῆλον ὑπόστασις ἔσται δίχα περιγραφῆς, ἀλλήλαις τῷ ἀριθμῷ καὶ τῇ οὐσίᾳ κατὰ λόγον περιγραμμέναι. Εἰ δὲ περιγραφῆς οὐδὲν τῶν ὄντων ἐλεύθερον, πάντα τὰ ὄντα δηλονότι ἀναλόγως ἑαυτοῖς καὶ τὸ ποτὲ εἶναι καὶ τὸ ποῦ εἶναι εἴληφε. Τούτων γὰρ ἄνευ τὸ παράπαν οὐδὲν εἶναι δυνήσεται, οὐκ οὐσία, οὐ ποσότης, οὐ ποιότης, οὐ σχέσις, οὐ ποίησις, οὐ πάθος, οὐ κίνησις, οὐχ ἕξις, οὐχ ἕτερόν τι τῶν οἷς τὸ πᾶν περικλείουσιν οἱ περὶ ταῦτα δεινοί. Οὐδὲν οὖν
Cod. f. 170 a. τῶν ὄντων ἄναρχον, ᾧ τι ἕτερον προεπινοεῖσθαι, | οὐδὲ ἀπερίγραφον ᾧ τι ἕτερον συνεπινοεῖσθαι δύναται. Εἰ δὲ τῶν ὄντων οὐδὲν ἄναρχον ἢ ἀπερίγραφον, ὡς ἔδειξε ἀκολούθως τῇ φύσει τῶν ὄντων ἑπόμενος ὁ λόγος, ἦν πάντως ποτὲ ὅτε τι τῶν ὄντων οὐκ ἦν, εἰ δὲ οὐκ ἦν, πάντως γέγονεν εἴπερ οὐκ ἦν. Οὐ γὰρ ἄμφω ἐνδέχεται καὶ εἶναι καὶ γίνεσθαι χωρὶς τροπῆς καὶ ἀλλοιώσεως. Εἰ γὰρ ἦν καὶ γέγονεν, ἐτράπη, εἰς ὅπερ οὐκ ἦν μεταχωρῆσαν κατὰ τὴν γένεσιν, ἢ ἠλλοιώθη, προσθήκην οὐ ἐστέρητο κάλλους ἐπιδεξάμενον. Πᾶν δὲ τρεπόμενον, ἢ ἀλλοιούμενον, ἢ ἐλλιπὲς εἴδους, [1] αὐτοτελὲς εἶναι οὐ δύναται. Τὸ δὲ μὴ ὂν αὐτοτελὲς, ἑτέρου πάντως προσδεηθήσεται, τοῦ παρέχοντος αὐτῷ τὴν τελειότητα, καὶ ἔστι τέλειον μὲν τὸ τοιοῦτον, ἀλλ' οὐκ αὐτοτελὲς, διὰ τὸ μὴ φύσει, μεθέξει δὲ τὸ τέλειον ἔχειν. Τὸ δὲ ἑτέρου προσδεόμενον πρὸς τελείωσιν καὶ πρὸς αὐτὸ τὸ εἶναι πολλῷ μᾶλλον προσδεηθήσεται. Εἰ γὰρ εἴδους κρείττων, ὥς φασιν, ἡ οὐσία καθέστηκε, ταύτην δὲ ἑαυτῷ παρασχεῖν ἢ ἁπλῶς ἔχειν δεδύνηται ἐκεῖνο τὸ ὄν, ὅπερ αὐτοὶ φάναι βούλονται, πῶς πρὸς τὸ ἔχειν ἁπλῶς ἢ παρασχεῖν ἑαυτῷ τὸ ἧττον, φημὶ δὲ τὸ εἶδος, οὐκ ἐπήρκεσε; Εἰ δὲ πρὸς τὸ παρασχεῖν ἑαυτῷ τὸ ἧττον, ἢ ἁπλῶς ἔχειν ἐκεῖνο τὸ ὄν, ὅπερ εἴ τε οὐσίαν, εἴ τε ὕλην καλεῖν βούλονται οἱ τὸ ἄναρχον τοῖς μετὰ θεὸν καὶ ἐκ θεοῦ προσάπτειν τολμῶντες (οὐ γὰρ περὶ τούτου διαφερόμεθα) οὐκ ἐπήρκεσε, πῶς τὸ κρεῖττον, αὐτὸ τὸ εἶναι φημὶ, ἢ ἁπλῶς ἢ παρ' ἑαυτοῦ ἔχειν δεδύνηται, τὸ πρὸς τὸ ἔχειν τὸ ἧττον ἀδυνατῆσαν; Εἰ δὲ παρ' ἑαυτῆς ἢ ἁπλῶς ἔχειν τὸ ἧττον οὐδαμῶς ἡ ὕλη |
Cod. f. 170 b. δεδύνηται, πολλῷ μᾶλλον αὐτὸ τὸ εἶναι ἁπλῶς, ἢ πῶς παρ' ἑαυτῆς ἔχειν οὐ δυνηθήσεται. Ἆρ' οὖν ἡ πρὸς τὸ ἔχειν, ὡς δέδεικται, τὸ ἧττον, λέγω δὲ τὸ εἶδος, ἀτονήσασα οὐδὲ τὸ κρεῖττον, αὐτὸ τὸ εἶναί φημι, κἂν ὁπωσοῦν ἔχειν δυνηθείη ποτέ. Εἰ δὲ τοῦτο, πάντως ἐκ θεοῦ τὸ εἶναι τοῖς οὖσι καὶ τὸ εἶδος δεδώρηται, ἐπείπερ εἰσίν· εἰ δὲ ἐκ θεοῦ πᾶσα οὐσία, καὶ ὕλη καὶ εἶδος ἅπαν ἐστὶν, οὐδεὶς ἂν μὴ πάντη σώφρονος λογισμοῦ ἐστερημένος εἰπεῖν ἀνάσχοιτο ἄναρ-

1. *ἀνελλιπὲς* cod. Gud. Quod in marg. ab eadem manu emendatum est in *αὐτοτελὲς*.

Digitized by Google

patet, substantia sine circumscriptione erit, numero et essentia mutuo secundum rationem circumscripta. Si autem circumscriptione eorum quae sunt quicquam non vacat, universa nimirum quae sunt sibi ipsis convenienter et ‚aliquando esse' et ‚alicubi esse' ceperunt. His enim vacare nihil omnino poterit, non essentia, non quantitas, non qualitas, non relatio, non actio, non passio, non motio, non habitus, nec aliud ullum quo universum circumcludunt qui his rebus sunt eruditi. Itaque eorum quae sunt quo quid aliud prius cogitari potest, id principio non caret, uti nec circumscriptione quocum quid aliud simul cogitari potest. Iam si rerum quae sunt nihil principio caret nec circumscriptione, ut demonstravit consequenter naturam rerum sequens ratio, fieri non potest quin aliquando rerum quidquam non fuerit, et si non fuit, fieri non potest quin factum sit, siquidem non fuit. Utrumque enim, tam esse quam fieri, non capit sine conversione et immutatione. Namque si fuit et factum est, conversum est, postquam in id quod non fuit per ortum transiit, aut immutatum est, postquam additamentum eius qua privata erat pulchritudine recepit. Quicquid autem convertitur aut immutatur, aut forma mancum est, id absolutum per se consummatumque esse nequit. Quod autem non per se absolutum est, id altero omnino indigebit quod sibi absolutionem praestet, atque est absolutum quidem tale, sed non per se absolutum, quoniam non natura, sed communicatione absolutum habet. Quod autem altero indiget ad sese consummandum, id etiam multo magis indigebit ad hoc ipsum ut sit. Nam si formâ, ut aiunt, essentia praestat, eamque sibi ipsi praestare vel simpliciter habere potest illud ens, quod ipsi dicere volunt, quomodo ad habendum simpliciter vel praestandum sibi peius, formam dico, non sufficiebat? Si autem ad praestandum sibi peius, vel simpliciter habendum, illud ens, quod vel essentiam vel materiam vocare placet eis qui quod initio caret rebus quae post deum et ex deo sunt annectere conantur, (neque enim de hoc litigamus), haud sufficiebat, quomodo melius, ipsam existentiam dico, vel simpliciter vel a se ipso habere potuit, quod ad peius habendum non valuit? Si autem a se ipsa vel simpliciter materia peius habere nequaquam potuit, multo magis ipsam existentiam simpliciter, vel aliquo modo a se habere non poterit. Ergo quae ad habendum, ut demonstratum est, peius, formam inquam, haud valuit, ea nec ad melius, ipsam existentiam inquam, habendam nulla ex parte valuerit. Si vero ita est, ex deo omnino rebus datum est ut sint et formam habeant, cum sint: si vero ex deo omnis essentia, et materia, et forma omnis est, nemo, profecto, si sana mente non est privatus, materiam infactam aut principio carentem dicere



Digitized by Google

χον ἢ ἀγένητον τὴν ὕλην, θεὸν εἰδὼς τῶν ὄντων ποιητὴν καὶ δημιουργόν.

Ἀπόδειξις ὅτι πᾶν κινούμενον, ἢ ἄλλῳ διαφόρῳ κατὰ τὴν οὐσίαν ἐξ ἀϊδίου συνθεωρούμενον, ἄπειρον εἶναι οὐ δύναται, καὶ ὅτι ἡ δυὰς οὔτε ἀρχή ἐστιν, οὔτε ἄναρχος, καὶ ὅτι ἡ μονὰς μόνη κυρίως ἀρχὴ καὶ ἄναρχος.

Καὶ πάλιν, εἰ ἦν, ὡς τινές φασιν, ἡ ὕλη, οὐ γέγονε δηλονότι, εἰ δὲ μὴ γέγονεν, οὐδὲ κινεῖται, εἰ δὲ μὴ κινεῖται, οὔτε τοῦ εἶναι ἤρξατο, εἰ δὲ τοῦ εἶναι μὴ ἤρξατο, πάντως ἄναρχον, εἰ δὲ ἄναρχον, καὶ ἄπειρον, εἰ δὲ ἄπειρον, πάντως καὶ ἀκίνητον (ἀκίνητον γὰρ πάντως τὸ ἄπειρον, οὐ γὰρ ἔχει ποῦ κινηθῆναι τὸ μὴ ὁριζόμενον), εἰ δὲ τοῦτο, δύο πάντως τὰ ἄπειρα καὶ ἄναρχα καὶ ἀκίνητα, θεὸς καὶ ὕλη, ὅπερ εἶναι ἀμήχανον. Δυὰς γὰρ οὔτε ἄπειρος, οὔτε ἄναρχος, οὔτε ἀκίνητος, οὔτε μὴν ἀρχὴ καθόλου τινὸς εἶναι δυνήσεται, καθ' ἕνωσίν τε καὶ διαίρεσιν περιγραφομένη, καθ' ἕνωσιν μὲν ὡς ὕπαρξιν ἔχουσα τῶν μονάδων τὴν σύνθεσιν, ὑφ' ὧν ὡς μερῶν περιέχεται καὶ εἰς ἃς ὡς μέρη τέμνεσθαι
Cod. f. 171 a. δύναται (οὐδὲν δὲ διαίρετον ἢ | διαιρούμενον, ἢ σύνθετον ἢ συντιθέμενον, κατὰ φύσιν ἢ θέσιν ἢ ἄλλον τινὰ ἐπινοηθῆναι δυνάμενον τρόπον, ἀλλ' οὐδὲ αὐτὴ ἡ ἁπλῶς λεγομένη διαίρεσις ἢ σύνθεσις, ἄπειρον εἶναι δυνήσεται, ὅτι μὴ καὶ ἁπλοῦν καὶ μόνον, καὶ μὴ ἀριθμητὸν ἢ ἀριθμούμενον ἢ συναριθμούμενον, ἢ πάσης ἁπλῶς ἐλεύθερον τῆς οἱασδήποτε σχέσεως· πάντα γὰρ ταῦτα ἐν σχέσει θεωρεῖται, τὸ δὲ ἄπειρον ἄσχετον, οὐ γὰρ ἔχει τι κατὰ σχέσιν συνημμένον παντάπασι), κατὰ διαίρεσιν δὲ ὡς ἀριθμῷ κινουμένη, ἐξ οὗπερ ἤρξατό τε καὶ ὑφ' οὗ περιέχεται, ἐπείπερ οὐ φύσει τὸ εἶναι καὶ ἄσχετον ἔχει. Ἀριθμῷ γὰρ πᾶσα δυὰς καὶ πᾶσα μονὰς εἰς μέρος αὐτῆς συντελοῦσα εἶναι καθέστηκε, καθ' ὃν ἀλλήλων αἱ κατ' αὐτὴν μονάδες, ἀφαιροῦνται τὸ ἀπερίγραφον. Οὐδεὶς δὲ μεμοιραμένος καὶ ὁπωσοῦν τοῦ λογίζεσθαι εἴποι ἂν ἄπειρον εἶναι ᾧ ἐξ ἀϊδίου συνθεωρεῖταί τι ἢ συνεπινοεῖται κατ' οὐσίαν διάφορον, εἰδὼς διαπεσεῖσθαι πάντως αὐτῷ τὸν περὶ τοῦ ἀπείρου λόγον οὕτω φρονοῦντι. Τὸ γὰρ ἄπειρον κατὰ πάντα καὶ λόγον καὶ τρόπον ἐστὶν ἄπειρον, κατ' οὐσίαν, κατὰ δύναμιν, κατ' ἐνέργειαν, κατ' ἄμφω τὰ πέρατα, τὸ ἄνω τε λέγω καὶ τὸ κάτω, τουτέστι κατὰ τὴν ἀρχὴν καὶ τὸ τέλος. Ἀχώρητον γὰρ κατὰ τὴν οὐσίαν, καὶ ἀπεριόνητον κατὰ τὴν δύναμιν, καὶ κατὰ τὴν ἐνέργειαν ἀπερίγραφον, καὶ ἄναρχον ἄνωθεν, καὶ ἀτελεύτητον κάτωθέν ἐστι τὸ ἄπειρον, καὶ ἁπλῶς εἰπεῖν ἀληθέστερον, κατὰ πάντα ἀόριστον, ὡς οὐδενὸς τὸ παράπαν καθ' ἕνα τῶν ἀπηριθμη-
Cod. f. 171 b. μένων τρόπων | συνεπινοηθῆναι αὐτῷ δυναμένου. Καθ' ὃν

sustinebit, cum deum meminerit rerum naturae factorem et artificem.

## Demonstratur quod quicquid moveatur vel cum altero secundum essentiam differente ex aeterno simul cernatur, infinitum esse non posse, et quod dyas neque initium sit, neque sine initio, et quod monas sola proprie sit initium et sine initio.

Atque rursus, si erat, ut quidam dicunt, materia, non facta est igitur, si vero non facta est, nec motatur, si vero non motatur, esse nullo modo incepit, si vero esse non incepit, principio caret omnino, si vero caret principio, caret etiam fine, si fine caret, immobilis omnino est (immobile enim omne infinitum est; neque enim habet ubi moveatur quod non limitatum est), si vero hoc, duo omnino infinita et principio et motu carentia extant, deus atque materia, id quod fieri non potest. Binarius enim numerus neque infinitus est, neque sine initio, neque sine motu, neque principium omnino ullius rei esse poterit, quae secundum unitionem et disiunctionem circumscriptus sit, secundum unitionem quidem ut exstantiam habens monadum compositionem, a quibus tanquam partibus continetur et in quas veluti partes secari potest (nihil autem quod disiunctum esse aut disiungi, sive compositum esse aut componi, secundum naturam, vel positionem, vel alium ullum modum cogitari queat, quinimmo ne ipsa quidem quae simpliciter dicitur disiunctio vel compositio, infinitum esse poterit, quia neque simplex et solum, neque numerabile aut numeratum connumeratumve, aut omni simpliciter qualicunque habitu liberum est; haec enim omnia in habitu conspiciuntur, infinitum autem est sine relatione, cum nihil relative sibi coniunctum omnino habeat): secundum disiunctionem autem, ut numero motata, ex quo incepit et a quo continetur, quandoquidem non natura et praeter relationem existentiam habet. Numero enim omnis binitas et omnis unitas, in partem eius contribuens, constat, quo numero eius unitates de incircumscriptione invicem singulae eximuntur. Nullus autem vel quomodocunque ratiocinandi peritus infinitum esse dixerit quocum ex aeterno quid unâ vel additum conspiciatur essentia diversum, cum meminerit ei qui ita senserit infinitatis rationem prorsus eversum iri. Namque infinitum secundum omnem tam rationem quam modum infinitum est, secundum essentiam, secundum potestatem, secundum actionem, secundum utrumque terminum, superiorem inquam et inferiorem, hoc est secundum initium et finem. Imperceptibile enim secundum essentiam, et cogitatione incomprehensibile secundum potestatem, et secundum actionem incircumscriptum, et sine principio supra,



Digitized by Google

γὰρ ἂν εἴποιμεν λόγον ἢ τρόπον δύνασθαί τι ἕτερον αὐτῷ κατ᾽ οὐσίαν διάφορον παραβάλλεσθαι, τὸν ὅλον τῆς ὅλης ἀπειρίας αὐτῷ συναφαιρούμεθα λόγον. Εἰ δὲ ἄπειρόν τι εἶναι οὐ δύναται ᾧ ἐξ ἀϊδίου συνυπάρχει ἕτερόν τι κατ᾽ οὐσίαν διάφορον, ἄπειρον εἶναι οὐδαμῶς ἐνδέχεται δυάδα. Αἱ γὰρ κατ᾽ αὐτὴν μονάδες ἀλλήλαις κατὰ παράθεσιν συνυπάρχουσαι ἀλλήλας ὁρίζουσιν, οὐδετέρας τὴν ἑτέραν ἀορίστως ὁρᾶσθαι συγχωρούσης, παρακειμένην, ἀλλ᾽ οὐχ ὑπερβαίνουσαν ἐχούσης, καὶ τὸν τῆς ἀπειρίας εἰκότως ἀλλήλων συναφαιροῦνται λόγον. Εἰ δὲ ἄπειρον, ὡς δέδεικται, μὴ ἐνδέχεται εἶναι δυάδα, οὔτε ἄναρχον δηλονότι, ἀρχὴ γὰρ πάσης δυάδος μονάς· εἰ δὲ μὴ ἄναρχον, οὐδὲ ἀκίνητον, κινεῖται γὰρ τῷ ἀριθμῷ ἐκ μονάδων καθ᾽ ἕνωσιν, καὶ εἰς αὐτὰς κατὰ διαίρεσιν τὸ εἶναι λαμβάνουσα· εἰ δὲ μὴ ἀκίνητον, οὐδὲ ἄλλου τινὸς ἀρχὴν εἶναι. Τὸ γὰρ κινούμενον οὐκ ἀρχή, ἀλλ᾽ ἐξ ἀρχῆς, δηλαδὴ τοῦ κινοῦντος. Μονὰς δὲ μόνη κυρίως ἀκίνητος, ὅτι μήτε ἀριθμός ἐστι· μήτε ἀριθμητὸν ἢ ἀριθμούμενον (οὔτε γὰρ μέρος ἢ ὅλον ἢ σχέσις ἐστὶν ἡ μονὰς), καὶ κυρίως [2] ἄναρχος, ὅτι μηδέτερον ἑαυτῆς ἔχει πρεσβύτερον, ἐξ οὗ κινουμένη δέχεται τὸ εἶναι μονὰς, καὶ ἄπειρον κυρίως, ὅτι μηδὲν ἔχει συνύπαρχον ἢ συναριθμούμενον, καὶ ἀρχὴ κυρίως, ὅτι παντὸς καὶ ἀριθμοῦ καὶ ἀριθμουμένου καὶ ἀριθμητοῦ, αἰτία τυγχάνει, ὡς πάσης σχέσεως καὶ παντὸς μέρους καὶ ὅλου ἐξηρημένη, καὶ κυρίως καὶ ἀληθῶς,|
Cod. f. 172 a. [3] πρώτως τε καὶ μόνως καὶ ἁπλῶς, ἀλλ᾽ οὔπως, πρώτη τε μονὰς ὑπάρχουσα καὶ μόνη. Καὶ τοῦτο λέγοντες οὐκ αὐτὴν ὡς ἔστι σημαίνομεν τὴν μακαρίαν θεότητα, ἀπείρως κατὰ πάντα καὶ λόγον καὶ τρόπον καὶ νῷ καὶ λόγῳ παντὶ καὶ ὀνόματι ἀπρόσιτον οὖσαν παντελῶς καὶ ἀπροσπέλαστον, ἀλλ᾽ ἑαυτοῖς ὅρον τῆς εἰς αὐτὴν πίστεως παρέχομεν βάσιμον καὶ ἡμῖν ἐφικτόν τε καὶ πρόσφορον. Οὐ γὰρ ὡς παραστατικὸν πάντως τοῦτο, φημὶ δὲ τὸ τῆς μονάδος ὄνομα, τῆς θείας καὶ μακαρίας οὐσίας ὁ θεῖος διαγορεύει λόγος, ἀλλ᾽ ὡς ἐνδεικτικὸν τῆς παντελοῦς αὐτῆς ἁπλότητος τῆς ἐπέκεινα πάσης ποσότητός τε καὶ ποιότητος, καὶ τῆς οἱασδήποτε σχέσεως, ἵνα γνῶμεν ὅτι μὴ ὅλον τί ἐστιν ὡς ἐκ μερῶν τινων, μηδέ τι μέρος ἐστὶν ἐξ ὅλου τινός. Ὑπεράνω γὰρ πάσης διαιρέσεώς τε καὶ συνθέσεως καὶ μέρους καὶ ὅλου ἡ θεότης, ὅτι ἄποσον, καὶ πάσης τῆς κατὰ θέσιν ὑπάρξεως καὶ τῆς πῶς εἶναι αὐτὴν ὁριζομένης ἐννοίας ἀπηχισμένη, ὅτι ἄποιον, καὶ τῆς πρὸς ἄλλο πᾶν πάσης συναφείας τε καὶ οἰκειότητος ἐλευθέρα καὶ ἄφετος, ἄσχετον γὰρ, τὸ πρὸ αὐτῆς ἢ μετ᾽ αὐτῆς

2. ἄναρχον cod. Gud. m. pr. 3. Inde ab hoc folio usque ad fol. 228. in cod. Gud. extant scholia, ab eadem, uti videtur, manu in margine adscripta. Doleo me eo quo libri copiam habebam tempore oculorum valetudine prohibitum fuisse quominus ea quoque, minutissimo charactere exarata, mihi transcriberem.

Digitized by Google

et sine fine infra est infinitum illud, et ut simpliciter verius dicam, ex omnibus partibus interminatum, cum nihil omnino secundum unum eorum quos recensui modorum una cum eo cogitari possit. Quacunque enim ratione vel modo alterum quid essentia sua diversum ei applicari posse statuerimus, tota totius infinitatis ratione ipsum privabimus. Quod si infinitum aliquid esse non potest cum quo ex aeterno alterum quid simul extet essentia diversum, binitatem esse infinitam haudquaquam capit. Cuius monades invicem sibi appositae cum simul extent, invicem sese determinant, et altera alteram interminate videri prohibet, appositam quidem sibi, sed non superantem habens, adeoque videlicet infinitatis sese invicem ratione spoliant. Iam si, ut demonstravi, infinitam esse binitatem haud capit, nec initio carere capit, cum initium omnis binitatis sit monas; si vero initio non caret, nec motione caret, cum numero moveatur ex monadibus per adunationem, et in eas secundum disiunctionem existentiam transducat; si vero non motione caret, nec alterius alicuius initium esse potest. Quod enim movetur initium non est, sed ex initio, videlicet eius quod movet. Monas autem sola immobilis est proprie, quia neque numerus est, neque numerabilis neque numerata (neque enim pars aut totum aut relatio est monas), et proprie initio carens, quia alterum se antiquius non habet, unde monas esse accipiat, et infinita proprie, nihil habens quod secum simul extet vel simul censeatur, et initium proprie, quia omnis tam numeri quam numerabilis et numerati causa est, ut quae omni relatione et omni parte et toto privata est, et proprie ac vere, primarie atque solum et simpliciter, sed nullo modo affecta, prima et sola extat et monas. Quod dicentes non eam ut est significamus beatam deitatem, infinite secundum omnem et rationem et modum tam menti quam rationi omni et vocabulo plane difficilem atque inaccessibilem, sed nobismet ipsis limitem fidei in eam stabilem, nobisque aptum atque idoneum praestamus. Neque enim ut repraesentativum hoc, monadis inquam nomen, divinae et beatae essentiae divinus commemorat sermo, sed ad monstrandam perfectam eius simplicitatem, quae omnem quantitatem et qualitatem et relationem excedit, ut neque totum aliquid velut ex partibus aliquibus neque partem aliquam ex toto aliquo esse eam animadvertamus. Est enim deitas superior omni disiunctione et coniunctione et parte et toto, utpote quae extra quantitatem omnem est, et procul ab omni positiva extantia et intellectu eam aliquo modo esse definiente, utpote quae sine qualitate est, et omni ad quodvis alterum adnexu libera atque soluta, est enim sine relatione, quae ante se quicquam, aut cum se aut post se non habeat, ut omnium superior, neque cum ullo eorum quae sunt ulla

Digitized by Google

ἢ μετ' αὐτὴν οὐκ ἔχουσα, ὡς [4]πάντων ἐπέκεινα, καὶ μηδενὶ
Dionys. Areopag. de divinis Nom. cap. 13, tom. I, p. 533. Opp. ed. Ven.
τῶν ὄντων κατ' οὐδένα λόγον ἢ τρόπον συντεταγμένη. Καὶ τοῦτο τυχὸν ἐννοήσας ὁ μέγας καὶ θεῖος Διονύσιός φησι, Διὸ καὶ μονὰς ὑμνουμένη καὶ τριὰς, ἡ ὑπὲρ πάντα θεότης, οὐκ ἔστιν οὔτε μονὰς, οὔτε τριὰς, ἢ πρὸς ἡμῶν ἢ ἄλλου τινὸς διεγνωσμένη, ἀλλ' ἵνα καὶ τὸ [5]ὑπερηνωμένον αὐτῆς καὶ
Cod. f. 172 b.
τὸ θεογόνον ἀληθῶς ὑμνήσωμεν, | τῇ τριαδικῇ καὶ ἑνιαίᾳ θεωνυμίᾳ τὴν ὑπερώνυμον ὠνομάσαμεν, καὶ τοῖς οὖσι τὴν ὑπερούσιον. Οὐδαμῶς οὖν τις δυάδα ἢ πλῆθος ἄναρχον, ἢ ἀρχὴν τὸ σύνολόν τινος εἶναι λέγειν δυνήσεται, ζῆν εὐσεβῶς δι' ἀληθείας βεβουλημένος. Εἰς γὰρ διὰ πάσης τῆς κατὰ λόγον καὶ νοῦν θεωρητικῆς δυνάμεως καὶ ἐπιστήμης αὐτῷ θεὸς ἀναφανήσεται, πάσης ἀπειρίας ὑπάρχων ἐπέκεινα, καὶ μηδενὶ καθόλου τῶν ὄντων καθ' ὁτιοῦν, πλὴν τοῦ διὰ πίστεως μόνον γινώσκεσθαι, καὶ τοῦτο ἐκ τῶν αὐτοῦ ποιημάτων ὅτι ἔστιν, οὐχ ὅτι ποτὲ ἔστι διεγνωσμένος, καὶ παντὸς αἰῶνος καὶ χρόνου καὶ πάντων τῶν ἐν αἰῶνι καὶ χρόνῳ ποιητὴς τε καὶ δημιουργὸς, οὐδὲν τὸ παράπαν ἐξ ἀϊδίου καθ' ὁνοῦν τινα τρόπον αὐτῷ συνεπινοῶν, εἰδὼς ὅτι μηδέτερον τῶν ἅμα κατὰ τὴν ὕπαρξιν ἀλλήλοις ἐξ ἀϊδίου συνόντων εἶναι δύναται τοῦ ἑτέρου ποιητικόν. Ἀσυλλόγιστον γὰρ τοῦτο παντάπασι καὶ ἀνένδεκτον, καὶ τοῖς νοῦν ἔχουσι καταγέλαστον ἐπὶ τῶν ἐχόντων ἅμα τὸ εἶναι ποιεῖσθαι ἄλλο ἄλλου ποιητικόν. Ἀλλ' ἐκ θεοῦ τοῦ ἀεὶ ὄντος τὰ πάντα ἐκ τοῦ μὴ ὄντος γενέσθαι παντελῶς τε καὶ ὁλικῶς, ἀλλ' οὐ μερικῶς τε καὶ ἀτελῶς, ὡς ἐξ αἰτίας ἀπειρογνώστου καὶ ἀπειροδυνάμου σοφῶς παρηγμένα, δέξηται, καὶ ἐν αὐτῷ [6]συνεστηκέναι τὰ πάντα, ὡς ἐν παντοκρατορικῷ
Cf. Dionys. Areopag. de Divin. Nom. cap. 4., p. 397 tom. I. ed. Venet
πυθμένι φρουρούμενά τε καὶ διακρατούμενα, καὶ εἰς αὐτὸν τὰ πάντα ἐπιστρέφεσθαι, καθάπερ εἰς οἰκεῖον ἕκαστα πέρας, ὡς πού φησιν ὁ μέγας Ἀρεοπαγίτης Διονύσιος.

Cod. f. 173 a. | *Θεωρία ἀποδεικτικὴ τοῦ εἶναι κατὰ φύσιν ἐπὶ πάντων τὴν τοῦ θεοῦ πρόνοιαν.*

Καὶ προνοητὴν αὐτὸν εἶναι πεισθήσεται τῶν ὄντων, δι' ὧν ὅτι καὶ θεός ἐστιν ἐδιδάχθη, δίκαιον εἶναι κρίνων καὶ εὔλογον, μὴ ἄλλον εἶναι φύλακα καὶ ἐπιμελητὴν τῶν ὄντων ἢ μόνον τὸν τῶν ὄντων δημιουργόν. Αὐτὴ γὰρ ἡ τῶν ὄντων διάμονὴ καὶ ἡ τάξις καὶ ἡ θέσις καὶ ἡ κίνησις, καὶ ἡ ἐν ἀλλήλοις τῶν ἄκρων διὰ τῶν μέσων συνοχὴ, μηδὲν κατὰ τὴν ἐναντιότητα λυμαινομένων ἀλλήλοις, ἥ τε τῶν μερῶν πρὸς τὰ ὅλα σύννευσις, καὶ τῶν ὅλων πρὸς τὰ μέρη δι' ὅλου ἕνωσις, καὶ αὐτῶν πρὸς ἄλληλα τῶν μερῶν ἡ ἄμικτος διάκρισις κατὰ τὴν ἰδιάζουσαν ἑκάστου διαφορὰν, καὶ ἀσύγχυτος ἕνωσις κατὰ τὴν ἀπαράλλακτον ἐν ὅλοις ταυτότητα, καὶ ἡ

4. *πάντως* habet apographum. 5. *ὑπερηνομένον* cod. Gud.

Digitized by Google

ratione aut modo composita. Quod animadvertens fortasse magnus et divinus Dionysius, ‚Quocirca, inquit, monas quoque celebrata et trias, divinitas omnia superans, non monas est, neque trias, sive a nobis sive ab alio quopiam agnita, sed ut quod in ipsa est supra quam in unum copulatum et dei fecundum vere praedicemus, trinum et unum deum nominamus illum qui supra omne nomen est, et rebus vel vocabulis utimur in designando eo qui omni essentia est superior.‘ Nemo igitur, qui religiose per veritatem vivendi studiosus dyadem aut numerum principio carentem aut principium omnino cuiuspiam esse dicere conabitur. Unus enim per universam tam rationalem quam intellectualem contemplativam potestatem et scientiam illi deus apparebit, omnis infinitatis ulterior, nec cuiquam omnino eorum quae sunt ex ulla parte, praeter solam per fidem cognitionem, et hoc ex operibus eius, quod est, non quod aliquando est, perceptus atque agnitus, et omnis aevi ac temporis et omnium quae in aevo sunt ac tempore factor atque artifex, nihil prorsus quocunque est modo ei alterum de aeterno adfingens cogitatione, memor quod neutrum eorum quae existentialiter de aeterno simul sunt neutrum efficere possit. Neque enim cogitari omnino id potest, neque fieri, eisque qui mente utuntur ridiculum est, rerum duarum quae simul existunt alteram alterius facere creatricem. Sed ex deo aeterno universitatem ex nihilo factam esse in totum ac plene, at non particulatim et inperfecte, ut ex causa infinitae et cognitionis et potestatis sapienter deductam, approbationem habet, inque eo universa constare ut in omnipotente radice custodita atque conservata, et in eundem universa redire, velut in proprium suum quodque terminum, uti alicubi dicit magnus Dionysius Areopagita.

## Contemplatio qua demonstratur dei providentiam secundum naturam suam omnia prosequi.

Etiam provisorem rerum naturae esse persuadebitur ei, per quas et deum esse didicit, iustum ac rationi consentaneum esse iudicans non alium esse rerum custodem atque curatorem quam ipsum rerum conditorem. Ipsa enim rerum perennitas et ordo et positio et motio et mutua per medias partes connexio extremitatum, nihil sese invicem quamquam contrariae sunt infestantium, et partium in totum conspiratio, et totorum aequabilis ac plena per partes cōagmentatio, et ipsarum partium inter se constans discretio, secundum suam uniuscuiusque differentiam, et mixtione expers coadunatio, secundum immutatam in totis identitatem, et universorum ad

6. *συνεσταλέναι* cod. Gud.

Digitized by Google

πάντων πρὸς πάντα, ἵνα μὴ τὰ καθ' ἕκαστον λέγω, σύγκρισίς τε καὶ διάκρισις, καὶ ἡ πάντων καὶ ἑκάστου κατ' εἶδος διαφοχὴ ἀεὶ φυλαττομένη, μηδενὸς τὸ παράπαν τοῦ οἰκείου τῆς φύσεως λόγου παραφθειρομένου καὶ πρὸς ἄλλο συγχεομένου τε καὶ συγχέοντος, δείκνυσι σαφῶς τὰ πάντα τῇ προνοίᾳ συνέχεσθαι τοῦ πεποιηκότος θεοῦ. Οὐ γὰρ οἷόν τέ ἐστιν ἀγαθὸν ὄντα τὸν θεὸν μὴ καὶ εὐεργετικὸν πάντως εἶναι, μηδὲ εὐεργετικὸν ὄντα μὴ καὶ προνοητικὸν πάντως εἶναι, καὶ διὰ τοῦτο τῶν ὄντων θεοπρεπῶς ἐπιμελούμενον [1] σοφῶς αὐτοῖς ὥςπερ τὸ εἶναι καὶ τὴν κηδεμονίαν χαρίζεσθαι. Πρόνοια γάρ ἐστι κατὰ τοὺς θεοφόρους πατέρας ἡ ἐκ θεοῦ εἰς τὰ ὄντα γινομένη ἐπιμέλεια. Ὁρίζονται δὲ αὐτὴν καὶ οὕτως,
Cod. f. 173 b. Πρόνοιά ἐστι βούλησις θεοῦ δι' ἣν πάντα τὰ ὄντα τὴν | πρόσφορον διεξαγωγὴν λαμβάνει. Εἰ δὲ θεοῦ βούλησίς ἐστιν, ἵνα αὐτοῖς τῶν διδασκάλων χρήσωμαι τοῖς λόγοις, πᾶσα ἀνάγκη κατὰ τὸν ὀρθὸν λόγον γίνεσθαι τὰ γινόμενα, τὴν κρείττω μὴ ἐπιδεχόμενα τάξιν, αὐτὸν οὖν εἶναι προνοητὴν ἐκ παντὸς τρόπου εἰπεῖν ἐναχθήσεται ὁ τὴν ἀλήθειαν ὁδηγὸν ἔχειν ἑλόμενος, ὃν καὶ ποιητὴν ἔγνω τῶν ὄντων ἀληθῶς, ἢ τοῦ πεποιηκότος τὰ ὄντα θεοῦ, εἴπερ κἀν τοῖς ζώοις, ὅταν ταῖς κατὰ λόγον ἐφόδοις τοῖς οὖσιν ἐμβαλόντες ἡμῶν τὸ νοερὸν εὑρίσκομεν ἔμφασιν, οὐκ ἀγενῶς τὰ ὑπὲρ λόγον εἰκάζουσαν. Ἐκεῖνά τε γὰρ ὁρῶντες κατὰ γένος τῶν ἐξ αὐτῶν φυσικῶς ἐπιμελούμενα, θαῤῥοῦντες καὶ ἡμεῖς τὸν περὶ τοῦ προνοητὴν μονώτατον εἶναι τὸν θεὸν πάντων τῶν ὄντων μετ' εὐσεβοῦς παῤῥησίας εὐσεβῶς ἑαυτοῖς λόγον διοριζόμεθα, καὶ οὐ τῶν μὲν, τῶν δὲ οὔ, καθάπερ τινὲς τῶν τὰ ἔξω φιλοσοφησάντων, ἀλλὰ πάντων ὁμοῦ, κατὰ μίαν τῆς ἀγαθότητος καὶ ἀπαράλλακτον βούλησιν, τῶν τε καθόλου καὶ τῶν καθ' ἕκαστον, εἰδότες ὡς τῶν κατὰ μέρος πάντων τῷ μὴ προνοίας τυγχάνειν καὶ φυλακῆς τῆς πρεπούσης διαφθειρομένων καὶ τὰ καθόλου συνδιαφθαρήσεται (ἐκ γὰρ τῶν κατὰ μέρος τὰ καθόλου συνίστασθαι πέφυκε), τὴν περὶ τούτου λογικὴν ἀπόδειξιν, διὰ τῆς εὐλόγου ἀντιστροφῆς πρὸς τὴν ἀλήθειαν ὀρθῶς ποδηγοῦσαν, ἑαυτοῖς προβαλλόμενοι. Εἰ γὰρ τὰ καθόλου ἐν τοῖς κατὰ μέρος ὑφέστηκεν, οὐδαμῶς τὸ παράπαν
Cod. f. 174 a. τὸν τοῦ καθ' αὑτὰ εἶναί τε καὶ ὑφεστάναι λόγον | ἐπιδεχόμενα τῶν κατὰ μέρος διαφθειρομένων, παντί που δῆλόν ἐστιν ὡς οὐδὲ τὰ καθόλου στήσεται. Τὰ μέρη γὰρ ἐν ταῖς ὁλότησι, καὶ αἱ ὁλότητες ἐν τοῖς μέρεσι καὶ εἰσὶ καὶ ὑφεστήκασι. Καὶ οὐδεὶς ἀντερεῖ λόγος· πλὴν ὅτι ὑπὸ τῆς ἀληθείας ὥςπερ δεσμούμενοι ἄκοντες καὶ αὐτοὶ τῆς προνοίας τὴν δύναμιν ἐξαγγέλλουσι καὶ διὰ πάντων διήκειν κατασκευάζουσι δι' ὧν αὐτοῖς κατεσπούδασαν. Λέγοντες γὰρ ὑπὸ τῆς προνοίας ἄγεσθαι μόνα τὰ καθόλου, λελήθασιν ἑαυτοὺς καὶ τῶν κατὰ μέρος εἶναι πρόνοιαν λέγοντες, ἐξ ἀνάγκης πρὸς τὴν ἀλήθειαν, ἣν φεύγειν σπουδάζουσιν, ὑπαγόμενοι. Εἰ γὰρ χάριν διαμο-

Digitized by Google

universa, ne singula recenseam, concretio atque discretio, universorumque et singuli cuiusque secundum speciem inviolata successio, qua nihil omnino de propria ac peculiari naturae ratione perit, aut cum altero confunditur sive ipsum confundit, haec luculenter manifestant omnia providentia contineri conditoris dei. Fieri enim non potest, quin deus, qui bonus est, non etiam beneficus sit, aut qui beneficus est, non item providens sit omnino, et quin propterea rerum, ut par eius naturae est, tutor sapienter eis quemadmodum existentiam, ita etiam curam tribuat. Providentia enim secundum patres divino spiritu afflatos divina rerum procuratio est. Definiunt vero eam etiam ita: Providentia dei voluntas est qua omnes res convenienter peraguntur. Quod si dei est voluntas, ut ipsis doctorum verbis utar, necesse est omnino ut ea quae fiunt recta ratione fiant, adeo ut meliorem ordinem non expectent, ut ipsum igitur provisorem dicere omni modo invitetur qui veritate viae duce uti volet, quem et conditorem rerum, aut cuius esse conditoris dei res recte cognovit; quandoquidem vel in animalibus, cum rationalium instrumentorum mentis ope in res inquirentes inveniamus imaginem haud indigne ea quae supra rationem sunt aemulantem. Illa enim dum pro genere suae prolis naturaliter curam habere videmus, securi et nos quod unus deus rebus omnibus praestet providentiam cum pia libertate pie nobis ipsis rationem definimus, idque non parti solum, ceteris non item, quomodo quidam de ethnicis philosophis statuunt, sed secundum unicam bonitatis et immutabilem voluntatem, cunctis aequaliter in universum et singulatim, bene gnari quod, si non parem singula quaeque providentiam atque idoneam custodiam habuerint, necessario unâ etiam cuncta peritura sint (nam ex singulis universitas constat), et rationalem huius rei demonstrationem, quae per idoneam inversionem ad veritatem rite deducit, sibi proponentes. Nam si universa in singulis constant, neque ullo modo per se ipsa esse atque constare, postquam singula interierint, cogitari admittunt, nemo, puto, non videbit nec ipsa posse universa stare. Partes enim in totitate, et totitates in partibus tam sunt quam subsistunt. Neque ulla ratio obloquetur; nisi quod a veritate tanquam constricti inviti vel ipsi providentiae vim praedicant per omnia currere atque adstruunt per ea quibus sibi satagunt. Dicentes enim a providentia solummodo universa duci, providentiae in commemoratione se ipsos esse particulas obliviscuntur, necessitate ad veritatem, quam devitare student, deducti. Nam si perennitatis gratia universa censent providentiam mereri, eam multo citius mereri singula statuunt,

1. σοφοῖς cod. Gud.

Digitized by Google

νῆς τὰ καθόλου προνοίας ἀξιοῦσθαί φασι, ταύτης πολλῷ πρότερον ἀξιοῦσθαι τὰ κατὰ μέρος εἰςάγουσιν, ἐν οἷς ἡ τῶν καθόλου διαμονὴ καὶ ὑπόστασις. Συνεισάγεται γὰρ ἀλλήλοις ταῦτα διὰ τὴν κατὰ φύσιν ἀδιάλυτον πρὸς ἄλληλα σχέσιν, καὶ θατέρου πρὸς διαμονὴν συντηρουμένου, μηδὲ τὸ ἕτερον ταύτης εἶναι τῆς φυλακῆς ἀλλότριον, καὶ ἑνὸς πάλιν τῆς πρὸς διαμονὴν φυλακῆς διαπίπτοντος μηδὲ τὸ ἄλλο ταύτης τυγχάνειν λέγειν ἀκόλουθον. Ἄλλως τε δὲ κατὰ τρεῖς τρόπους τὸ μὴ πάντων τῶν ὄντων προνοεῖν τὸν θεὸν λέγεται. Ἢ γὰρ ἀγνοεῖν αὐτὸν λέγουσι τῆς προνοίας τὴν μέθοδον, ἢ μὴ βούλεσθαι, ἢ μὴ δύνασθαι. Ἀλλὰ μὴν κατὰ τὰς κοινὰς πάντων ἐννοίας ἀγαθὸς ὢν καὶ ὑπεράγαθος ὁ θεὸς ἀεὶ πάντως τὰ καλὰ βούλεται καὶ πᾶσι, καὶ σοφὸς ὑπάρχων καὶ ὑπέρσοφος, μᾶλλον δὲ πάσης σοφίας πηγὴ, γινώσκει πάντως τὰ συμφέ-
Cod. f. 174 b. ροντα, | καὶ δυνατὸς ὤν, μᾶλλον δὲ ἀπειροδύναμος, ἐνεργεῖ πάντως θεοπρεπῶς ἐν πᾶσι τὰ ἐγνωσμένα αὐτῷ καὶ βεβουλημένα [2]καλῶς καὶ συμφέροντα, ὡς ἀγαθὸς καὶ σοφὸς καὶ δυνατὸς, διϊκνούμενος διὰ πάντων τῶν τε ὁρατῶν καὶ τῶν ἀοράτων, καὶ τῶν καθόλου καὶ τῶν μερικῶν, καὶ τῶν μικρῶν καὶ τῶν μεγάλων, καὶ πάντων τῶν κατὰ πᾶσαν τὴν οἱανοῦν οὐσίαν τὸ εἶναι ἐχόντων, μηδὲν ὑφιεὶς τῆς κατὰ τὴν ἀγαθότητα καὶ τὴν σοφίαν καὶ τὴν δύναμιν ἀπειρίας, καὶ πάντα κατὰ τὸν ἑκάστων τοῦ εἶναι λόγον πρός τε ἑαυτὰ καὶ ἄλληλα κατὰ τὴν ἀδιάλυτον πάντων σχετικὴν ἁρμονίαν τε καὶ διαμονὴν συντηρῶν. Τί δὲ, αὐτὴν καθ' ἑαυτὴν οὐ κατανοοῦμεν τὴν φύσιν περὶ τοῦ εἶναι τὴν ἐπὶ πάντα τοῦ θεοῦ πρόνοιαν σαφῶς οὖσαν διδάσκαλον; Τεκμήριον γὰρ οὐ μικρὸν τοῦ φυσικῶς ἡμῖν ἐνεσπάρθαι τὴν τῆς προνοίας γνῶσιν ἡ φύσις αὐτὴ δίδωσιν, ὁπηνίκα ἂν ἡμᾶς ἀδιδάκτως ὥσπερ ὠθοῦσα πρὸς τὸν θεὸν διὰ τῶν εὐχῶν ἐν ταῖς ἐξαίφνης περιστάσεσιν ἐκεῖθεν ζητεῖν τὴν σωτηρίαν [3]παρασκευάζει. Ὑπ' ἀνάγκης γὰρ ἄφνω συλληφθέντες ἀπροαιρέτως, πρίν τινα καὶ σκέψασθαι, τὸν θεὸν ἐπιβοώμεθα, ὡς ἂν τῆς προνοίας αὐτῆς πρὸς ἑαυτὴν καὶ λογισμῶν χωρὶς ἑλκούσης ἡμᾶς, καὶ τὸ τάχος τῆς ἐν ἡμῖν νοερᾶς νικώσης δυνάμεως, καὶ πάντων ἰσχυροτέραν τὴν θείαν προδεικνυούσης βοήθειαν. Οὐκ ἂν δὲ ἡμᾶς ἦγεν ἀπροαιρέτως ἡ φύσις ἐπὶ τὸ μὴ φύσιν ἔχον γίνεσθαι. Πᾶν δὲ τὸ ὁτιοῦν φυσικῶς ἐπόμενον, ὡς πᾶσιν ἄδηλον, ἰσχυρὰν ἔχει καὶ ἀκαταμάχητον κατὰ τὴν ἀπόδειξιν τῆς
Cod. f. 175 a. ἀληθείας | τὴν δύναμιν. Εἰ δὲ ὅτι ἀκατάληπτος ἡμῖν τῆς τῶν κατὰ μέρος προνοίας ὁ λόγος, ὥσπερ οὖν καὶ ἐστὶ κατὰ
Rom. 11, 33. τὸ, Ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ, διὰ τοῦτο φαῖεν μηδὲ πρόνοιαν εἶναι, οὐκ ὀρθῶς ἐροῦσι κατὰ τὸν ἐμὸν λόγον. Εἰ γὰρ πολλή τις ἐστὶν ἡ διαφορὰ καὶ ἀκατάληπτος τῶν ἀνθρώπων ἑκάστου πρὸς ἕκαστον

2. καλὰ cod. Gud. m. pr.

Digitized by Google

in quibus stat universorum perennitas et substantia. Etenim simul afficiuntur perennitate, propter naturalem et indissolubilem inter sese relationem, ita ut altero in perennitatem conservato, nec alterum ab hac custodia aliena esse, et rursus cum alterum hac perennitatis custodia exciderit, nec alterum ea affici dicere par sit. Tribus vero potissimum modis deum omnibus providere negant. Aut enim ignorare eum providentiae viam ac rationem dicunt, aut nolle, aut non posse. Sed profecto, secundum communes omnium notiones bonus et plus quam bonus deus bona et semper et omnibus omnino voluntate sua destinat, et sapiens et plusquam sapiens, vel potius omnis sapientiae fons, novit omnino quae conducunt, et potens, vel potius infinitae potentiae, condigne deo et convenienter in omnibus placita et consilia sua conducibilia pulchre exsequitur, ut bonus et sapiens et potens, transiens per cuncta et visibilia et invisibilia, et universa et singula, et parva et magna, et cuncta quae secundum quampiam cuiuslibet generis existentiam habent, nihil de bonitatis, sapientiae, potentiae suae infinitate remittens, et omnia secundum singulorum existentiae rationem sibi ipsis et invicem in indissolubili cunctorum eodem et nexu et compagine et perennitate conservans. Quid autem, nonne ipsam per se naturam de divina, quae omnia curet, providentiae existentia, luculenter instruere videmus? Quod enim naturaliter nobis providentiae cognitio insita sit, ipsa natura haud exiguum praebet documentum, quando nos nulla praevia institutione veluti propulsans ad deum per preces in subitis casibus illinc salutem quaerere instruit. Quotiescunque enim subito necessitate aliqua comprehendimur, involuntarie, sine ulla praevia consideratione, deum invocare solemus, tanquam si ipsa providentia nos ad se, nullis consiliis intercedentibus, attrahat, et mentalis vis nostrae velocitatem antevertat, divinumque omnibus ceteris praesentius auxilium ostendat. Neque vero involuntarie natura nos ad illud quod naturae expers est deduceret. Nimirum quodcunque alterum quodpiam naturaliter sequitur, ut omnibus obscurum, validam habet invictamque demonstrandae veritatis vim. Si vero quia imperceptibilis nobis ea quae singula curet providentiae est ratio, ut etiam est secundum illud, ‚Quam recondita eius iudicia, et quam investigabilia eius viae', ideo providentiam negarint esse, meo quidem iudicio haud recte ita statuunt. Nam si magna est et inperceptibilis inter singulos homines discrepantia, et cuiusque ipsius commutatio et vicissitudo, dum in vitae genere et moribus et voluntatibus et consiliis et cupiditatibus, in litteris, negotiis, studiis, et in ipsis mentis cogitationibus paene infi-

3. *παρασκευάζουσα* habet apographum.

Digitized by Google

καὶ ἡ πρὸς ἑαυτὸν ἑκάστου ἐναλλαγὴ, ἔν τε βίοις καὶ ἤθεσι καὶ γνώμαις καὶ προαιρέσεσι καὶ ἐπιθυμίαις, ἐπιστήμαις τε καὶ χρείαις καὶ ἐπιτηδεύμασι καὶ αὐτοῖς τοῖς κατὰ ψυχὴν λογισμοῖς ἀπείροις οὖσι σχεδὸν, καὶ πᾶσι τοῖς καθ' ἑκάστην ἡμέραν καὶ ὥραν ἐπισυμβαίνουσι συμμεταβαλλομένου (ἀγχίστροφον γὰρ τοῦτο τὸ ζῶον ὁ ἄνθρωπος, ὀξέως τοῖς καιροῖς καὶ ταῖς χρείαις συμμεταβαλλόμενον), ἀνάγκη πᾶσα καὶ τὴν πρόνοιαν, προγνωστικῶς πάντα συνειληφυῖαν κατὰ περιγραφὴν τὰ καθ' ἕκαστα, διάφορόν τε καὶ ποικίλην φαίνεσθαι καὶ πολυσχιδῆ, καὶ τῇ τῶν πεπληθυσμένων ἀκαταληψίᾳ συνεκτεινομένην ἑκάστῳ προσφόρως καθ' ἕκαστον· καὶ πρᾶγμα καὶ νόημα, μέχρι καὶ τῶν ψιλῶν κινημάτων τῶν κατὰ ψυχὴν καὶ σῶμα συνισταμένων, ἁρμόζεσθαι. Εἰ οὖν τῶν κατὰ μέρος ἀκατάληπτός ἐστιν ἡ διαφορὰ, καὶ τῆς ἁρμοζούσης αὐτοῖς εἰκότως προνοίας ἄπειρος ὁ λόγος, ἀλλ' οὐκ, ἐπειδὴ ἄπειρός τε καὶ ἄγνωστος ἡμῖν τῆς τῶν κατὰ μέρος προνοίας ὁ λόγος τυγχάνει, τὴν ἰδίαν ἄγνοιαν ἀναίρεσιν ποιεῖσθαι τῆς πανσόφου τῶν ὄντων κηδεμονίας ὀφείλομεν, πάντα δὲ ἁπλῶς καὶ ἀνεξετάστως, θεοπρεπῶς τε καὶ συμφερόντως, τὰ τῆς
Cod. f. 175 b. προνοίας | ἐφυμνεῖν ἔργα καὶ ἀποδέχεσθαι, καὶ καλῶς γίνεσθαι τὰ γινόμενα πιστεύειν, κἂν ἡμῖν ὁ λόγος ἐστὶν ἀνέφικτος. Πάντα δὲ λέγων τὰ τῆς προνοίας φημὶ, οὐ γὰρ τὰ κακῶς ὑφ' ἡμῶν κατὰ τὸν τοῦ ἐφ' ἡμῖν λόγον γινόμενα· ταῦτα γὰρ τοῦ κατὰ τὴν πρόνοιαν λόγου παντελῶς ἀλλότρια. Τὸν μὲν οὖν σημαινόμενον τρόπον περὶ τῆς τῶν ἁγίων κατὰ τὸν λόγον καὶ τὴν θεωρίαν δυνάμεώς τε καὶ χάριτος ὑπὸ τοῦ μεγάλου τούτου διδασκάλου κατὰ τὸ δυνατὸν στοχαστικῶς, ἀλλ' οὐκ ἀποφαντικῶς (πολλῷ γὰρ ἀπολείπεται τῷ μέτρῳ τῆς κατ' αὐτὸν ἀληθείας ὁ ἡμέτερος νοῦς), διὰ τῶν εἰρημένων ὑποδραμὼν τῷ λόγῳ, καὶ ὥσπερ ἰχνηλατήσας, τοιόνδε καθ' ὑπόνοιαν μόνον φημί.

Cf. Greg. Naz. Orat. III. de Pace cap. 8, p. 430. tom. I. Opp. ed. Ben.

*Θεωρία διάφορος τῆς διαβαθείσης ὑπὸ τῶν ἁγίων ὑλικῆς δυάδος, καὶ τίς ἡ ἐν τῇ τριάδι νοουμένη ἑνότης.*

Διὰ δὲ τοῦ ὑπὲρ τὴν ὑλικὴν δυάδα γενέσθαι, διὰ τὴν ἐν τῇ τριάδι νοουμένην ἑνότητα, τὸ ὑπὲρ τὴν ὕλην γενέσθαι καὶ τὸ εἶδος, ἐξ ὧν τὰ σώματα, τοὺς ἁγίους λέγειν ὑπονοῶ αὐτὸν, ἢ τὴν σάρκα καὶ τὴν ὕλην, ἅπερ διωσχόντας ἔφη θεῷ συγγενέσθαι καὶ τῷ ἀκραιφνεστάτῳ κραθῆναι φωτὶ καταξιωθῆναι, τουτέστι τὴν πρὸς τὴν σάρκα τῆς ψυχῆς σχέσιν, καὶ διὰ τῆς σαρκὸς πρὸς τὴν ὕλην, ἢ καθόλου εἰπεῖν, πάσης τῆς αἰσθητικῆς οὐσίας πρὸς τὴν αἰσθητὴν ἀποθεμένους φυσικὴν οἰκειότητα, τῆς δὲ θείας μόνης γνησίως ἐπιλαβομένους ἐφέσεως, διὰ τὴν, ὡς ἔφην, νοουμένην ἐν τῇ τριάδι ἑνότητα. Μέσην γὰρ κειμένην θεοῦ καὶ ὕλης τὴν ψυχὴν ἐγνωκότες, καὶ τὰς πρὸς ἄμφω ἑνοποιοὺς δυνάμεις ἔχουσαν, τὸν νοῦν

Digitized by Google

nitis, omnibusque eis quae quotidie et singulis paene horis alia et alia accidunt unâ commutatur (versatile enim hoc animal, cui homo nomen est, animal, cito temporibus atque necessitatibus commutatum), necesse est omnino providentiam quoque, praescie cuncta per singula ambitu suo complectentem, diversam et variam et multiplicem videri, atque, cum una cum rebus adeo multiplicatis ut numero comprehendi nequeant extendatur, secundum factum quodque et cogitatum, vel usque in tenues quae menti aut corpori oboriantur motus unicuique convenienter accommodari. Quod si singulorum differentia notionem excedit, et infinita est ratio providentiae illis se convenienter accommodantis, minime tamen, cum infinita et inperceptibilis nobis sit providentiae singulas partes procurantis ratio, inde propria ignorantia sapientissimam rerum naturae procurationem tollere debemus, sed omnia simpliciter et sine examine, deo convenienter et utiliter, providentiae laudare opera et accepta referre, et quae fiunt bene fieri confidere, etiam si rationem eorum non possumus assequi. Cuncta vero si dico, providentiae res dico, videlicet non ea quae a nobis secundum nostrae voluntatis et indolis rationem prave fiunt; haec enim a providentiae ratione plane absona. Modum igitur rationalis et contemplativae sanctorum potestatis et gratiae ab magno hoc magistro significatum postquam coniectura, non certa interpretatione, (multum enim abest ut mens nostra illius veritatem aequiparet) per hanc disputationem verbo assequi eiusque quasi vestigia indagare conatus sum, talem esse duntaxat suspicor.

## Contemplatio diversa superatae a sanctis materialis dyadis, et quaenam in trinitate intellegatur unitas.

Quod autem materialem dyadem superent sancti, propter unitatem in trinitate intellectam, significari ab eo suspicor materiam atque formam, unde sunt corpora, superatas aut carnem et materiam, quibus disruptis cum deo congressi purissima luce temperari atque perfundi mereri, hoc est animae ad carnem, et per carnem ad materiae relationem, vel ut in universum loquar, omni sensuali essentia cum sensibili exuti naturalem necessitatem, divinum duntaxat recte appetitum secuti, propter unitatem quae, ut dixi, in trinitate intellegitur. Cum enim mediam inter deum et materiam collocatam animam esse intellexerint, et habere in utrumque uniendi sese conflandique potestates,[4] intellectum inquam in deum et in materiam sensum, sensum quidem una cum sen-

4. Hic vocabulum, quod cum τοῦ iungatur, excidisse suspicor.

Digitized by Google

λέγω πρὸς τὸν θεὸν καὶ πρὸς τὴν ὕλην τὴν αἴσθησιν, τὴν μὲν
Cod. f. 176 a. αἴσθησιν μετὰ τῶν αἰσθητῶν παντελῶς | ἀπετινάξαντο, κατὰ
τὴν ἐν διαθέσει σχετικὴν ἐνέργειαν, κατὰ δὲ τὸν νοῦν μονώ-
τατον ἀῤῥήτως αὐτὴν τῷ θεῷ προσῳκείωσαν, πρὸς ὃν ὅλον
ἀγνώστως ἐνωθεῖσαν ὅλην ὡς ἀρχετύπου εἰκόνα κατὰ νοῦν
καὶ λόγον καὶ πνεῦμα, ὡς ἐφικτὸν καθ' ὁμοίωσιν ἔχουσαν
τὸ ἐμφερὲς θεασάμενοι, τὴν ἐν τῇ τριάδι νοουμένην ἑνότητα
μυστικῶς ἐδιδάχθησαν. Τυχὸν δὲ καὶ τὸν θυμὸν καὶ τὴν
ἐπιθυμίαν ὑλικὴν δυάδα προσηγόρευσεν ὁ διδάσκαλος, διὰ τὸ
προςύλους καὶ τοῦ παθητικοῦ τῆς ψυχῆς μέρους αὐτὰς εἶναι
δυνάμεις, καὶ πρὸς τὸν λόγον στασιαζούσας, καὶ εἰς πολλὰ
σκεδάσαι τὸν νοῦν δυναμένας, εἰ μὴ ἐξ ἀρχῆς ἐπιστημόνως
ἄγχων ἑαυτῷ ὑποζεύξειεν. Ὧν εἴ τις κρατήσεις καὶ ᾧ᾽ ἃ δεῖ
πρεπόντως φέρεσθαι πείσειε, δουλικῶς ὑπεζευγμένας τῇ δυνα-
στείᾳ τοῦ λόγου, ἢ καὶ παντελῶς αὐτὰς ἀπολιπὼν ἀπολίποι,
καὶ μόνος τῆς ἀῤῥεποῦς κατ' ἀγάπην γνωστικῆς διὰ λόγον καὶ
θεωρίας ἔχεται θέλξεως, καὶ πρὸς μίαν καὶ μόνην ἐκ τῶν
πολλῶν καθαράν τε καὶ ἁπλῆν καὶ ἀδιαίρετον τῆς κατ' ἔφεσιν
ἀῤῥενωτάτης δυνάμεως κίνησιν συνεστάλη, καθ' ἣν περὶ θεὸν
ἀκαταλήκτως ἐν ταυτότητι τῆς κατ' ἔφεσιν ἀεικινησίας ἑαυτῷ
φιλοσόφως ἐπήξατο τὴν μονιμότητα, μακάριος ὄντως ἐστὶ τῆς
ἀληθοῦς τε καὶ μακαρίας τυχὼν, οὐ μόνον ἑνώσεως τῆς πρὸς
τὴν ἁγίαν τριάδα, ἀλλὰ καὶ ἑνότητος τῆς ἐν τῇ ἁγίᾳ τριάδι
νοουμένης, ὡς ἁπλοῦς καὶ ἀδιαίρετος καὶ μονοειδὴς κατὰ τὴν
δύναμιν πρὸς τὴν ἁπλῆν καὶ ἀδιαίρετον κατὰ τὴν οὐσίαν
γεγενημένος, καὶ κατὰ τὴν ἕξιν τῶν ἀρετῶν τὴν ὡςαύτως
ἔχουσαν ἀγαθότητα κατὰ τὸ ἐφικτὸν ἐκμιμούμενος, καὶ τὴν
ἰδιότητα τῶν κατὰ φύσιν μεριστῶν δυνάμεων διὰ τὴν νοῦ
ἑνωθέντος [5] θεοῦ χάριν ἀποθέμενος.

## Ἐξήγησις περὶ τοῦ παθητικοῦ τῆς ψυχῆς, καὶ τῶν αὐ-τοῦ καθολικῶν διαιρέσεων τε καὶ ὑποδιαιρέσεων.

Διαιρεῖται γὰρ, ὥς φασι, τὸ παθητικὸν τῆς ψυχῆς εἰς
Cod. f. 176 b. τε τὸ ἐπιπειθὲς | λόγῳ, καὶ τὸ μὴ πειθόμενον λόγῳ. Καὶ
τὸ μὲν λόγῳ μὴ πειθόμενον διαιροῦσιν εἰς τὸ θρεπτικὸν,
ὃ καλοῦσι φυσικὸν, καὶ εἰς τὸ φυσικὸν, ὃ καλοῦσι ζωτικὸν,
ὧν [1] οὐδέτερον λόγῳ πειθόμενον ἄγεται· οὐκ ἐπιπειθὲς δὲ
λόγῳ καλεῖται, ἐπειδὴ μὴ πέφυκεν ἄγεσθαι λόγῳ. Τὸ γὰρ
αὐξάνειν, ἢ ὑγιαίνειν, ἢ ζῆν, οὐκ ἔστιν ἐν ἡμῖν. Τὸ δὲ
ἐπιπειθὲς λόγῳ διαιρεῖται εἰς δύο, τότε ἐπιθυμητικὸν καὶ
τὸ θυμικόν. Ἐπιπειθὲς δὲ λόγῳ καλοῦσιν αὐτὸ, διότι
λόγῳ πέφυκεν ἐν τοῖς σπουδαίοις ἄγεσθαί τε καὶ ὑποτάσ-
σεσθαι. Πάλιν δὲ τὸ ἐπιθυμητικὸν διαιροῦσιν εἰς ἡδονὴν
καὶ λύπην. Ἐπιτυγχάνουσα γὰρ ἐπιθυμία ἡδονὴν ἐργά-

5. χριστοῦ cod. Gud. m. pr.
1. οὐ δεύτερον cod. Gud.

Digitized by Google

sibilibus plane abiecerunt, per relativam in affectione operationem, et per solum intellectum ineffabili modo eam ad deum accommodaverunt, quocum totam, tanquam formae primigeniae imaginem tam mente quam ratione ac spiritu, incomprehensibili modo unitam, ut quae similitudinem humano captui parem haberet, videntes, unitatem in trinitate intellectam mystice didicerunt. Fortasse vero etiam animum et concupiscentiam materialem dyadem appellavit magister, propterea, quod materiae adhaereant sintque passivae animae partis potestates, quae cum ratione seditiose contendant mentemque in multa distrahere possint, nisi ab initio sibi coercuerit eas atque subiugaverit. Quas si quis devicerit et currere quo debent eis persuaserit, adeo ut rationis imperio subiectae appareant, aut etiam omnino reliquerit eas, et solus teneatur rationali et contemplativa quae in neutram partem vergat secundum caritatem gnostice illecebra, ad unam et solam ex multis eamque puram et simplicem et indivisam vis de appetitu fortissimae motionem contractus, qua circa deum perpetuo in identitate perennis appetitus motionis sibi stabilitatem philosophice firmavit, is revera beatus est, et attigit non veram solum et beatam unitionem cum sancta trinitate, sed unitatem quoque in sancta trinitate intellectae, simplex videlicet et indivisus et uniformis secundum potestatem cum simplici secundum essentiam et indivisa illa congressus, et secundum habitum virtutum bonitatem sibi semper constantem pro viribus suis aemulatus, proprietate potestatum naturaliter divisibilium per gratiam uniti dei deposita.

## Enarratur de passibili animae, deque universalibus eius divisionibus et subdivisionibus.

Dividitur enim, ut dicunt, animae passibile in eam partem quae rationi oboedit et in eam quae non oboedit rationi. Atque eam qui non oboedit rationi dividunt in eam qui alit et nutrit, quam physicam appellant, et in physicam, quam appellant vitalem, quarum neutra rationi oboediens agitur, non oboediens vero rationi ideo appellatur quia non ratione agitur. Crescere enim, vel bona valetudine uti, vel vivere, non penes nos est. Illa autem quae rationi oboedit in duo dividitur, in concupiscentivum et indignativum. Oboediens vero rationi vocant quia rationi in bonis agatur et subiciatur. Rursus concupiscentivum dividunt in voluptatem et dolorem. Concupiscentia enim voti sui compos voluptatem efficit, non compos dolorem. Et rursus secundum alium modum concupiscentiam tradunt divisam quatuor una cum se ipsa formas efficere universas, concupiscentiam, voluptatem, metum, dolorem. Cumque rerum pars bona sit, pars mala, haec vero

Digitized by Google

ζεται, ἀποτυγχάνουσα δὲ λύπην. Καὶ πάλιν καθ' ἕτερον τρόπον φασὶ τὴν ἐπιθυμίαν διαιρουμένην τέσσαρα σὺν ἑαυτῇ τὰ πάντα εἴδη ποιεῖν, ἐπιθυμίαν, ἡδονήν, φόβον, καὶ λύπην. Καὶ ἐπειδὴ τῶν ὄντων τὰ μέν ἐστιν ἀγαθὰ, τὰ δὲ φαῦλα, ταῦτα δὲ ἢ παρόντα ἢ μέλλοντά ἐστι, προσδοκώμενον μὲν ἀγαθὸν ἐπιθυμίαν ἐκάλεσε, παρὸν δὲ ἡδονὴν, καὶ πάλιν προσδοκώμενον κακὸν φόβον, παρὸν δὲ λύπην· ὡς εἶναί τε καὶ θεωρεῖσθαι περὶ μὲν τὰ καλὰ, εἴ τε τὰ ὄντως ὄντα, εἴτε τὰ νομιζόμενα, τὴν ἡδονὴν καὶ τὴν ἐπιθυμίαν, περὶ δὲ τὰ φαῦλα τὴν λύπην καὶ τὸν φόβον. Πάλιν δὲ τὴν λύπην διαιροῦσιν εἰς τέσσαρα, εἰς ἄχος, εἰς ἄχθος, εἰς φθόνον, εἰς ἔλεον. Καὶ τὸ μὲν ἄχος εἶναί φασι λύπην ἀφωνίαν ἐμποιοῦσαν οἷς ἂν ἐγγένηται, διὰ τὴν εἰς βάθος πάροδον τοῦ λογιστικοῦ· τὸ δὲ ἄχθος λύπην βαροῦσάν τε καὶ διοχλοῦσαν ἐπ' ἀβουλήτοις συμβάσεσι· τὸν δὲ φθόνον λύπην ἐπ' ἀλλοτρίοις ἀγαθοῖς· τὸ δὲ ἔλεος λύπην ἐπ' ἀλλοτρίοις κακοῖς. Κακὸν δὲ πᾶσαν λύπην ἔφασαν τῇ ἑαυτῆς φύσει. Κἂν γὰρ
Cod. f. 177 a. ὁ σπουδαῖος ἐπ' ἀλλοτρίοις λυπῆται κακοῖς, | ὡς ἐλεήμων, ἀλλ' οὐ προηγουμένως κατὰ πρόθεσιν, ἀλλ' ἐφεπομένως κατὰ περίστασιν. Ὁ δὲ θεωρητικὸς κἂν τούτοις ἀπαθὴς διαμένει, συνάψας ἑαυτὸν τῷ θεῷ, καὶ τῶν τῇδε παρόντων ἀλλοτριώσας. Τὸν δὲ φόβον πάλιν διαιροῦσιν εἰς ἓξ, εἰς ὄκνον, εἰς αἰδὼ, εἰς αἰσχύνην, εἰς κατάπληξιν, εἰς ἔκπληξιν, εἰς ἀγωνίαν. Καὶ τὸν μὲν ὄκνον εἶναί φασι, φόβον μελλούσης ἐνεργείας, τὴν αἰδὼ δὲ φόβον ἐπὶ προσδοκίᾳ ψόγου, τὴν δὲ αἰσχύνην φόβον ἐπ' αἰσχρῷ πεπραγμένῳ, τὴν δὲ κατάπληξιν φόβον ἐκ μεγάλης φαντασίας, τὴν δὲ ἔκπληξιν φόβον ἐκ μεγάλων ἀκουσμάτων τὴν αἴσθησιν ἀφαιρούμενον, τὴν ἀγωνίαν δὲ φόβην διαπτώσεως, τουτέστιν ἀποτυχίας. Φοβούμενοι γὰρ ἀποτυχεῖν ἀγωνιῶμεν. Καλοῦσι δέ τινες αὐτὴν καὶ δειλίαν. Τὸν δὲ θυμὸν πάλιν εἶναι λέγουσι ζέσιν τοῦ περικαρδίου αἵματος δι' ὄρεξιν ἀντιλυπήσεως. Διαιροῦσι δὲ καὶ τοῦτον εἰς τρία, εἰς ὀργὴν, ἣν τινες ἐκάλεσαν χολὴν καὶ χόλον, καὶ εἰς μῆνιν, καὶ εἰς κότον. Καὶ τὴν μὲν ὀργὴν εἶναί φασι θυμὸν πρὸς ἐνέργειαν ἀρχὴν καὶ κίνησιν ἔχοντα, ἢ θυμὸν ἐνεργούμενον· τὴν δὲ χολὴν τὴν δι' ἄλλου ἄμυναν τοῦ λυπήσαντος· τὸν δὲ χόλον τὴν δι' ἑαυτοῦ τοῦ λυπηθέντος ἐπεξέλευσιν εἰς τὸν λυπήσαντα· τὴν δὲ μῆνιν θυμὸν εἰς παλαίωσιν (εἴρηται δὲ παρὰ τὸ μένειν καὶ τῇ μνήμῃ παρακατέχεσθαι), τὸν δὲ κότον θυμὸν ἐπιτηροῦντα καιρὸν εἰς τιμωρίαν· εἴρηται δὲ παρὰ τὸ κεῖσθαι καὶ οὗτος. Διαιροῦσι δὲ καὶ τούτων ἕκαστον εἰς ἄλλα πολλά. Ἅπερ εἰ βουληθείη τις δι' ἀκριβοῦς ἐξετάσεως παραδοῦναι γραφῇ, πολὺν ἀθροί-
Cod. f. 177 b. σει λόγον καὶ χρόνον δαπανήσει, ὡς | μηδὲ ἀνεκτὸν εἶναι τοῖς ἐντυγχάνουσι διὰ τὸ πλῆθος. Μέγα οὖν καὶ θαυμαστὸν ὄντως ἐστὶ καὶ πολλῆς δεόμενον προσοχῆς τε καὶ σπουδῆς, καὶ πρὸ τούτων τῆς θείας ἐπικουρίας, τὸ δυνηθῆναι

Digitized by Google

aut praesentia sint aut futura, bonum quod expectatur concupiscentiam vocavit, quod praesens, voluptatem; et rursus malum quod expectatur, metum, praesens vero, dolorem: adeo ut voluptas et concupiscentia ad bona pertineant et circa ea appareant, sive revera sunt, sive putantur, circa mala vero dolor et metus. Rursus dolorem dividunt in quattuor, in maerorem, in molestiam, in invidiam, in misericordiam. Atque maerorem dicunt esse dolorem obmutescere facientem eos qui sint ipso affecti, propterea quod ea animae pars quae rationis ac consilii sedes est, hoc est *λογιστικὸν*, in profundum transgrediatur: molestiam autem dolorem gravantem et turbantem in casibus iniucundis: invidiam vero dolorem in laetis rebus alienis: misericordiam denique dolorem in rebus alienis adversis atque miseris. Malum vero omnem dolorem statuerunt sua ipsius natura. Etiamsi enim vir bonus in aliorum rebus adversis dolet, ut misericors, tamen non ex professo et secundum propositum, sed secundario per occasionem. Contemplativus contra vel in his vacat affectu, deo congregatus, et his terrenis rebus alienatus. Metum vero rursus dividunt in sex partes, in tergiversationem, verecundiam, pudorem, stuporem, consternationem, torporem. Et tergiversationem quidem definiunt metum actionis futurae, verecundiam vero metum de expectatione vituperii, pudorem dein metum de re turpi perpetrata, stuporem metum de grandi et vehementi imaginatione conceptum, consternationem metum ex immanibus rumoribus qui sensum auferunt, agoniam denique, vel torporem, metum lapsus, id est successus infelicis atque spei frustratae. Nam dum metuimus ne voti compotes fiamus, torpemus. Quam sunt etiam qui timiditatem vocant. *Θυμὸν*, sive indignationem, vero rursus interpretantur fervorem sanguinis circum praecordia propter desiderium doloris vicissim infligendi. Etiam hanc dividunt modo triplici, in *ὀργὴν*, quam sunt qui *χολὴν* et *χόλον* appellarunt, et in *μῆνιν*, et in *κότον*. Atque *ὀργὴν* quidem definiunt indignationem quae principium et motum habet ad agendum, sive indignationem agitatam: *χολὴν* autem vindictam per alterum sumptam de eo qui iniuriam intulit: *χόλον* contra si quis per se ipsum, cui inlata est iniuria, eum qui intulit persequitur: *μῆνιν* porro indignationem inveterascentem (vocata est enim *μῆνις* de eo quod memoria retinetur), denique *κότον* indignationem tempus vindictae observans, qui dictus est item inde quod quasi reconditus iacet intus et manet. Dividunt vero horum unumquodque in alia multa; quae si quid accurate perquirere et litteris tradere voluerit, sermonem nimium cumulabit et tempus insumet, quae abundantia a lectoribus ferri non possit. Magnum itaque atque admirandum revera est, et quod multa attentione



Digitized by Google

πρῶτον μὲν τῆς ὑλικῆς δυάδος τῶν ἐμφύτων κρατῆσαι δυνάμεων, θυμοῦ λέγω καὶ ἐπιθυμίας, καὶ τοῦ κατ' αὐτὰς μερισμοῦ, καὶ μακάριος ὃς ἄγειν ἑτοίμως ταύτας ὅποι τῷ λόγῳ δοκεῖ δεδύνηται, μέχρις ἂν τοῖς πρακτικοῖς διὰ τῆς ἠθικῆς φιλοσοφίας τῶν προτέρων καθαίρηται λογισμῶν.

*Θεωρία ἐκ τῆς γραφῆς περὶ τοῦ μὴ δεῖν τὸν γνωστικὸν τῷ τῆς φύσεως νόμῳ τὸν τῆς σοφίας λόγον συνάπτειν, καὶ τίς ἡ προσθήκη τοῦ ἄλφα στοιχείου εἰς τὸ ὄνομα τοῦ Ἀβραάμ.*

Ἔπειτα δὲ καὶ ὑπὲρ αὐτὰς γενέσθαι καὶ παντελῶς ἀπώσασθαι, ὡς τὴν Ἄγαρ καὶ τὸν Ἰσμαὴλ, ὁ Ἀβραὰμ ἐκεῖνος ὁ μέγας, τοῦ λογιστικοῦ ἤδη περὶ τὰ θεῖα κατὰ τὸν Ἰσαὰκ ἐκεῖνον γυμνασθῆναι δυναμένου θεάματα, ὑπὸ τῆς κατὰ τὴν γνῶσιν φερομένης θείας φωνῆς διδασκόμενος, μὴ δύνασθαι τὸ κατὰ νοῦν θεῖον τῆς ἐλευθέρας κατὰ πνεῦμα γνώσεως γέννημα, τῷ δουλικῷ τῆς σαρκὸς ἐπισυνημμένον σπέρματι, τῆς μακαρίας τυχεῖν ἐπαγγελίας, ἣ τις ἐστὶν ἡ κατ' ἐλπίδας προκειμένη τοῖς ἀγαπῶσι τὸν κύριον τῆς θεώσεως χάρις, ἣν ἤδη τυπικῶς ὑπῆρχε προειληφὼς, τῷ περὶ μονάδος λόγῳ διὰ πίστεως μυστικῶς συναφθεὶς, καθ' ὃν ἑνοειδὴς γενόμενος, μᾶλλον δὲ ἐκ πολλῶν εἷς, μόνος πρὸς μόνον δι' ὅλου τὸν θεὸν μεγαλοπρεπῶς συνήχθη, μηδένα τὸ παράπαν τῆς οἱασοῦν περί τι ἄλλο τῶν σκεδαστῶν γνώσεως τύπον ἑαυτῷ συνεπιφερόμενος, ὅπερ οἶμαι δηλοῦν τὴν τοῦ δοθέντος εἰς προσθήκην τοῦ ὀνόματος ἄλφα γράμματος δύναμιν. Διὸ καὶ πατὴρ τῶν διὰ
Cod. f. 178 a. πίστεως προαγομένων | θεῷ κατὰ στέρησιν πάντων τῶν μετὰ θεὸν ἐχρημάτισεν, ὡς τοὺς αὐτοὺς κατὰ πίστιν ἐν πνεύματι τύπους τῷ πατρὶ τῶν τέκνων ἐμφερῶς ἔχειν δυναμένων.

Exod. 3, 5. *Θεωρία εἰς τὸν Μωϋσῆν περὶ τῶν ἀφαιρουμένων ὑποδημάτων.*

Τοῦτο τυχὸν ἐν ἀρχῇ τῆς γνωστικῆς ἀγωγῆς καὶ ὁ μέγας Μωϋσῆς ἐκεῖνος διδασκόμενος ὑπὸ τῆς θείας φωνῆς ἐπαιδεύετο, ἡνίκα προσῆγεν ἰδεῖν τὸ ἐν τῇ βάτῳ μυστικῶς φανταζόμενον φῶς φασκούσης, Λύσον τὰ ὑποδήματα ἀπὸ τῶν ποδῶν σου, ὁ γὰρ τόπος ἐν ᾧ ἕστηκας γῆ ἁγία ἐστί, τὸ δεινῶς, οἶμαι, τῶν σωματικῶν ἅπάντων ἀπολελύσθαι κατὰ διάθεσιν τὴν ψυχὴν, μέλλουσαν τὴν διὰ θεωρίας πρὸς τὴν τῶν ὑπερκοσμίων νόησιν γνωστικὴν ποιεῖσθαι πορείαν, καὶ τελείαν τοῦ ἐν σχέσει σαρκὸς προτέρου βίου ἀλλοτρίωσιν διὰ τῆς τῶν ὑποδημάτων ἔχειν ἀποθέσεως.

*Θεωρία εἰς μέρη τῶν θυσιῶν.*

Τοῦτο πάλιν ἴσως ὁ αὐτὸς θειότατος Μωϋσῆς ἐν ταῖς τῶν θυσιῶν διατάξεσι παρεδήλου τῶν ἱερείων ἀφαιρεῖν τὸ

Digitized by Google

et studio, ac divina praesertim ope indigeat, primum quidem posse materialem innatarum potestatum dyadem superare, indignationem inquam et concupiscentiam, earumque in quas patent divisae species, atque beatus est qui expedite has ducere quocunque rationi placebit potuerit, usque dum practicis, id est activis, ab eis quas ante habuit purgetur per philosophiam moralem.

## Contemplatio ex scriptura de eo quod qui cognoscendi facultate praeditus est cum lege naturae non debeat coniungere legem sapientiae, et quid sibi velit littera alpha Abrahami nomini addita.

Deinde vero etiam superare eas potestates ac prorsus excutere, tanquam Agarem et Ismaelem, Abrahamus ille magnus, cum eius mens iam ut in Isaaci illius sacrificio circa divina spectacula exerceri norit, a voce divina per cognitionem descendentem eruditus divinam liberae spiritualis cognitionis in mente progeniem, quae cum servili carnis semine coniuncta est, beatam annuntiationem impetrare non posse, quae est deificationis gratia eorum quae dominum diligunt spei exposita, quam typice iam anticipaverat, monadis rationi per fidem mystice adiunctus, qua uniformis factus, vel potius de multis unus, solus ad solum plane deum magnifice congregatus est, nulla omnino circa aliud quid eorum quae dissipata sunt qualiscunque cognitionis imagine sibi simul inlata, id quod alpha litterae, quae nomini eius addita est, vi significari puto. Quare etiam eorum qui omnibus quae post deum sunt abdicatis per fidem ad deum adducti sunt pater appellatus est, utpote qui eisdem per fidem in spiritu imaginibus patri similes esse liberi possent.

## Contemplatio in Moysen de detractis calceis.

Quod in principio gnosticae vitae fortasse etiam Moyses ille, cum accederet ad conspectum lucis in rubo mystice apparentis, a divina voce, ‚Solve calceos de pedibus tuis, nam ubi stas terra sancta est', didicit, animam ab omnibus corporalibus secundum affectionem perfecte solutam esse, eam quae contemplationis via ad res caelestes intellegendas gnosticam profectionem sit institutura, ac perfectam pristinae in carnis habitu vitae alienationem tenere per calceos depositos.

## Contemplatio in partes sacrificiorum.

Hoc rursus fortasse idem perdivinus Moyses in sacrificiorum regulis significabat, adipem et renes et pectus et



Digitized by Google

στέαρ, καὶ τοὺς νεφροὺς, καὶ τὸ στηθύνιον, καὶ τὸν λοβὸν
Levit. 7, 20. τοῦ ἥπατος, ἐπιτάσσων, τὸ δεῖν αὐτάς τε τὰς γενικὰς τῶν ἐν ἡμῖν παθῶν δυνάμεις, τὸν θυμὸν λέγω καὶ τὴν ἐπιθυμίαν, τὴν ὄντως ὕλικὴν δυάδα, καὶ τὰς ἐνεργείας αὐτῶν ἀφαιρεῖν, καὶ τῷ θείῳ πυρὶ τῆς κατὰ γνῶσιν μυστικῆς ἐκτῆξαι δυνάμεως, τῆς μὲν ἐπιθυμίας διὰ τῶν νεφρῶν, τῆς δὲ ἐνεργείας αὐτῆς, τουτέστι τῆς ἡδονῆς, διὰ τοῦ λίπους, ἤτοι τοῦ στέατος δηλουμένης, καὶ τοῦ θυμοῦ διὰ τοῦ στηθυνίου, τῆς δὲ κατ' αὐτὸν ἐνεργείας, διὰ τοῦ λοβοῦ τοῦ ἥπατος, ἐν ᾧ ἡ πικρὰ καὶ δριμυτάτη πέπηγε χολὴ, σημαινομένων.

Levit. 13. *Θεωρία σύντομος εἰς τὴν κατὰ νόμον διάφορον λέπραν.*

Τοῦτο πάλιν κἂν τῷ περὶ λέπρας τόπῳ σοφῶς οἶμαι παρεμφαίνειν δι' αἰνιγμάτων συμβολικῶν, τὴν ἀφὴν τῆς λέ-
Cod. f. 178. b. πρας εἰς τέσσαρα | γένη μερίσαντα, εἰς λευκὸν καὶ χλωρὸν καὶ ξανθὸν καὶ ἀμαυρὸν, δι' ὧν τό τε θυμικὸν καὶ τὸ ἐπιθυμητικὸν εἰς τὰ ὑπ' αὐτὰ εἴδη διαιρούμενα δείκνυται, τῆς μὲν ἐπιθυμίας διὰ τοῦ λευκοῦ καὶ χλωροῦ, εἰς ἡδονὴν καὶ λύπην μερίζεσθαι δηλουμένης, τοῦ δὲ θυμοῦ διὰ τοῦ ξανθοῦ καὶ τοῦ ἀμαυροῦ εἰς ὀργὴν καὶ μῆνιν καὶ τὴν κεκρυμμένην κακουργίαν τῆς ὑποκρίσεως τεμνομένου. Ταῦτα γὰρ πρῶτα γένη τῶν ὑπ' αὐτὰ παθῶν, ὡς φασι, καὶ πάντων ἀρχηγικώτερα τῶν τοῦ θύμου καὶ τῆς ἐπιθυμίας γεννήματα, οἷς τὴν νοσηλευομένην ψυχὴν οὐχ οἷόν τε, ἕως ὑπὸ τούτων κατέστικται, τοῖς τῆς θείας ἠξιωμένοις παρεμβολῆς ἐναρίθμιον εἶναι.

Num. 25, 7 sqq. *Θεωρία εἰς τὸν Φινεὲς καὶ τοὺς ἀναιρεθέντας ὑπ' αὐτοῦ.*

Τοῦτο καὶ τὸν θαυμαστὸν οἶμαι Φινεὲς ἐκεῖνον τῷ καθ' ἑαυτὸν ζήλῳ παραινίττεσθαι. Τὴν γὰρ Μαδιανίτιν τῷ Ἰσραηλίτῃ συγκαταιχμάσας μυστικῶς διὰ τοῦ δόρατος τὴν ὕλην τῷ εἴδει, καὶ τῷ θυμῷ τὴν ἐπιθυμίαν, καὶ τὴν ἀλλόφυλον ἡδονὴν τῷ ἐμπαθεῖ λογισμῷ διὰ τῆς τοῦ ἀρχιερέως λόγου δυνάμεως συναπωθεῖσθαι χρὴν παντάπασι τῆς ψυχῆς ἐνέφαινεν. [1] Εἶδος γὰρ πρὸς ὕλην τρόπον ἐπέχει, ὅ τε θυμὸς πρὸς τὴν ἐπιθυμίαν, τῷ προσεγγισμῷ διδοὺς αὐτῇ κίνησιν, καθ' ἑαυτὴν οὖσαν ἀκίνητον, ὅ τε λογισμὸς πρὸς τὴν ἡδονὴν, εἰδοποιεῖν αὐτὴν πεφυκώς; ἀνείδεον καὶ ἄμορφον κατὰ τὸν ἴδιον λόγον ὑπάρχουσαν. Δηλοῖ δὲ τοῦτο καὶ αὐτὴ τῶν ὀνομάτων ἡ δύναμις. Χασβὴ γὰρ ἡ Μαδιανίτις ὀνομάζεται, ὅπερ ἐστὶ Γαργαλισμός μου, καὶ Ζαμβρὶ ὁ Ἰσραηλίτης, ὅπερ ἐστὶν [2] Ἄσμα μου, τουτέστι μετεωρισμός μου. Ἐπειδὰν οὖν τῆς θείας ἀπονεῦσαν μελέτης τε καὶ ἐνατενίσεως τὸ λογιστικὸν τῆς ψυχῆς καὶ μετεωρισθὲν τῷ ὑλικῷ τῆς σαρκὸς γαργαλισμῷ |
Cod. f. 179 a. συμπλακῇ κατὰ τὴν κάμινον τῆς ἁμαρτίας, τοῦ ζηλωτοῦ παν-

1. εἴδους cod. Gud.

Digitized by Google

iecinoris fibram de hostiis iubens praecidi, ipsas nimirum generales nostrarum passionum potestates, indignationem dico et concupiscentiam, quae vera est materialis dyas, earumque vires activas esse praecidendas et comburendas divino igni potestatis mysticae per cognitionem, concupiscentia quidem per renes, activa vero eius vi hoc est voluptate, per pinguedinis partes, sive adipem, indignatione per pectus, et activa eius vi per fibram iecinoris, cum qua amara et acris bilis cohaeret, significatis.

## Contemplatio brevis in diversam secundum legem lepram.

Hoc rursus etiam in loco de lepra sapienter per symbolicas imagines significare arbitror, leprae affectionem in quattuor genera discernit, in album et viride et rubrum et caecum, per quae concupiscentivum et indignativum in species suas divisa ostenduntur, concupiscentia quidem per album, et viride in voluptatem et dolorem indignatione vero per rubrum et caecum in iram et succensionem, occultamque simulationis malitiam discreta. Haec enim primaria sunt genera earum, ut dicunt, affectionum et omnium principaliores indignationis et concupiscentiae progenies, quibus quae anima comprehensa atque infecta, quamdiu ab eis compungitur in divinae phalangis numero censeri non potest.

## Contemplatio in Phinees, et qui ab eo interfecti sunt.

Hoc etiam admirabilem illum Phinees zelo suo significare arbitror. Madianitidem enim una cum Israelita mystice iaculo transfigens, materiam una cum forma, et concupiscentiam una cum indignatione, et alienigenam voluptatem una cum cogitatione affectu irretita per pontificis rationis vim simul excutiendas omnino ex anima esse indicavit. Forma enim ad materiam applicat modum, et indignatio ad concupiscentiam, appropinquando commovens quae per se inmobilis est, et cogitatio ad voluptatem, cui formam praebet, cum alias forma ac specie secundum propriam rationem careat. Indicat hoc vel ipsa nominum vis et significatio. Chasbi enim Madianitis illa appellatur, quod est, Titillatio mei, et Zambri Israelita, quod est, Canticum mei, id est elevatio mei in sublime. Cum igitur divinam meditationem et intuitionem aversata animae pars rationalis, sive λογιστικὸν, atque in sublime evecta cum materiali titillatione coit in peccati ar-

2. ἄσμα cod. Gud.

Digitized by Google

τως δεῖται ἀρχιερέως λόγου, πρὸς ἀναίρεσιν μὲν τῶν οὕτω κακῶς ἀλλήλοις συμπεπλεγμένων, ἀποστροφὴν δὲ τῆς φερομένης θείας ἀγανακτήσεως.

Matth. 7, 6. Luc. 9, 3. *Θεωρία εἰς τὸ, Μὴ δῶτε τὰ ἅγια τοῖς κυσί,* [1] *καὶ εἰς τὸ μήτε ῥάβδον μήτε πήραν μήτε ὑποδήματα χρῆναι τοὺς ἀποστόλους βαστάζειν.*

Τοῦτο καὶ ὁ κύριος αὐτὸς, ὡς ἐμοιγε δοκεῖ, τυχὸν παρεδήλου, τοῦτο μὲν ἐν οἷς φησι, Μὴ δῶτε τὸ ἅγιον τοῖς κυσὶ, μηδὲ βάλλετε τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων, ἅγιον ἴσως καλῶν τὸ ἐν ἡμῖν νοερὸν, ὡς θείας ἀπεικόνισμα δόξης, ὅπερ μὴ κακῶς ἐᾶν ὑπὸ τῶν θυμικῶν κινημάτων καθυλάκτούμενον ἐκταράσσεσθαι παρηγγύησε, μαργαρίτας δὲ τὰ θεῖα καὶ λαμπρὰ τούτου νοήματα, οἷς τίμιον ἅπαν κοσμεῖσθαι πέφυκεν, ἅπερ διαφυλάττειν ἀμόλυντα καὶ τῶν ἀκαθάρτων τῆς ὑλικῆς ἐπιθυμίας παθῶν ἐλεύθερα δεῖν παρεκελεύσατο· τοῦτο δὲ ἐν οἷς πρὸς τοὺς ἁγίους αὐτοῦ μαθητὰς ἀποστελλομένους ἐπὶ τὸ κήρυγμα περὶ τοῦ πῶς εὐσταλεῖς αὐτοὺς εἶναι καὶ ἀπερίττους διατυπῶν καὶ τοῦτο πρὸς τοῖς ἄλλοις φησὶ, Μὴ δὲ πήραν αἴρετε εἰς τὴν ὁδὸν, μήτε ῥάβδον, μήτε ὑποδήματα εἰς τοὺς πόδας ὑμῶν, ὡς δέον τὸν τῆς ὑψηλῆς κατὰ τὴν γνῶσιν πορείας ἐπειλημμένον παντὸς μὲν ὑλικοῦ βάρους ἐλεύθερον εἶναι, πάσης δὲ τῆς κατ' ἐπιθυμίαν καὶ θυμὸν ἐμπαθοῦς διαθέσεως καθαρὸν, ὡς δηλοῖ ἥ τε πήρα καὶ ἡ ῥάβδος, ἡ μὲν τὴν ἐπιθυμίαν, ἡ δὲ τὸν θυμὸν ἐπισημαίνουσα, μάλιστα δὲ τῆς καθ' ὑπόκρισιν γυμνὸν κακουργίας, τῆς οἷον ὑποδήματος δίκην τοῦ βίου τὸ ἴχνος ἐπικαλυπτούσης, καὶ τὸ ἐμπα-
Cod. f. 179 b. θὲς τῆς ψυχῆς ἐπικρυπτούσης | ἐπιεικείας πλάσματι· ἣν ὑποδησάμενοι ἀφρόνως οἱ Φαρισαῖοι, μόρφωσιν εὐσεβείας, ἀλλ' οὐκ εὐσέβειαν ἔχοντες, καὶ εἰ λαθεῖν ἐνόμιζον, ὑπὸ τοῦ λόγου ἐλεγχθέντες [2] ἐδιδάχθησαν.

*Θεωρία περὶ τοῦ σεληνιαζομένου.*

Ταύτης τῆς ὑλικῆς δυάδος, τῆς κατὰ θυμὸν λέγω καὶ ἐπιθυμίαν, πάλιν ὁ κύριος ἐλευθέρωσεν, ὡς οἶμαι, τὸν σεληνιαζόμενον, μᾶλλον δὲ τοῦ πυρὶ τῷ θυμῷ καὶ ὕδατι τῇ ἐπιθυμίᾳ αὐτὸν βουληθέντος ἀπολέσαι πονηροῦ δαίμονος, ἐπέσχε τε καὶ κατήργησε τὴν μανιώδη λύσσαν (σελήνης γὰρ οὐδὲν διενήνοχεν ἡ πρὸς τὰ γινόμενα καὶ ἀπογινόμενα σχέσις τῶν ἠτιημένων τοῖς ὑλικοῖς ἀνθρώποις)· ἧς ἐπιλαβόμενος ὁ τὰ πάθη διεγείρων δαίμων ὥςπερ ὕδατι καὶ πυρὶ τῇ ἐπιθυμίᾳ καὶ τῷ θυμῷ ἐμβάλλων τὸν νοῦν καὶ ἐναποπνίγων οὐ παύεται, ἕως τοῦ θεοῦ λόγος παραγενόμενος τὸ μὲν ὑλικὸν καὶ πονηρὸν ἀπελάσει πνεῦμα (δι' οὗ ὁ παλαιός τε καὶ χοι-

1. καὶ desideratur in cod. Gud.

Digitized by Google

dore, acri omnino pontifice ratione opus est, tam ad tollendum quae tam improbe coiverunt, quam ad avertendam divinae irae invasionem.

## Contemplatio in illud, ‚Ne date sacra canibus'; item in illud, quod neque baculum neque peram neque calceos apostoli debeant ferre.

Hoc etiam ipse dominus, ut mihi videtur, fortasse significavit, partim ubi dicit, ‚Ne date sacrum canibus, neve proicite margaritas porcis', sacrum, ni fallor, vocans intellectuale in nobis, ut divinae gloriae imaginem, quod ne improbe ab indignationis motibus adlatrari ac perturbari sineremus vetuit, margaritas vero divinas eius et splendidas cogitationes, quibus omne dignum ornatur et nobile, quas cogitationes intaminatas et ab impuris materialis concupiscentiae passionibus liberas servandas praecepit: partim ubi ad sanctos suos discipulos ad praedicandum emissos, dum ut succincti omnique supervacaneo liberi essent informat inter alia hoc quoque dicit, ‚Ne autem peram tollite in viam, aut baculum, aut calceos in pedes vestros', cum nimirum sit necesse ut qui sese ad sublimem cognitionis iter accinxerit omni materiali pondere vacet, et omni patibili de concupiscentia et indignatione affectione liberetur, quemadmodum demonstrat pera et baculus, quorum altera concupiscentiam, alter indignationem significat, inprimis vero ut nudus sit hypocriseos improbitate, quae calceamenti instar vitae vestigium obtegit et animae patibile aequitatis figmento obscurat; quam hypocrisin Pharisaei induti, speciem pietatis, non ipsam pietatem habentes, etiam si latere sibi videbantur, tamen a ratione confutati esse didicerunt.

## Contemplatio de lunatico.

Qua materiali dyade, indignationis inquam et concupiscentiae, rursus dominus, ni fallor, lunaticum liberavit, vel potius, cum malus daemon igni indignatione et aqua concupiscentia eum perdere vellet, coercuit, atque sustulit rabiem furiosam (lunae enim increscendo decrescendoque habitus nihil differt ab hominibus materia superatis); qua abusus daemon concitator passionum tanquam in aquam et ignem in concupiscentiam et indignationem inicere mentem et suffocare non desinit, usque dum dei verbum et ratio advenerit et materialem atque malum daemonem expulerit (per quem vetus

---

2. An διεδείχθησαν?

Digitized by Google

κὸς χαρακτηρίζεται ἄνθρωπος), τὸν δὲ ἐνεργούμενον τῆς πονηρᾶς ἐλευθερώσει τυραννίδος, τὴν φυσικὴν αὐτῷ σωφροσύνην ἀποδοὺς καὶ χαρισάμενος, δι' ἧς ὁ νέος καὶ κατὰ θεὸν κτιζόμενος ἄνθρωπος διαδείκνυται. Οὕτω μὲν οὖν πάντες οἱ ἅγιοι τοῦ θείου καὶ ἁπλανοῦς λόγου γνησίως ἐπειλημμένοι τὸν αἰῶνα τοῦτον διέβησαν, οὐδενὶ τῶν ἐν αὐτῷ τερπνῶν τὸ τῆς ψυχῆς ἴχνος ἐναπερείσαντες. Πρὸς γὰρ τοὺς ἀκροὺς τῶν ἀνθρώποις ἐφικτῶν περὶ θεοῦ λόγους, τῆς ἀγαθότητός τέ φημι καὶ τῆς ἀγάπης, μάλα γε εἰκότως ἐνατενίσαντες, οἷς κινηθέντα τὸν θεὸν τὸ εἶναί τε δοῦναι τοῖς οὖσι καὶ τὸ εὖ εἶναι χαρίσασθαι ἐπαιδεύθησαν (εἴπερ κίνησιν ἐπὶ θεοῦ τοῦ
Cod. f. 180 a. μόνον ἀκινήτου | θέμις εἰπεῖν, ἀλλὰ μὴ μᾶλλον βούλησιν, τὴν πάντα κινοῦσάν τε καὶ εἰς τὸ εἶναι καὶ παράγουσαν καὶ συνέχουσαν, κινουμένην δὲ οὐδαμῶς οὐδέποτε), τούτοις καὶ αὐτοὶ σοφῶς ἑαυτοὺς ἀπετύπωσαν, τοῦ ἀφανοῦς καὶ ἀοράτου κάλλους τῆς θείας μεγαλοπρεπείας εὐμιμήτως φέροντες φαινομένην διὰ τῶν ἀρετῶν τὴν ἰδιότητα. Διὰ τοῦτο ἀγαθοὶ καὶ φιλόθεοι καὶ φιλάνθρωποι, εὐσπλαγχνοί τε καὶ οἰκτίρμονες γεγόνασι, καὶ μίαν πρὸς ἅπαν τὸ γένος διάθεσιν ἔχοντες ἀγάπης ἐδείχθησαν, ὑφ' ἧς τὸ πάντων ἐξαίρετον εἶδος τῶν ἀρετῶν, τὴν ταπείνωσιν λέγω, διὰ πάσης αὐτῶν τῆς ζωῆς βεβαίαν κατασχόντες τὴν φυλακτικὴν μὲν τῶν ἀγαθῶν, φθαρτικὴν δὲ τῶν ἐναντίων, οὐδενὶ τὸ παράπαν ἁλώσιμοι τῶν διοχλούντων γεγόνασι πειρασμῶν, τῶν τε ἑκουσίων καὶ τοῦ ἐφ' ἡμῖν λόγου, καὶ τῶν ἀκουσίων καὶ οὐκ ἐφ' ἡμῖν, τῷ τοῖς μὲν δι' ἐγκρατείας ἀπομαραίνειν τὰς ἐπαναστάσεις, τῶν δὲ δι' ὑπομονῆς τὰς προσβολὰς ἀποσείεσθαι. Λιχόθεν γὰρ βαλλόμενοι, ὑπό τε δόξης καὶ ἀτιμίας, διέμενον ἀσειστοι, πρὸς ἄμφω ἀκινήτως ἔχοντες, μήτε ὕβρεσι τιτρωσκόμενοι διὰ τὴν ἐκουσίαν ὕφεσιν, μήτε δόξαν προσιέμενοι, δι' ὑπερβάλλουσαν πτωχείας οἰκείωσιν, ὅθεν οὐ θυμὸς, οὐ φθόνος, οὐκ ἔρις, οὐχ ὑπόκρισις, οὐ δόλος, οὐκ εἰρωνευτική τις καὶ ἐπίκλοπος τῷ φαινομένῳ πλάσματι δι' ἀπάτης ὑποσύρουσα πρὸς ἄλλο στοργὴ, τὸ πάντων παθῶν ὀλεθριώτατον, οὐκ ἐπιθυμία τῶν κατὰ τὸν βίον δοκούντων εἶναι λαμπρῶν, οὔτε τι ἕτερον τῆς πονηρᾶς τῶν παθῶν πληθύος, οὐκ ἀπειλαὶ παρ' ἐχθρῶν ἐπανατεινό-
Cod. f. 180 b. μεναι, οὐδέ τις | θανάτου τρόπος αὐτῶν ἐκυρίευσε. Διὸ καὶ μακάριοι δικαίως παρά τε θεῷ καὶ ἀνθρώποις ἐκρίθησαν, ὅτι τῆς φανησομένης ἀῤῥήτου καὶ περιφανοῦς δόξης κατὰ τὴν χάριν τοῦ μεγάλου δώρου θεοῦ ἐμφανεῖς εἰκόνας ἑαυτοὺς κατέστησαν, ἵνα χαίροντες ὡς γνωρίμοις τοῖς λόγοις τῶν ἀρετῶν, μᾶλλον δὲ θεῷ, ὑπὲρ οὗ καὶ καθ' ἑκάστην ἡμέραν ἀποθνήσκοντες διεκαρτέρησαν, ἑνωθῶσιν, ἐν ᾧ πάντων οἱ λόγοι τῶν ἀγαθῶν, ὥςπερ πηγῇ ἀειβλύστῳ, προϋφεστήκασί τε κατὰ μίαν, ἁπλῆν καὶ ἑνιαίαν τῶν πάντων περιοχὴν, καὶ πρὸς ὃν ἕλκουσι πάντας τοὺς καλῶς καὶ κατὰ φύσιν ταῖς ἐπὶ τούτῳ δοθείσαις χρωμένους δυνάμεσι.

Digitized by Google

et terrenus homo exprimitur), vexatum vero illum a mala dominatione adseruerit, dum naturalem ei moderationem gratia sua reddit, per quam novus et ad dei imaginem creatus homo designatur. Sic igitur omnes sancti hanc divinam et non fallacem rationem rite aggressi hoc seculum transiverunt, in nulla earum quas habet voluptatum vestigium animae imprimentes. In summas enim earum quas homini assequi licet de deo rationes, bonitatis inquam et caritatis, oculos rectissime figentes, quibus deum commotum eis quae sunt existentiam eamque bonam gratia sua largiri didicerunt (si quidem moveri deum qui solus inmobilis est dicere fas est, et non potius velle, cuius voluntate omnia et moventur et in existentiam ducuntur, inque ea continentur, dum ipsa nimirum non ullo unquam modo movetur), his etiam ipsi sapienter sese reformarunt, invisibilis ac nos latentis pulchritudinis divinae magnificentiae proprietatem quae per virtutes se manifestat feliciter aemulatam ferentes. Ideoque boni et dei amantes et benevoli erga homines, et misericordes facti sunt, unamque ad universum genus affectionem caritatis habere visi sunt; a qua omnium virtutum exquisitissimum genus, humilitatem dico, quae bona servat, inimica perimit, per totam suam vitam firmiter tuentes, molestarum temptationum nulli omnino succubuerunt, tam voluntariarum quaeque nostrae sunt rationis, quam involuntariarum quaeque non nostrae sunt, dum harum eruptiones continentia reprimimus, illarum contra impetus fortitudine excutimus. Utrinque enim petiti, a gloria et ab ignobilitate, inconcussi perseveraverunt, et immobiles contra utramque steterunt, neque iniuriis vulnerati, propter voluntariam submissionem, neque gloriam admittentes, propter exsuperantem paupertatis familiaritatem, unde nec indignatio, nec livor, nec dissensio, nec hypocrisis, nec dolus, nec cavillatorius et subdolus qui specioso figmento fraudulenter ad aliud pelliciat amor, quae omnium passionum exitiosissima est, nec concupiscentia earum rerum quae lautissimae videntur in vita esse, nec aliud quicquam de iniquo passionum grege, neque minae ab inimicis intentatae, neque ullum mortis genus eos devicit. Ideo etiam beati tam apud deum quam apud homines merito sunt iudicati, quod appariturae ineffabilis et splendidissimae gloriae per gratiam magni doni dei manifestas imagines sese effecerunt, ut gaudentes tanquam notis et familiaribus virtutum rationibus, vel potius deo, pro quo etiam quotidie mori perseverassent, unirentur, in quo omnium bonorum rationes, tanquam in fonte perenni, praeextiterunt per unam, simplicem et singularem rerum universarum complexionem, et ad quem omnes attrahunt quicunque bene et secundum naturam facultatibus ad hoc datis utuntur.

Digitized by Google

Greg. Naz. Or. in laudem S. Athanasii cap. 18., p. 397. tom. I. Opp. ed. Bened.

*Ἐκ τοῦ μβ΄ λόγου τοῦ Θεολόγου περὶ ὧν ἐμνήσθη τοῦ μακαρίου Ἰὼβ, εἰς τὸ, Τὰ δὲ ἑξῆς μικρὰ, καὶ μικρῶν ἕνεκεν οἰκονομηθέντα.*

*Τῇ γενομένῃ παρὰ τοῦ Θεοῦ τῷ Ἰὼβ ἀναῤῥήσει, ὡς οἶμαι, συγκρίνων τὰ μετὰ τοὺς ἀγῶνας τῶν πειρασμῶν δοθέντα σωματικὰ μικρὰ προσηγόρευσεν, ὡς κατ' οὐδένα τρόπον τοῖς αἰωνίοις δυνάμενα παραβάλλεσθαι. Μικρῶν δὲ ἕνεκεν οἰκονομηθέντα φησὶ, τῶν περὶ διάνοιαν γνωστικὴν δηλονότι μικρῶν, τῶν εὐχερῶς ἐν τοῖς περὶ προνοίας καὶ κρίσεως λόγοις σκανδαλιζομένων, καὶ περὶ αὐτὴν τὴν εὐσέβειαν σαλευομένων. Περὶ ὧν οἶμαι τὸν κύριον ἐν τοῖς εὐαγ-*

Marc. 9, 42. *γελίοις φάναι, Ὁ σκανδαλίζων ἕνα τῶν μικρῶν τούτων· οἳ ὅταν ἴδωσι δίκαιον ἀσθενοῦντα, ἢ πτωχεύοντα, ἢ ἄλλως κακουχούμενον (καὶ σχεδὸν οἵγε ἀσθενέστεροι ἄδειαν τοῦ παντὸς κατακρίνουσι, πόσῳ μᾶλλον ἐν τῇ ἀθρόᾳ μεταβολῇ τοῦ Ἰὼβ, ὁμολογημένως δικαίου πᾶσιν ὑπειλημμένου;) εἶχον τοῦτο παθεῖν, εἰ μὴ πρὸς τὸ ἀρχαῖον αὐτῷ σωματικῶς κατὰ τὸ διπλάσιον ἐπανῆλθε τὸ περιφανὲς καὶ ἐπίδοξον.*

Cod. f. 181 a. *Περὶ τούτων οὖν εἴρηται τῷ διδασκάλῳ, Μικρῶν ἕνεκεν οἰκονομηθέντα.*

Idem ibid. cap. 31., p. 406. tom. I. Opp. ed. Bened.

*Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ, Καθαίρει μὲν τὸ ἱερὸν τῶν θεοκαπήλων καὶ χριστεμπόρων, πλὴν ὅσον οὐ φραγελλίῳ πλεκτῷ, λόγῳ δὲ πιθανῷ τοῦτο ἐργάζεται.*

*Οὔτε στυπτικώτερον ἐν τούτοις, ὥς τινες ὑπειλήφασι, τοῦ μακαρίου πατρὸς Ἀθανασίου τὸν κύριον ἡμῶν καὶ Θεὸν ἀποδείκνυσιν ὁ ἀοίδιμος οὗτος διδάσκαλος, μὴ γένοιτο, οὔτε μὴν καταχαρίζεται τῷ ἁγίῳ Ἀθανασίῳ τὸν μὲν φραγελλίῳ, τὸν δὲ λόγῳ χρησάμενον, καθαίρειν τὸ ἱερὸν τῶν θεοκαπήλων εἰπεῖν. Ὡς ἀνάγκην ἐκ τούτων εἶναι, κατὰ τοὺς λέγοντας, δυοῖν θάτερον ὑποληφθῆναι, ἢ τὸν κύριον ἡμῶν καὶ Θεὸν τὴν προσηνεστέραν ἠγνοηκέναι μέθοδον τῆς ἰατρείας, ἢ τὸν ἅγιον Ἀθανάσιον μὴ γινώσκοντα τῆς πνευματικῆς ἐπιμελείας τοὺς τρόπους φιλανθρωπίαν ἄκαιρον μετιέναι. Ἀλλ' ἐπειδὴ ὁ διαγνωστικὸς λόγος ὧν πεπράχαμεν ἐν ἡμῖν ἀνακινούμενος, οἷον ἱερῷ τινι ἐμψύχῳ τε καὶ ζῶντι, ἀναλογοῦσαν τοῖς πλημμεληθεῖσι μεταμέλειαν ἐργάζεται, δι' ἧς Χριστὸς ὁ θεὸς καὶ λόγος ἀεὶ τύπτει ἡμᾶς ἁμαρτάνοντας, πλεκτὸν ὥσπερ ἔχων φραγέλλιον, αὐτὴν ἡμῶν τὴν ἐξ ἀτόπων ἐννοιῶν συμπεπλεγμένην καὶ ἔργων συνείδησιν, ὁ δὲ ἅγιος Ἀθανάσιος ἠπίως τοὺς πταίοντας ἐνῆγε πρὸς διόρθωσιν, ὡς καὶ αὐτὸς ἀσθενείας σάρκα περικείμενος, τούτου χάριν τῷ τρόπῳ τούτῳ τῷ λόγῳ χρῆσθαι τὸν θεόφρονα τοῦτον οἶμαι διδάσκαλον.*

Digitized by Google

## Ex quadragesimo secundo Theologi sermone de iis quae de beato Iobo commemoravit in illud, ‚Quae autem deinde secuta sunt, parva, et parvorum gratia constituta.'

Dei in Iobum pronuntiato, ut puto, temporalia ea quae post certamina temptationum concessa sunt comparans parva appellavit, quae nimirum nullo modo cum aeternis conferri possent. ‚Parvorum gratia constituta' autem dicit parvorum videlicet circa gnosticum mentis statum, qui facile in providentia et iudicio considerandis offenduntur, et circa ipsam pietatem fluctuant. De quibus dominum in evangeliis dixisse arbitror, ‚Qui offendit unum ex parvulis his.' Qui quotienscunque iustum vident infirmum vel pauperem, vel alio modo laborantem (atque hi infirmiores plenam fere peccatorum omnium impunitatem statuunt, quanto magis in multiplice Iobi vicissitudine, qui ex confesso ab omnibus est iustus aestimatus?) id pati possint, si non ad pristinum statum rediit ei conduplicatus splendor et fama. De his igitur magister dixit, ‚Parvorum gratia constituta.'

## Ex eodem sermone in illud, ‚Purgat templum sacrilegis et dei et Christi nundinatoribus, nisi quod non flagello contorto, sed sermone ad persuadendum accommodato hoc facit.'

Neque acerbiorem in his, ut quidam existimaverunt, beato patre Athanasio dominum nostrum et deum clarissimus hic magister ostendit, absit, neque profecto sancto Athanasio gratificatur, dum illum flagello, hunc sermone usum esse in templo a sacrilegis nundinatoribus purgando dicit: ut hinc necesse sit, secundum proverbium, ut ex duobus alterutrum statuamus, aut ut dominus noster et deus mitiorem medicinae viam ignoraverit, aut ut sanctus Athanasius modorum spiritualis curae ignarus, intempestivae humanitati indulserit. Sed cum ratio eorum quae egimus iudex in nobis commota, tanquam in vivo aliquo templo et animato, paenitentiam delictis parem exerceat, per quam Christus deus et sermo semper nos caedit peccantes, veluti torto flagello usus, ipsâ videlicet conscientia, ex prave ac perperam cogitatis et facinoribus contorta, sanctus vero Athanasius leniter ad emendationem deducebat peccantes, quippe qui ipse infirmitatis carne indutus esset, propterea divinum hunc doctorem tropice et per figuram haec verba arbitror usurpasse.

Digitized by Google

Greg. Naz. Or. Theologica I. adv. Eunomianes cap. 1., p. 487. tom I. Opp. edit. Bened.

## Τοῦ αὐτοῦ ἐκ τοῦ σχεδιασθέντος πρὸς Εὐνομιανους λόγου, εἰς τὸ, Εἰσὶ γὰρ, εἰσί τινες οἱ τὴν ἀκοὴν κνηθόμενοι καὶ τὴν γλῶτταν.

Φασὶν οἱ περὶ λόγους ἐσχολακότες καὶ τὰς αὐτῶν ἀκριβεῖς σημασίας γινώσκειν, κλέος οὐ τὸ τυχὸν ποιησάμενοι, καὶ ἑκάστῳ πράγματι φωνὴν πρόσφορον δεῖν ἀπονέμεσθαι,
Cod. f. 181 b. παραστατικὴν τῆς πρὸς ὅτιοῦν | ἄλλου του σημαινομένου, καθ' ὅντινα τρόπον τύχοι λεγόμενον, ἀμιγοῦς ἰδιότητος, καλῶς ἔχειν ἀποφηνάμενοι, κνηθομένους δὲ τὴν ἀκοὴν καὶ τὴν γλῶσσαν εἶναι τοὺς καινότερόν τι μανθάνειν ἢ λέγειν ἐθέλοντας, καὶ ἀεὶ ταῖς καινοτομίαις χαίροντας, καὶ ὅρια μετατιθεμένους, γραφικῶς εἰπεῖν, ἃ ἔθεντο οἱ πατέρες αὐτῶν, καὶ τοῖς προσφάτοις καὶ ξένοις ἡδομένους, καὶ τῶν συνήθων καὶ πάλαι γνωρίμων καὶ ὡσαύτως ἐχόντων ὡς ἑώλων καὶ πεπατημένων καὶ μηδενὸς ἀξίων, κατεξανισταμένους, καὶ μᾶλλον τὰ νεαρώτερα προσδεχομένους ἀσπασίως, κἂν ψευδῆ τύχοιεν ὄντα, καὶ μηδεμίαν εἰς ψυχὴν διαβαίνουσαν ὠφέλειαν ἔχοντα. Ὑπὲρ ἧς μάλιστα πᾶς εὐσεβὴς λόγος καὶ πόνος σωτήριος ἄδεταί τε καὶ γράφεται καὶ ἐπιτηδεύεται, ὁ μὲν κατὰ τῆς ἀγνωσίας, ὁ δὲ κατὰ τῆς ἡδονῆς ὁπλιζόμενος, ὁ μὲν ἵνα τῆς ἀγνοίας ἐκτεμὼν τὰ πηρώματα τῆς ψυχῆς οἰκειώσῃ θεῷ διὰ γνώσεως τὴν ἀλήθειαν ἔχοντας, τοὺς διὰ τοῦτο τοῖς μαθήμασι χαίροντας, καὶ τῶν ὁρωμένων τε καὶ νοουμένων ὑπεράνω τὸν νοῦν παραπέμψας θέλξῃ τῷ ἀῤῥήτῳ τῆς θείας καλλονῆς ἔρωτι, καὶ προσηλώσῃ τῷ πόθῳ μηδαμοῦ φέρεσθαι δυνάμενον, μᾶλλον δὲ δυνηθῆναι μὴ ἀνεχόμενον· ὁ δὲ ἵνα τῆς καθ' ἡδονὴν σχέσεως τοὺς ἥλους ἐκκρούσηται οἷς ὁ περὶ θεὸν τῆς ψυχῆς πόθος τε καὶ τόνος ἐκ τῆς ἀρχαίας παρακοῆς πρὸς τὴν ὕλην ἐνεπάγη καὶ τὰ φθειρόμενα, καὶ ἀπαλλάξῃ κακίας τοὺς [1] ἐνεσχημένους, καὶ ἀρετῆς ποιήσειε φοιτητὰς γνησίους, καὶ ἄσειστον πρὸς πάντα τὰ κωλύειν δοκοῦντα τῆς ψυχῆς τὴν πρὸς τὸ καλὸν οἰκείωσιν ἀπεργάσηται, διδάξας
Cod. f. 182 a. πρὸς μὲν ἀποστροφὴν ἡδονῆς, | διὰ τῶν ἐφ' ἡμῖν ἀτόπων ἀπατηλῶς σαινούσης καὶ μαλασσούσης τὸ στερρὸν τῆς γνώμης, καὶ πειθούσης προαιρεῖσθαι τὰ παρόντα τῶν μελλόντων, καὶ τὰ ὁρώμενα τῶν νοουμένων, ἐγκράτειαν, πρὸς δὲ φόβου καὶ δειλίας ἀπόθεσιν, [2] δι' αὐτῶν οὐκ ἐφ' ἡμῖν τὰ ἀνήκεστα καὶ ἀνθρωπίνης εἶναι δοκοῦντα κρείττονα δυνάμεως ὑποτιθεμένων, καὶ βίᾳ κρατεῖν διὰ τῆς τῶν φοβερῶν ἐπαγωγῆς τοῦ σώφρονος λογισμοῦ μηχανωμένων, ὑπομονὴν καὶ τὴν ἐκ τούτων συμπληρουμένην ἀνδρείαν, τὴν πρὸς πᾶσαν ἡδονὴν τῶν ἐφ' ἡμῖν καὶ ὀδύνην τῶν οὐκ ἐφ' ἡμῖν ἀνένδοτον καὶ ἀήττητον ἕξιν. Κνηθομένους δὲ τὴν ἀκοὴν καὶ τὴν γλῶσσαν ἐκάλεσεν ὁ διδάσκαλος τοὺς περὶ ὧν ὁ λόγος, ἐπειδὴ πᾶς λόγος

1. *ἐνισχημένους* cod. Gud.

Digitized by Google

## Eiusdem ex sermone extemporali ad Eunomianos, in illud, ‚Sunt enim, sunt quibus auditus et lingua pruriunt.'

Qui circa vocabula exercuerunt studia, nec vulgarem sibi inde gloriam pepererunt, et accuratos eorum significatus pernoscendos et rei suum cuique et conveniens vocabulum attribuendum esse statuunt, quod proprietatem contra quodvis alienae significationis, quoquo modo dictum sit, puram et intaminatam tueatur, hi bene illud se habere et ‚prurientes auditu et lingua' esse qui novi aliquid audire vel dicere cupiant, quique semper novis rebus moliendis gaudeant, et terminos, ut expresse dicam, transponant quos patres sui collocaverunt, quique recentibus et inusitatis delectentur contraque ea quae vulgaris usus sunt et pridem cognita et non novata velut contra obsoleta et trita et vilia insurgant, adeo ut recentiora, vel si mendacia sint, neque ulla inde in animam utilitas redundet, tamen lubenter recipiant. Animae praesertim commodo omnis pius et sermo et labor salutaris praedicatur, conscribitur, adcuratur; quorum alter contra ignorantiam, alter contra voluptatem armatur, alter ut infirmis et mutilis animae partibus excisis eos qui per cognitionem veritatem habent ideoque in disciplinis versari gaudent, deo conciliet, mentemque sursum supra ea quae videntur et intelleguntur emissam ineffabili divinae pulchritudinis amore demulceat, atque ita adfigat ut nullo usquam desiderio stimulari possit, sive potius posse non sustineat: alter ut voluptatis habitus clavos excutiat quibus animae circa deum desiderium et intentio de vetere inobedientiae delicto ad materiam et ea quae interitui subiacent adplicata sunt, et improbitate indutos liberet, et virtutis veros faciat cultores, et immobiles nos et inconcussos stare faciat contra omnia quae animae cum honesto et pulchro familiaritatem ineundam prohibere videantur, ad declinandam quidem voluptatem, quae per absurditates nostras fraudulenter consilii duritatem adulatur et mollit, et praesentia futuris, quaeque videntur eis quae cogitatione percipiuntur praeferre suadet, instruens continentiâ, ad deponendum vero timorem atque metum, qui ipsi gravissima quaeque non in nostra manu sed humanam potestatem videri superare persuadent violenterque per terrorum invasionem rationis consiliique sobrietatem opprimere conantur, instruens constantia et fortitudine inde consummata, habitu ad quamlibet eorum quae in nobis sunt voluptatem, et quemlibet eorum quae extra nos sunt dolorem inperterrito et invicto. ‚Prurientes autem auditu et lingua' magister

2. διὰ τῶν cod. Gud.

Digitized by Google

διὰ γλώσσης καλεῖσθαί τε καὶ προφέρεσθαι καὶ δι' ἀκοῆς ἀκούεσθαί τε καὶ μανθάνεσθαι πέφυκεν. Εἰ δὲ καὶ κατ' ἄλλην ἐπιβολὴν ἐκδέχεσθαι θελήσομεν τὸ λεγόμενον, Κνηθόμενοι τὴν ἀκοὴν καὶ τὴν γλῶσσαν, τυχὸν οἱ μόνον πρὸς ψόγον καὶ τῆς κατ' ἄλλων διαβολῆς ἢ λοιδορίας ἀκούειν τε καὶ καλεῖν προθυμούμενοι, καὶ τὸ κατὰ παντὸς ἀμαθῶς ἐπαίρεσθαι λόγου τε καὶ ἀνδρὸς σεμνολόγημα κρίνοντες, καὶ πρὸ τοῦ τι φάναι τὸν ὕποπτον αὐτοῖς καὶ φθονούμενον σφαδάζοντες τῷ πνεύματι καὶ οἷον τὴν ψυχὴν προωθοῦντες καὶ τὴν ἀκοὴν ἑτοιμάζοντες καὶ τὴν γλῶσσαν πρὸς θήραν τινὸς συλλαβῆς ἢ λέξεως, οὐχ ἵνα εὐθύμωσιν, ἀλλ' ἵνα κακίσωσι καὶ ὕλην ἔχωσι τῆς κατ' αὐτοῦ γλωσσαλγίας. Ὅπερ ἐποιοῦντο τῷ ἁγίῳ τούτῳ ἀνδρὶ οἱ κατ' ἐκεῖνο καιροῦ τῆς ἀληθείας ἐχθροὶ, προπηδῶντες καὶ προεξανιστάμενοι, καὶ πρὶν λεχθῆναι, τῶν λεγομένων· καθάπερ τῶν ἵππων τοὺς πολεμιστηρίους τε καὶ
Cod. f. 182 b. ἀμιλλητηρίους, οἳ καὶ πρὸ τῶν ἀγώνων καὶ τῆς σάλπιγγος εὐθυτενῆ τὰ ὦτα ποιοῦσι, καὶ τοὺς πόδας τῇ γῇ προσαράσσουσι, καὶ προσκνήθονται ταύτην ταῖς ὁπλαῖς, καὶ πρὸς δρόμον ἑαυτοὺς διεγείρουσι, καὶ τὴν ὠθοῦσαν πολλάκις προλαμβάνοντες μάστιγα· πλὴν ὅτι τῶν ἵππων οὐδεὶς ἅπτεται ψόγος ὑπὸ τῆς φυσικῆς ἀλογίας, μὴ ἀναμενόντων τοὺς εὐθετοὺς τῶν ἀγώνων καιροὺς, οὓς διασημαίνει ἥ τε φωνὴ τῆς σάλπιγγος καὶ ἡ τῆς μάστιγος πληγὴ, τοῖς δὲ τοιούτοις ἀνδράσιν οὐδεὶς ἐστιν ὁ πρὸς ἀξίαν τῆς αὐτῶν κακίας ἐπινοηθῆναι δυνάμενος ψόγος. Ἔργον ἔχουσι καὶ σπούδασμα τὴν μελέτην τοῦ ψεύδους, καὶ τὴν κατὰ τῆς ἀληθείας ἔνστασιν. Εἰκότως οἱ τοιοῦτοι κνηθόμενοι τὴν ἀκοὴν καὶ τὴν γλῶτταν λεγέσθωσαν, διότι καθάπερ τις χυμὸς δριμύτατός τε καὶ παχύτατος, τῷ βάθει τοῦ σώματος ἐμφωλεύων, πολλάκις διὰ τοῦ κνήθεσθαι πρὸς τὴν ἐπιφάνειαν ἐρεθιζόμενος ἐκδίδοται, οὕτως καὶ τοὺς ἐπηρεαστὰς τῶν καλῶς λεγομένων ἐρεθίζει λαβομένους ἀφορμῆς μάλιστα δημοσιεύειν τὴν κατὰ ψυχὴν κακουργίαν ἡ κεκρυμμένη διάθεσις, ἥτις τοσοῦτον τὸ βάθος κατέχειν πέφυκε μᾶλλον, ὅσον κενοῦσθαι τῇ προόδῳ κατὰ τὸ εἰκὸς ἔδοξεν. Οὐ γὰρ ἐξίσταται τοῦ βάθους προφερομένη διὰ τῶν ἔργων ἡ τῶν μοχθηρῶν ἀνθρώπων διάθεσις, ἀλλὰ καὶ τὰ ἐκτὸς πάντα μανικῶς ἐπινέμεται, καὶ τῆς κατὰ ψυχὴν οὐδαμῶς ἐξίσταται χώρας.

Idem ibid. cap. 4., p. 490. tom. I. Opp. ed. Bened.

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ, Ὥσπερ ἄνθος ἐν χειμῶνι παντελῶς ἄωρον, καὶ γυναιξὶ κόσμος ἀνδρεῖος ἢ ἀνδράσι γυναικεῖος, ἢ πένθει γεωμετρία.

Τὴν ἐπὶ παντὸς λόγου τε καὶ πράγματος εὐταξίαν, καθ' ἣν τῆς ἑκάστου καὶ πάντων εὐπρεπείας ὁ λόγος ἀναφαίνεσθαι
Cod. f. 183 a. πέφυκεν | ἀκραιφνὴς, διὰ τῆς τῶν ἀπεμφαινόντων ἀπαριθμήσεως εἰσηγούμενος, ταῦτά φησιν ὁ διδάσκαλος, ἵνα διὰ τούτων

Digitized by Google

vocavit eos ad quos spectat sermo, siquidem omnis sermo per linguam et appellatur et profertur, atque per auditum auscultatur et ediscitur. Iam si etiam ad alterum quoque propositum excipere volumus illud, ‚Prurientes auditu et lingua' fortasse erunt qui solum ad vituperium aliorum et obtrectationem calumniamque audiendam et proferendam inclinant, et contra quemvis sive sermonem sive hominem imperite et rustice insolescere venustum et lepidum iudicant, ac priusquam is qui sibi ipsis suspectus est, vel cui invident, aliquid dicat, spiritu exultant et veluti animam propellunt auditumque praeparant et linguam ad syllabam aliquam vel locutionem venandam, non quo laetitia et hilaritate animi afficiant, sed ut iniuriam inferant materiamque suae petulantiae habeant. Id quod huic sancto viro accidit illo tempore ab veritatis inimicis, eiusmodi qui prosiliunt, et vel priusquam dicta sint, in verbis ansam et occasionem se incitandi arripere solent; in modum equorum bellatorum celetumque, qui vel ante certamen et tubam aures arrigunt et pedibus terram pulsant et ungulis fodiunt, et ad cursum se incitant et flagellum instigans haud raro antevertunt; nisi quod nullum equos, quia rationis sunt expertes, vituperium tangit, si legitima certaminum tempora non expectant quae tubae sonitu et flagelli ictu significantur, tales contra viri nullo vituperio possunt ad suam nequitiam aestimandam commoveri. Negotium eis et studium est mendacii meditatio et veritatis expugnatio. Quare merito eiusmodi ‚prurientes auditu et lingua' dicantur, propterea quod ut aliqui succus acerbissimus et crassissimus, qui in corporis profundo delitescit, haud raro per pruriginem irritatus in apertum provocatur, ita etiam hos bonorum sermonum obtrectatores occulta quaedam affectio, postquam ansam arripuerunt, ad animae malignitatem in publicum evomendum praecipue irritat, quae affectio tanto profundius sedet quanto processu suo videatur debilitari. Etenim non excedit de profundo per facinora edita improborum hominum affectio, sed etiam externa omnia furore suo depascitur, et suam in anima sedem haudquaquam relinquit.

## Ex eodem sermone, in illud, ‚Quemadmodum flos in hieme plane intempestivus, et mulieribus virilis ornatus vel viris muliebris, aut maerori geometriae studium.

Moderationis in omni sermone omnique negotio, qua uniuscuiusque et universorum decoris ratio integra ac pura manifestatur, per dissimilium enumerationem exemplum proponens haec dicit magister, quibus ut moderati esse et cauti

Digitized by Google

εὐτάκτους εἶναι καὶ εὐλαβεῖς τοὺς θρασεῖς καὶ ἀτάκτους καὶ μηδεμίαν τάξιν εἰδότας, οὐδενὸς μὲν, μάλιστα δὲ τῆς περὶ θεοῦ διαλέξεως, ἀλλὰ πάντα τολμηρῶς ἀλλήλοις παμμιγῶς τὰ διεστῶτα φύροντάς τε καὶ συγχέοντας διδάξειεν. Εἰ γὰρ τῶν οὐκ ἐχόντων φύσιν ἐστὶ, καὶ διὰ τοῦτο οὐδὲ τάξιν, τό τε ἄνθος ἐν χειμῶνι ὁρώμενον, καὶ γυναῖξὶ κόσμος ἀνδρεῖος ἐπιβεβλημένος, καὶ ἀνδράσι γυναικεῖος, καὶ πένθει συνημμένην γεωμετρίαν λέγειν (τὸ μὲν γὰρ καινοτομεῖ τὸν χρόνον καὶ τῆς ἰδίας ἐξίσταται θέσεως, ὁ δὲ παραχαράττει τὴν φύσιν ἐναλλὰξ, ἀνδρί τε καὶ γυναικὶ ἐπιφαινόμενος, καὶ τὴν αὐτοῖς προσοῦσαν ἐκ φύσεως τάξιν ἐξίστησιν, ἡ δὲ τὰ μηδέπω συνυπάρχειν ἀλλήλοις δυνάμενα, χαράν τέ φημι καὶ πένθος, εἰς ἓν ἀγαγεῖν βιαζομένη φύρει πάντως καὶ ἀφανίζει), οὐ πολλῷ μᾶλλον ὁ περὶ θεοῦ λόγος, ὡς ἔτυχε καὶ ὑπὸ τοῦ τυχόντος, καὶ ἡνίκα καὶ οὗ μὴ καθῆκον ἔτι προφερόμενος, ἀεισδὴς ἔσται καὶ ἀπρεπὴς, καὶ οὐδ' ὅλως ἀκουσθῆναι περὶ θεοῦ ἄξιος, ἐφ' οὗ μᾶλλον τοσοῦτον τιθέναι δεῖν οἶμαι τὸ εὔκαιρον τοὺς νοῦν ἔχοντας, ὅσον πάντων ἀσυγκρίτως προβεβλημένων, πένθει δὲ γεωμετρίαν ἀνάρμοστόν φησιν ὁ διδάσκαλος. Ὁ δὲ μᾶλλον ἀπορεῖν ὑμᾶς πεποίηκεν, ὡς οἶμαι, κατὰ τοιούσδε τρόπους, ἢ ὅτι περ οἱ χώρας τινὸς διὰ στρατιωτικῆς κρατήσαντες χειρὸς γεωμετρίᾳ ταύτην καταδιαιροῦνται, ἡνίκα βασιλείας νόμῳ κρατεῖν | ἐθέλωσι, χαρᾶς δὲ καὶ χρῆμα μέγιστον, χαρᾶς, τοῖς μόνα τὰ παρόντα μεταδιώκουσιν ἀγαθὰ, καὶ τὸ νικητὰς αὐτοὺς γενέσθαι, καὶ πλοῦτον ἀθρόον κτήσασθαι, οἷς τὸ οἰονοῦν πένθος συνεῖναι ἀμήχανον· ἢ ἐπειδή φασιν οἱ περὶ ταῦτα δεινοὶ τοὺς ἀναγκαστικοὺς ἰδίως συλλογισμοὺς ἀνῆφθαι τῇ γεωμετρίᾳ, φορτικός τις εἰκότως ὀφθήσεται, καὶ τὸ καθῆκον μὴ συνορῶν, τὸν πενθοῦντα συλλογιζόμενος καὶ ἀλόγως αὐτὸν πενθοῦντα δεῖξαι πειρώμενος· ἢ τυχὸν καὶ αὐτῷ τῷ πενθοῦντι φαίη τις ἀνάρμοστον εἶναι τὸ συλλογίζεσθαι, πιθανότητι λόγων ἑαυτὸν μηχανώμενος πείθειν ὡς οὐ πέπονθε τὴν ἔργῳ καὶ πράγματι συμβᾶσαν αὐτῷ συμφορὰν, ἢ καὶ αὐτῷ τῷ πένθει, ἤτοι τῇ τούτου φύσει, παντελῶς ἐναντίον. Ἐκκρούεται γὰρ ὥςπερ τὸ πένθος ὁ πενθῶν συλλογιζόμενος, οὕτω καὶ τὸ πένθος τοῦ εἶναι πένθος ἐκπίπτει, πρὸς συλλογισμὸν μετατιθέμενος. Ἀποβαλὼν γάρ τις τὸν εἰς ὃν τὰς ἐλπίδας εἶχε τῆς διαδοχῆς, περιττὰ λοιπὸν ἡγεῖται τὰ τῇδε πάντα. Καὶ κατὰ τοῦτον ἴσως τὸν τρόπον οὐκ ἔξω λόγου φαίη τις εἶναι τὰ θεωρηθέντα, γνοὺς μὴ δύνασθαι συμβαίνειν ἀλλήλοις κατὰ τὸ αὐτὸ τὴν χαρὰν καὶ τὸ πένθος, τῆς ἑκατέρου ποιητικῆς αἰτίας οὐκ ἐκ τῶν αὐτῶν ἀρχῶν ἐχούσης δηλονότι τὰς ἀφορμάς. Καὶ τούτων μάρτυς ἐχέγγυος ὁ ἅγιος καὶ θεόφρων Διονύσιος ὁ Ἀρεοπαγίτης, οὑτωσὶ διεξιὼν περὶ τῆς ἀγγελικῆς εἰκονογραφίας· Τὰ δὲ γεωμετρικὰ καὶ τεκτονικὰ σκεύη, τὸ θεμελιωτικὸν καὶ οἰκοδομικὸν καὶ τελειωτικὸν, καὶ ὅσα ἄλλα τῆς ἀνα-

Cod. f. 183 b.

Dionys. Areopag. de Caelesti Hierarchia cap. 15., p. 131. tom. I. Opp. ed. Venet.

Digitized by Google

velint protervi et immoderati nulliusque modi gnari, nullius quidem rei, sed inprimis disputandi de deo modi, verum audacter cuncta discrepantia inter se temere commiscentes atque confundentes instruat. Etenim si praeter naturam est legitimumque rerum ordinem flos in hieme spectatus, ac mulieribus ornatus virilis indutus aut viris muliebris, et maerori aptam geometriam dicere (ille enim tempus novat suamque positionem et ordinem destituit, alter vero invicem in viro et muliere apparens naturam adulterat et modum ex natura eis convenientem ac proprium tollit, tertia dum quae coexistere nequeunt, gaudium inquam et maerorem, in unum cogere temptat, inquinat ea prorsus et perimit), nonne multo potius sermo de deo temere et a quolibet fusus et quo haud decet tempore et loco insuper prolatus, informis et inconveniens erit, et nequaquam dignus qui audiatur, cum, ut ego sentio, tanto potius necesse sit idoneum de deo disserendi tempus deligant prudentes, quanto in rebus plane discrepantibus nullumque commercium inter se habentibus, quas commemoravit magister, geometriam a maerore dissidere ait. Hic autem magis haesitare, uti videtur, vos fecit hisce modis: vel, quod qui militari manu regionem aliquam occupaverunt, geometriae ope dispertiunt, cum regni lege obtinere voluerint, summi gaudii vero negotium esse, certe gaudii eis qui sola praesentia sequantur bona, et superiores fieri, et divitias spissas comparare, cum quibus commodis qualiscunque maeror iunctus esse non possit: vel, cum qui in hac re periti sunt syllogismos proprie coactivos tribui geometriae dicant, fatuus merito videbitur, et quid deceat parum intellegens, qui ad ipsum maerentem applicato syllogismo inepte eum maerere probare conatus fuerit: vel fortasse etiam ab ipso maerore, id est a natura eius, abhorrere aliquis dixerit, nec convenire ut qui maeret syllogismos colligat ac probabilibus rationibus sibi persuadere temptet casum qui revera acciderit sibi non accidisse. Quomodo enim maeror ex eo expellitur qui dum maeret ratiocinatur et syllogismis operam dat, ita etiam maeror maeror esse desinit, cum ad syllogismum se transfert. Nam si quis eum amisit in quo spem successionis collocaverat, superflua sibi et vana haec terrena omnia habebit. Et hoc fortasse modo haud abhorrere a ratione aliquis dixerit ea quae contemplati sumus, si meminerit non posse unâ contingere gaudium et maerorem, cum utriusque efficiens causa non ex eisdem principiis profecta sit. Cuius rei sponsor et testis nobis est sanctus et divina sapiens Dionysius, Areopagita, qui de angelica descriptione ita edisserit: ‚Geometrica autem atque fabrilia instrumenta fundandi et aedificandi absolvendique facultatem, et quaecunque alia subductricis et deductricis sunt inferiorum providentiae.‘ Quae



Digitized by Google

Cod. f. 184 a. γωγοῦ καὶ ἐπιστρεπτικῆς ἐστι τῶν δεντέρων | προνοίας. Ταῦτα δὲ πάντα φαιδρὰν ἐνδείκνυται διαγωγὴν, ἥτινι πάντως τὸ πένθος ἐναντίον, καὶ διὰ τοῦτο ἀνάρμοστον. Εἰ δὲ καὶ ἄλλως ἔστιν ἐκλαβεῖν τὸν τόπον, οὐκ ἄκαιρον εἶναι νομίζω, καὶ τὸ
Sir. 22, 6. τοῦ Σιρὰχ Ἰησοῦ προσθεῖναι τοῖς εἰρημένοις. Ἔστι δὲ τοῦτο· Μουσικὰ ἐν πένθει, ἄκαιρος διήγησις. Ὡς οὖν τῆς μουσικῆς πάσας περιεχούσης τὰς παιδεύσεις, ὧν μίαν φασὶ τὴν γεωμετρίαν οἱ περὶ ταῦτα τὴν σπουδὴν ἐσχηκότες, τούτου χάριν, ὡς οἶμαι, συμφερόμενος τῷ τὴν προρρηθεῖσαν ἐκθεμένῳ ῥῆσιν ὁ διδάσκαλος ἀνάρμοστον ἔφη τῷ πένθει τὴν γεωμετρίαν. Εἰ δέ τις φαίη, Τί δήποτε τὰς λοιπὰς παρεὶς παιδεύσεις ταύτην μόνην ὡς ἀνάρμοστον τῷ πένθει παρείληφε, φαμὲν ὅτι ταύτην ἐσκόπησε κατάλληλον εἶναι πάσαις ταῖς προλεχθείσαις ἐπιβολαῖς. Ἔπειτα δὲ καὶ διὰ ταύτης τῆς μίας καὶ αἱ λοιπαὶ συνεκδοχικῶς συμπαρελήφθησαν. Ταῦτα μὲν, κατ' ἐμὲ φάναι, λελέχθω. Εἰ δέ τις τὸ κρεῖττον ἐξεύροι, ὁμολογήσω χάριν τῶν ἠγνοημένων παρ' αὐτοῦ τὴν γνῶσιν λαβών.

Greg. Nas. Or. Theol. II. cap. 6., p. 499. tom. I. Opp. edit. Bened. Τοῦ αὐτοῦ, ἐκ τοῦ μεγάλου Θεολογικοῦ, εἰς τὸ, Τοῦ μὲν γὰρ εἶναι θεὸν καὶ τῶν πάντων ποιητικήν τε καὶ συνεκτικὴν αἰτίαν καὶ ὄψις διδάσκαλος καὶ ὁ φυσικὸς νόμος, ἡ μὲν τοῖς ὁρωμένοις προσβάλλουσα καὶ πεπηγόσι καλῶς καὶ ὁδεύουσι, καὶ ἀκινήτως, ἵν' οὕτως εἴπω, κινουμένοις τε καὶ φερομένοις, ὁ δὲ διὰ τῶν ὁρωμένων καὶ τεταγμένων τὸν ἀρχηγὸν τούτων συλλογιζόμενος.

Ὁ τὸ μέγεθος τῶν ὁρωμένων ὡς ἔχει κάλλους καὶ φύσεως, σὺν λόγῳ κατὰ τὴν αἴσθησιν ἐπελθὼν, μὴ συγχωρῶν αὐτῇ παντελῶς καθ' ἑαυτὴν γενομένην ἐνεργεῖν τοῦ ἡνιοχοῦν-
Cod. f. 184 b. τος αὐτὴν λόγου ἐχωρισμένην οὐδὲν, | μηδὲ τὸν λόγον αὐτὸν τῆς τοῦ νοῦ ἁπλότητος ἄφετον, καθ' ὃν τῆς μὲν αἰσθήσεως τά τε εἴδη καὶ τὰ σχήματα διὰ μέσης τῆς κατὰ τὸν λόγον δυνάμεως εἰς λόγους παντοδαποὺς ἄγεσθαι πέφυκε, τῆς δὲ τοῦ λόγου δυνάμεως ἡ κατὰ τὴν διαφορὰν ποικιλία τῶν ἐν τοῖς οὖσι παντοδαπῶν λόγων εἰς ἐνοειδῆ καὶ ἁπλῆν καὶ ἀδιάφορον συνάγεσθαι νόησιν, καθ' ἣν ἡ ἀμερὴς λεγομένη καὶ ἄποσος καὶ ἐνιαία γνῶσις συνέστηκεν, οὗτος ἀληθῶς διὰ τῶν ὁρωμένων καὶ τῆς ἐν αὐτοῖς εὐταξίας τὸν ποιητὴν τούτων καὶ συνοχέα καὶ ἀρχηγὸν, ὡς ἀνθρώπῳ δυνατὸν, ἀνετυπώσατο, καὶ ἔγνω θεὸν, οὐ κατὰ τὸ τίποτε τὴν οὐσίαν εἶναι καὶ τὴν ὑπόστασιν (τοῦτο γὰρ ἀμήχανον καὶ ἀνεπιχείρητον), ἀλλὰ κατ' αὐτὸ τὸ μόνον εἶναι μαθών. Καὶ ταῦτα μετὰ πᾶσαν τὴν κατ' αἴσθησιν ἐν σχήματι θέσεώς τε καὶ μορφῆς καὶ τυπώσεως καὶ φαντασίας διάβασιν, καὶ εἰ μή τῳ περιττὸς

Digitized by Google

omnia hilare monstrant institutum, cui plane adversatur maeror, et dissidet. Sed etiam si aliter locum accipere potes, haud tamen inoportunum esse reor etiam Sirach Iesu eis quae disseruimus apponere dictum. Est autem hoc: ‚Musica in luctu est intempestivus sermo.' Cum igitur musica omnes disciplinas circumplectatur, quarum unam esse geometriam dicunt qui in iis rebus studium posuerunt, propterea, ut puto, magister supradictae vocis interpretationi assentiens geometriam a maerore dissidere dixit. Sed si quis dicat, Quid tandem ceteris disciplinis omissis hanc solam tanquam incongruentem cum maerore composuit, respondemus hanc eum apte vidisse posse iungi cum supra propositis. Deinde vero etiam hac una reliquae quoque eâdem sunt comprehensae atque coniunctae. Atque haec me exposuisse sufficiat. Verum si quis melius investigaverit, si eorum quae ignorabam ab eo interpretationem accepero, gratias habebo.

Eiusdem ex magno theologico, in illud, ‚Etenim quod deus sit, ac princeps quaedam causa, quae res omnes procrearit atque conservet, tum oculi ipsi, tum lex naturalis docent, illi, dum rebus in aspectum cadentibus aciem affigunt, easque et pulchre fixas et stabiles esse et progredi, atque immote, ut ita dicam, moveri volvique perspiciunt, haec autem dum per res oculis subiectas ac recto ordine collocatas auctorem earum certo quidem ratiocinando assequitur.

Qui eorum quae videntur pulchritudinis, qua ornata sunt, et naturae amplitudinem cum ratione sensualiter aggreditur, haud eam per se creatam efficere quicquam concedet et a moderatrice sui ratione disiunctam, nec ipsam rationem intellectus simplicitate liberam, qua ratione tam sensus species et formae per mediam potestatem rationalem in omnifarias rationes diriguntur, quam rationalis potestatis diversitate varietas omnifariarum eorum quae sunt rationum in uniformem et simplicem et indifferentem intellectionem cogitur, qua individua, ut dicitur, et quantitatis expers et simplex cognitio constat, is revera quantum id homini licet, per visibilia eorumque ordinem factorem ipsorum et conservatorem et principem animo sibi informavit, atque deum agnovit, non quo quid essentia et substantia sint (nam hoc fieri non potest), at de singularitate existentiae eius doctus. Atque haec post omnem sensualis in specie positionis et figurae et formationis et imaginis transitum, et, si cui non nimius esse videbor, extra ipsam quoque plane rerum quae sunt rationum



Digitized by Google

εἶναι δοκῶ, καὶ αὐτῆς ἔξω παντελῶς τῆς ἐν τοῖς λόγοις τῶν ὄντων διαφορᾶς γενόμενος, καὶ οἷον μεθόριον ἑαυτὸν παρενθεὶς θεοῦ τε καὶ πάντων τῶν μετὰ θεὸν, τὸν μὲν ὡς ὑπερέχοντος καὶ ἀψαύστου δι' ὅλου μένοντος καὶ μηδεμίαν φθάνουσαν αὐτὸν ἔχοντος νόησιν, τῶν δὲ καταλελειμμένων καὶ τῇ περιουσίᾳ τῆς κατὰ νοῦν γνώσεως διαβαθέντων καὶ κατωτέρων ἐννοίας φανέντων τῷ τίποτε εἶναι βεβαίως ὑπὲρ αὐτὰ καὶ ἀληθῶς ἐννοῆσαι, ταῦτά μοι δοκεῖ διὰ τῆς ὄψεως καὶ τοῦ φυσικοῦ νόμου κατὰ τὴν ἀποδοθεῖσαν αἰτίαν ὁ διδάσκαλος παραινίττεσθαι, ἀλλ' οὐ ταὐτὸν τίθεσθαι, καθώς τινες ὠήθησαν, τὴν ὄψιν τε καὶ τὸν φυσικὸν νόμον. Ἄμφω γὰρ περὶ τὰ αὐτὰ τὴν ἐνέργειαν ἔχοντα τὴν ἀπ' ἀλλήλων δύναται
Cod. f. 185 a. κατ' ἐπίνοιαν δέχεσθαι διάκρισιν, τῷ τὴν μὲν | ἀλόγως τῇ προσψαύσει τῶν ὁρατῶν μόνον στηρίζεσθαι περαιτέρω βαίνειν οὐκ ἔχουσαν, τὸν δὲ τῷ τε συνημμένῳ λόγῳ ταῦτα πολυπραγμονεῖν καὶ τῷ νῷ καλῶς τε καὶ σοφῶς ὑπερβαίνειν, καθ' ὃ μάλιστα τὴν περὶ τοῦ εἶναι θεὸν ἔννοιάν τε καὶ πίστιν ὁ φυσικὸς διὰ τῆς ὄψεως εἰσαγήοχε νόμος. Ὅψιν οὖν ἐκάλεσε τὴν ἁπλῶς, ἀλλ' οὐ τὴν πῶς, πρὸς τὰ αἰσθητὰ τῆς αἰσθήσεως προσβολὴν (οὐ γὰρ αἰσθήσεως ἁπλῶς τὸ ἔκ τινος ἕτερόν τι συλλογίζεσθαι καθέστηκεν ἴδιον), νόμον δὲ φυσικὸν τὴν διὰ τῆς αἰσθήσεως γινομένην κατὰ νοῦν καὶ λόγον φυσικὴν ἐνέργειαν, καθ' ἣν ἡ πρὸς τὸ κρεῖττον μετ' ἐμμελοῦς ἐξετάσεως καθ' ὁδὸν ἀπὸ τῶν ἡττόνων ἀνάβασις γίνεται. Ἀκινήτως δὲ κινεῖσθαί τε καὶ φέρεσθαι τὰ ὁρώμενα εἴρηται τῷ διδασκάλῳ τῷ μὲν λόγῳ, ᾧ γέγονε ταῦτα, κατά τε φύσιν καὶ δύναμιν καὶ ἐνέργειαν, τάξιν τε καὶ διαμονὴν ἀμεταστάτως ἔχειν, καὶ μὴ ἐξίστασθαι καθ' ὁτιοῦν τῆς φυσικῆς ἰδιότητος καὶ μεταβάλλειν εἰς ἄλλο καὶ φύρεσθαι, κινεῖσθαι δὲ πάλιν τῷ κατὰ ῥοὴν καὶ ἀπορρόην λόγῳ, αὐξήσει τε τῇ περὶ τὸ ποσὸν καὶ μειώσει καὶ τῇ περὶ τὸ ποιὸν ἀλλοιώσει, καὶ κυρίως εἰπεῖν, τῇ ἐξ ἀλλήλων διαδοχῇ, ὑπεξισταμένων ἀεὶ τοῖς ἐπιγινομένοις τῶν προειληφότων. Καὶ ἁπλῶς ἵνα συνελὼν εἴπω, πάντα τὰ ὄντα, καθ' ὃν μὲν ὑπέστησάν τε καί εἰσι λόγον, στάσιμά τε παντελῶς εἰσι καὶ ἀκίνητα, τῷ δὲ τῶν περὶ αὐτὰ θεωρουμένων λόγῳ, καθ' ὃν ἡ τοῦ παντὸς τούτου σαφῶς οἰκονομία συνέστηκέ τε καὶ διεξάγεται, πάντα κινεῖται δηλονότι καὶ ἀστατεῖ. Οὐ ταὐτὸν δέ φασιν εἶναι τῇ
Cod. f. 185 b. φορᾷ τὴν κίνησιν. Τὴν μὲν γὰρ κίνησιν μᾶλλον εἶναί | φασι τῶν ὑπὸ γένεσιν καὶ φθορὰν, ὡς ἐπιδεχομένων τοῖς περὶ αὐτὰ θεωρουμένοις τὸ μᾶλλον καὶ τὸ ἧττον (κἂν ἐπὶ πάντων ὁμοῦ τῶν γενητῶν κυρίως λέγεσθαι δυνατὸν), τὴν δὲ φορὰν τῆς κατὰ κύκλον κινουμένης οὐσίας καὶ ἀκαμάτως τὴν περιδίνησιν. Οὐκ οἶδα πότερον θαῤῥήσαντι περὶ τὸ πᾶν φυσικῶς ἐνεργούσης λέγειν ἐστὶν ἀσφαλὲς ἢ ἐνεργουμένης, πλὴν ὅτι κυρίως εἰπεῖν ἐστιν ἐνεργουμένης τὸ φέρεσθαι. Οὐδὲν γὰρ τῶν ὄντων παντελῶς ἐστιν αὐτενέργητον, ὅτι μηδὲ ἀναί-

Digitized by Google

differentiam constitutus, et quasi conterminum sese interponens inter deum et universorum quae post deum sunt, quorum alter supereminet et intactus aeterne manet, neque ullum qui se assequatur aut attingat intellectum habet, altera relicta sunt et mentalis cognitionis exsuperantia superata, et mente inferiora visa, cum quid superius eis sit firmiter esset ac vere intellectum, — haec mihi magister per visum et naturalem legem secundum rationem redditam significare, non vero ut quidam existimaverunt, pro uno et eodem ponere visum et legem naturalem. Uterque enim circa eadem vim suam exercens quomodo ab altero differat cogitando potest percipi, cum alter irrationaliter visibilium tactu solum nisus ulterius progredi non possit, altera et ratione socia adiuncta de eis diligenter inquirit et mente bene atque prudenter transcendit, quo maxime cogitationem et fidem de dei existentia naturalis per visum lex insinuavit. Visum igitur appellavit sensum simpliciter, non aliquo modo, sensibilia petentem (neque enim sensus peculiare est simpliciter aliquid ex aliquo aliud colligere), et legem naturalem vim naturalem quae intellectualiter ac rationaliter per sensum fiat, secundum quam a peiore fit idoneae explorationis ope ad melius ascensus. Immobiliter vero moveri ferrique ea quae videntur magister dicit ea qua facta sunt ratione, secundum naturam et potestatem et actionem, ordinem atque perseverantiam, immutabilia esse, et non ullo modo de naturali proprietate cedere mutarique in alterum et commisceri, ac moveri rursus fluxus et defluxus ratione, incremento et decremento, quo quantitas, et immutatione, qua qualitas afficitur, et ut proprie dicam, alterius ex altero successione ac vicissitudine, dum anticipata semper cedunt eis quae subsequuntur. Atque ut paucis absolvam, universa quae sunt, secundum rationem qua extiterunt ac sunt, firma omnino sunt et immota, sed ratione eorum quae circa ipsa contemplamur, qua universitatis huius manifesto constat oeconomia et absolvitur, universa, ut apparet, motantur et inquietantur. Nec tamen impetum et motionem idem significare statuunt. Motionem enim magis tribuunt eis quae generationi subiacent et interitui, ut quae eis quae circa ipsa observantur augendi minuendique notionem admittunt (etiamsi de cunctis creatis proprie dici id potest), impetum vero substantiae esse volunt circulo sese et indefesse commoventis rotationem. Nescio utrum de universo dicere conanti naturaliter operari id tutum sit, an incitari, nisi quod eius qui incitatur peculiare dicendum est ferri. Nulla enim res, quaecunque existunt, ipsa per se operatur omnino, quia nec causa caret; quod vero causa non caret, id omnino per causam movetur, unde apparet quod causâ incitatur ad se commovendum naturaliter ad quam et quo

Digitized by Google

τιον, τὸ δὲ μὴ ἀναίτιον, κινεῖται πάντως δι' αἰτίαν, ἐνεργούμενον δηλονότι τὸ κινεῖσθαι φυσικῶς ὑπὸ τῆς αἰτίας, δι' ἣν καὶ πρὸς ἣν ποιεῖται τὴν κίνησιν. Ἀναιτίως γὰρ οὐδαμῶς κινεῖται καθ' οἱονδήτινα τρόπον τῶν κινουμένων οὐδέν. Ἀρχὴ δὲ πάσης κινήσεως φυσικῆς ἐστιν ἡ τῶν κινουμένων γένεσις, ἀρχὴ δὲ τῆς τῶν κινουμένων γενέσεως ὁ Θεὸς, ὡς γενεσιουργός. Τῆς δὲ τῶν γεγενημένων φυσικῆς γενέσεως τέλος ἡ στάσις ἐστὶν, ἣν ποιεῖ πάντως μετὰ τὴν διάβασιν τῶν πεπερασμένων ἡ ἀπειρία, ἐν ᾗ διὰ τὸ μὴ εἶναι διάστημα πᾶσα ποιεῖται κίνησις τῶν [1] φυσικῶν κινουμένων, οὐκ ἔχουσα λοιπὸν ὅποι τε καὶ πῶς καὶ πρὸς τί κινηθῆναι, ὡς τὸν ὁρίζοντα καὶ αὐτὴν τὴν πάσης ὁριστικὴν κινήσεως ἀπειρίαν θεὸν τέλος ὡς αἴτιον ἔχουσα. Πάσης οὖν γενέσεώς τε καὶ κινήσεως τῶν ὄντων, ἀρχὴ καὶ τέλος ἐστὶν ὁ Θεὸς, ὡς ἐξ αὐτοῦ γεγενημένων καὶ δι' αὐτοῦ κινουμένων, καὶ εἰς αὐτὸν τὴν στάσιν ποιησομένων. Πάσης δὲ φυσικῆς τῶν ὄντων κινήσεως προεπι-
Cod. f. 186 a. νοεῖται ἡ γένεσις, πάσης δὲ στάσεως προεπινοεῖται | κατὰ φύσιν ἡ κίνησις. Εἰ οὖν κινήσεως προεπινοεῖται κατὰ φύσιν ἡ γένεσις, κινήσεως δὲ μετεπινοεῖται κατὰ φύσιν ἡ στάσις, γένεσις δηλονότι καὶ στάσις εἶναι τῶν ἅμα κατὰ τὴν ὕπαρξιν ἀμήχανον, ἀλλήλων αὐτὰς φυσικῶς [2] διείργουσαν ἔχουσαι κατὰ τὸ μέσον τὴν κίνησιν. Οὐ γὰρ φυσικὴ ἐνέργεια τῆς γενέσεως τῶν κινουμένων ἡ στάσις ἐστὶν, ἀλλὰ τέλος τῆς κατ' αὐτὴν δυνάμεως ἢ ἐνεργείας, ἢ ὅπως ἄν τις ἐθέλοι τοῦτο λέγειν. Ἐπ' ἐνεργείᾳ γὰρ τὰ γενόμενα γέγονε, πᾶσα δὲ ἐνέργεια πρός τι τέλος ἐστὶν, ἵνα μὴ ἀτελής. Τὸ γὰρ τέλος μὴ ἔχον τῶν κατὰ φύσιν ἐνεργειῶν οὐδὲ τέλειόν ἐστι, τέλος δὲ τῶν κατὰ φύσιν ἐνεργειῶν, ἡ τῆς πρὸς τὸ αἴτιον τῶν γεγενημένων κινήσεως στάσις. Οἷον ἵνα ἐξ ἑνὸς τὸν ἐπὶ πάντων τῶν ὄντων κατανοήσωμεν τῆς κινήσεως τρόπον, ἡ ψυχὴ, οὐσία νοερά τε καὶ λογικὴ ὑπάρχουσα, καὶ νοεῖ καὶ λογίζεται, δύναμιν ἔχουσα τὸν νοῦν, κίνησιν δὲ τὴν νόησιν, ἐνέργειαν δὲ τὸ νόημα. Πέρας γὰρ τοῦτο τῆς τε τοῦ νοοῦντος καὶ τοῦ νοουμένου νοήσεώς ἐστιν, ὡς περιοριστικὸν τῆς πρὸς ἄλληλα τῶν ἄκρων ὑπάρχον σχέσεως. Νοοῦσα γὰρ ἡ ψυχὴ ἵσταται τοῦ νοεῖν ἐκεῖνο τὸ νοηθὲν μετὰ τὴν αὐτοῦ νόησιν. Τὸ γὰρ νοηθὲν κυρίως ἅπαξ, οὐκ ἔτι τὴν πρὸς τὸ νοηθῆναι πάλιν ἐκκαλεῖται τῆς ψυχῆς δύναμιν, καὶ καθ' ἕκαστον νόημα οὕτω στάσιν δέχεται τῆς ποίας ἐπὶ τῷ νοήματι τοῦ νοηθέντος νοήσεως. Ἡνίκα οὖν πάντα τὰ νοήματα τῶν νοουμένων πάντων αἰσθητῶν τε καὶ νοητῶν κατὰ τὴν νόησιν παρέλθῃ, παύεται, ὥσπερ τῶν νοουμένων ἁπάντων, οὕτω καὶ τῆς ὅλης νοήσεώς τε καὶ σχέσεως πρὸς τὰ σχετὰ πάντα καὶ νοητὰ, οὐκ ἔχουσα λοιπὸν τί νοῆσαι τὸ παράπαν, μετὰ τὴν τῶν νοηθῆναι φυσικῶς δυναμένων νόησιν, μεθ' ἣν ὑπὲρ νοῦν καὶ λόγον καὶ χνῶσιν

1. Fortasse *φυσικῶς*.

Digitized by Google

motionem dirigit. Sine causa enim eorum quae moventur nihil usquam ullo modo movetur. Initium vero omnis naturalis motionis est eorum quae moventur generatio, cuius rursus ipsius initium deus est, ut generationis auctor. Eorum quae facta sunt naturalis generationis finis est status, quem plane post consummatorum transgressum infinitas efficit, in qua propter existentiae cessationem omnis motio eorum naturalium quae moventur intervallum facit, non reliquum habens quo aut quomodo et ad quid moveatur, cum deum, qui vel ipsam omnis motionis terminatricem infinitatem definit, finem ut causam habeat. Itaque omnis generationis et motionis rerum existentium initium et finis deus est, cum ex eo generatae sint et motentur, statum quoque in eum facturae. Omni vero naturali rerum quae sunt motione prior intellegitur generatio, omnique statu prior secundum naturam intellegitur motio. Iam si motionem secundum naturam anticipat generatio, motionem vero secundum naturam subsequitur status, apparet generationem et statum simul subsistere non posse, dum mediam, quae alteram ab altera naturaliter dirimat, habeant motionem. Non enim naturalis actio generationis motorum status est, sed finis potestatis vel actionis ad statum pertinentis, vel quoquo id aliquis modo dicere volet. Sub actione enim quae facta sunt facta sunt, omnis vero actio ad finem aliquem pertinet, ne fine careat. Quodcunque enim naturalium actionum finem non habet, id nec perfectum est, finis autem naturalium actionum eorum quae facta sunt ad causam motionis est status. Quemadmodum, ut ex uno quaecunque sunt omnium motionis modum perspiciamus, anima, cum intellectualis et rationalis essentia sit, et cogitat et ratiocinatur, facultate utens mente, motione cogitatione, actione denique cogitato. Hoc enim cogitantis et eius quod cogitatur cogitationis finis est, ut quod extremitatum mutuam inter se relationem circumscribit. Cogitare enim anima desinit illud cogitatum postquam cogitavit. Nam cogitatum proprie semel, neque iterum, animae facultatem provocat, et per singulas quasque cogitationes sic statum capit qualiscunque cogitationis in cogitando eo quod cogitatur. Quando igitur omnia cogitata omnium quae cogitari possunt sensibilium et cogitabilium cogitatione transiverit, desinet anima, uti ab omnibus quae cogitantur, ita etiam a tota cogitatione atque relatione ad omnia tam relativa quam cogitabilia, nec habet reliquum omnino quid cogitet, post cogitationem eorum quae naturaliter cogitari possunt, post quam supra mentem et rationem et cognitionem modo nec intelligibili nec perceptibili nec effabili cum deo unietur, non cogitans omnino, immo neque

2. διέρχουσαν cod. Gud.

Digitized by Google

Cod. f. 186 b. ἀνοήτως, ἀγνώστως τε καὶ | ἀφράστως κατὰ ἁπλῆν προςβολὴν ἑνωθήσεται τῷ θεῷ, οὐ νοοῦσα παντάπασιν, οὔτε μὴν τὸν θεὸν λογιζομένη. Οὐ γὰρ ἔστι τι τῶν νοουμένων, ἵνα κατά τινα σχέσιν ἡ ψυχὴ τὴν αὐτοῦ δύνηται νόησιν ἐχειν, ἀλλὰ κατὰ τὴν ἁπλῆν, ὡς ἄσχετον, καὶ ὑπὲρ νόησιν ἕνωσιν, καί τινα λόγον ἄῤῥητόν τε καὶ ἀνερμήνευτον, ὃν μόνος οἶδεν ὁ τὴν ἄφατον ταύτην χάριν τοῖς ἀξίοις δωρούμενος θεὸς, καὶ οἱ ταύτην ὕστερον πείσεσθαι μέλλοντες, ἡνίκα πάντα τροπῆς ἐλεύθερα καὶ ἀλλοιώσεως ἔσται πάσης, τῆς καθ' ὁτιοῦν περί τι κινήσεως τῶν ὄντων παντελῶς πέρας λαβούσης τὴν περὶ θεὸν ἀπειρίαν, ἐν ᾗ τὰ κινούμενα πάντα δέχεται στάσιν. Περὶ θεὸν γὰρ, ἀλλ' οὐ θεὸς, ἡ ἀπειρία, ὅστις καὶ ταύτης ἀσυγκρίτως ὑπέρκειται. Δικαίως γοῦν, οἶμαι, μέμψεως ἄξιός πλείστης ὁ τὴν προὔπαρξιν τῶν ψυχῶν δογματίζων ἐστὶ, καὶ τὴν ἀκίνητον καθόλου τῶν λογικῶν ἑνάδα θεσπίζων, φύρων Ἑλληνικῶς τὰ μὴ φυρόμενα, καὶ λέγων ἅμα κατὰ τὴν ὕπαρξιν εἶναι τῇ γενέσει τῶν λογικῶν τὴν στάσιν. Οὐ γὰρ συμβαίνει τῷ ἀληθεῖ λόγῳ τὴν γένεσιν προεπινοεῖσθαι τῆς στάσεως, ἀκίνητον φύσει κατ' αὐτὸν ὑπάρχουσαν, οὔτε μετεπινοεῖσθαι στάσιν ἀκινήτου γενέσεως, οὔτε μὴν συνεπινοεῖσθαι τῇ γενέσει τὴν στάσιν. Οὐ γὰρ δύναμις τῆς γενέσεως ἡ στάσις ἐστὶν, ἵνα συνεπινοηθῇ τῇ γενέσει τῶν γεγενημένων, ἀλλὰ τῆς κατὰ δύναμιν ἐνεργείας τῆς τῶν γεγενημένων γενέσεως τέλος ὑπάρχει, καὶ ἁπλῶς, ἵνα συνελὼν εἰπω, τῶν πρός τι οὖσα ἡ στάσις, οὐ πρὸς γένεσιν, ἀλλὰ πρὸς κίνησιν λέγεται, πρὸς ἣν καὶ ἀντιδιαστολὴν ἐπιδέχεται, οὐδαμῶς τὴν πρὸς γένεσιν ἀναφορὰν ἔχουσα, πρὸς ἣν διαστολὴν οὐκ ἐπιδέχεται. Ἕως δ' ἂν
Cod. f. 187 a. οὖν στάσιν ἀκούω, | παῦλαν μόνον μανθάνω κινήσεως. Εἰ δὲ τῶν ἅμα κατὰ τὴν ὕπαρξιν οὐκ ἔστι γένεσις καὶ στάσις, ἆρα παραχαράττει σαφῶς τὸν τῆς ἀληθείας λόγον ὁ τοῦτο θεσπίζων, καὶ τὴν ἀκίνητον ἅμα τῇ γενέσει προὐπάρχουσαν ἑνάδα τῶν λογικῶν δογματίζων. Εἰ δέ τις λέγοι, Καὶ πῶς ἐπὶ θεοῦ λέγεται στάσις, μὴ ἔχουσα προεπινοουμένην κίνησιν; φημὶ πρῶτον μὲν, Οὐ ταὐτὸν κτίστης καὶ κτίσις, ἵν' ὅπερ ἐνὶ δυνατὸν προσεῖναι, κατ' ἀνάγκην τῷ ἑτέρῳ ὡσαύτως ἐπιθεωρηθῆναι δύνηται, ἐπεὶ οὕτωγε οὐδαμῶς τὸ κατὰ φύσιν διάφορον τούτων ἔσται καταφανές· ἔπειτα κυρίως εἰπεῖν, ὁ θεὸς οὔτε κινεῖται παντελῶς οὔτε ἵσταται (τοῦτο γὰρ τῶν κατὰ φύσιν πεπερασμένων καὶ ἀρχὴν τοῦ εἶναι ἐχόντων ἐστὶν ἴδιον), οὔτε μήν τι ποιεῖ παντάπασιν, οὔτε πάσχει τῶν ὅσα ἐπ' αὐτοῦ δι' ἡμᾶς καὶ νοεῖται καὶ λέγεται, διὰ τὸ κατὰ φύσιν ὑπὲρ πᾶσαν εἶναι κίνησίν τε καὶ στάσιν, καὶ μηδενὶ λόγῳ τοῖς καθ' [3] ἡμᾶς ὑποβάλλεσθαι τρόποις. Ταῦτα παρεκβατικῶς εἰρῆσθω περὶ τοῦ μηδὲν χρῆναι λέγειν τῶν ὄντων κατὰ φύσιν ἀπολελυμένως ἐνεργεῖν, ἵνα μὴ ἀναίτιόν τι τῶν μετὰ θεὸν ἀφρόνως εἰςάγωμεν, ἐνεργεῖσθαι δὲ φυσικῶς τὸ ἐνεργεῖν τοῦθ' ὅπερ ἐνεργούμενον πέφυκεν ἐνεργεῖν.

Digitized by Google

considerans deum aut aestimans. Nihil enim extat eorum quae cogitantur, quo per relationem aliquam anima cogitationem suam dirigere possit, sed per simplicem (quippe habitu ac relatione vacantem) unitionem, quae cogitari non capit, et ineffabilem quandam et haud vestigabilem rationem, quam solus novit deus qui inenarrabilem hanc gratiam dignis largitur, et qui eam aliquando accepturi sunt, quando conversione et immutatione omni omnia vacabunt, postquam rerum quae existunt quaelibet circa quidquam motio prorsus terminum invenerit infinitatem deum comitantem, in qua quaecunque motantur statum sumunt. Iure quidem, arbitror, gravissimam meretur reprehensionem qui praeexistentiam animarum statuit, gentilem in modum commiscens quae a commixtione abhorrent et secundum substantiam contemporare cum generatione rationalium statum asserens. Neque enim generationem ante statum, quae immobilis naturâ sit, aut statum post immobilem generationem, aut denique una cum generatione statum cogitare rationis veritati competit. Non enim facultas generationis est status, adeo ut cum generatione eorum quae facta sunt una cogitetur, sed facultativae eorum quae facta sunt generationis actionis finis extat; ac simpliciter, ut paucis absolvam, si eorum est status quae ad quid sunt, non ad generationem, sed ad motionem esse dicitur, ad quam etiam differentiam capit, dum ad generationem quidem minime refertur, ad quam differre haud capit. Donec igitur statum audio, solum cessationem motionis intellego. Si vero secundum existentiam generatio et status non contemporant, manifesto veritatis rationem adulterat is qui hoc praedicat atque unitatem immobilem una cum generatione ante rationalia praeexistere statuit. At si quis dicat, Et quomodo deo attribuitur status, cum motionem ante se ipsum cogitari non admittit? primum quidem respondeo, Non idem conditor est atque conditio, ut quod uni inesse potest, necessario etiam in altero una observari queat, quando ita quidem naturalis horum differentia nullomodo manifesta erit: deinde, ut proprie dicam, deus neque movetur omnino neque stat (hoc enim eorum est peculiare quae naturaliter terminata sunt atque initium existentiae habent), neque quidquam omnino facit aut patitur quaecunque per nos cogitantur de eo et dicuntur, propterea quod naturaliter omnem et motionem et statum superat, neque ulla ratione nostrae naturae modis subiacet. Haec per digressionem dicta sint de eo quod nihil in rebus naturaliter absolute agere debeamus dicere, ne quid causa vacans eorum quae post deum sunt inepte inducamus, sed agi naturaliter esse agere id quod actum agere valeat.

---

3. ὁμᾶς cod. Gud.

Digitized by Google

Idem ibid. cap. 9., p. 501. tom. I. Opp. ed. Bened.

Τοῦ αὐτοῦ λόγου εἰς το, Ἀλλ' εἰ ἀσώματον, οὔπω μὲν οὐδὲ τοῦτο τῆς οὐσίας παραστατικὸν, ὥςπερ οὐδὲ τὸ ἀγέννητον, καὶ τὸ ἄναρχον, καὶ τὸ ἀναλλοίωτον, καὶ ἄφθαρτον, καὶ ὅσα περὶ Θεοῦ ἢ περὶ Θεὸν εἶναι λέγεται.

Πρὸς τοὺς ἀνόμοιον μάλιστα τῷ πατρὶ τὸν υἱὸν κακούργως εἰςάγοντας, διὰ τοῦ νομίζειν οὐσίαν εἶναι τοῦ πατρὸς τὸ ἀγέννητον, ὡς οἶμαι, τὸν λόγον ποιούμενος, καὶ ἐκ τῶν ὁμοίων τὸ δέον αὐτοὺς ἐπιγνῶναι διδάσκων, ταῦτά φησιν ὁ διδάσκαλος, ἵν' ὑπὸ τῆς ἀληθείας πρὸς τὴν εὐσέβειαν συν-
Cod. f. 187 b. ελαυνόμενοι εὐπειθῶς σὺν ἡμῖν τὸ μὴ ἔχειν γένεσιν | τὸν πατέρα μόνον δηλοῦν τὸ ἀγέννητον ὁμολογήσωσι, συνειδότες ὡς εἰπερ οὐσίαν Θεοῦ τὸ ἀγέννητον εἶναι πάντως βιάσαιντο, οὐσίαν Θεοῦ καὶ τὸ ἀσώματον ἐξ ἀνάγκης, καὶ τὸ ἄναρχον, καὶ τὸ ἀθάνατον, καὶ τὸ ἀναλλοίωτον, καὶ τὸ ἄφθαρτον, καὶ ὅσα διὰ τῆς στερητικῆς ἀναιρέσεως διὰ τὴν ὑπεροχὴν ὁ Θεὸς εἶναι λέγεται, λέγειν εἰκότως, ἑαυτοῖς γοῦν στοιχοῦντες, ἐκβιασθήσονται, καὶ οὕτω πολλὰς οὐσίας Θεοῦ, καὶ οὐ μίαν, μᾶλλον δὲ, κυριώτερον εἰπεῖν καὶ ἀληθέστερον, πολυθεΐαν Ἑλληνικὴν νοσοῦντες ἐλεγχθήσονται, ὅπερ ὡς ἀσεβὲς εἰπεῖν αἰσχυνόμενοι τῆς ἀπονοίας πάντως ἀφέξονται καὶ μὴ βουλόμενοι. Τὰ γὰρ στερητικὰ ἢ ἀναιρετικὰ περί τι θεωρούμενα οὐκ αὐτὸ ἐκεῖνο τυγχάνει ὄντα τὸ περὶ ὃ θεωροῦνται, ἐπεὶ πάντως ἔσονται τῶν σημαινόντων τὸ τί ἐστιν, ὡς ἐκεῖνο αὐτὸ ὄντα, ἀλλ' οὐ τὸ τί οὐκ ἔστιν αὐτὸ ἐκεῖνο σημαίνοντα· εἰ δὲ τοῦτο, ὅρος ἐκείνου τοῦ περὶ ὃ λέγονται εἶναι ταῦτα δειχθήσεται, ὅπερ ἄτοπον καὶ ἀδύνατον. Οὐ γὰρ ἐκ τῶν ὧν οὐκ ἔστι τῶν πραγμάτων οἱ ὅροι συνάγονται, ἀλλ' ἐκ τῶν ἅ ἐστιν, ἐξαπλοῦντα τὴν σύντομον τῶν πραγμάτων περίληψιν, ἥτις ὀνομασία τούτων ὑπάρχει. Οὐδὲν οὖν τὸ σύνολον τῶν περὶ Θεοῦ ἢ περὶ Θεὸν εἶναι λεγομένων οὐσία εἶναι Θεοῦ πώποτε δύναται, ὅτι μηδὲ θέσιν, μόνην καὶ μόνῳ Θεῷ ἁρμόζουσαν, ἄσχετον, καὶ τῆς περί τι παντάπασιν ἐνεργείας ἄφετον αὐτὸ ἐκεῖνο κατὰ τὸ τίποτε εἶναι ἐμφῆναι δύναται.

Idem ibid. cap. 9., p. 502. tom. I. Opp. ed. Bened.

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ, Ὡς γὰρ οὐκ ἀρκεῖ τὸ σῶμα εἰπεῖν, ἢ τὸ γεγεννῆσθαι, πρὸς τὸ καὶ περὶ ὃ ταῦτα παραστῆσαί τε καὶ δηλῶσαι, ἀλλὰ δεῖ καὶ τὸ ὑποκείμενον τούτοις εἰπεῖν, εἰ μέλλοι τελείως καὶ ἀποχρώντως τὸ νοούμενον παραστήσασθαι· ἢ γὰρ ἄνθρωπος ἢ βοῦς ἢ ἵππος τοῦτο τὸ ἐν σώματι καὶ φθειρόμενον.

Digitized by Google

**Eiusdem sermonis in illud, ‚Sed si incorporeum, nondum tamen hoc essentiae patrocinatur, non magis quam quod ingenitum, et sine initio, et inmutabile, et sine interitu, et quaecunque de deo aut circa deum esse dicuntur.‘**

Ad eos inprimis qui filium patri dissimilem nefarie introducunt, eo quod, ut arbitror, patris essentiam in eo collocant quod ingenitus sit, sermonem dirigens, et ex similibus quid agnoscere debeant instruens, haec dicit magister, ut veritate ad pietatem coacti lubenter cum nobis eo quod pater generatione caret nihil nisi quod ingenitus sit probari concedant, memores quod, si essentiam dei plane hoc esse contenderent quod ingenitus est, etiam incorporalitatem eius, et quod sine initio, et immortalis est, et immutabilis, et interitu caret, et quaecunque privative propter exsuperantiam deus esse dicitur, (certe si sibi constantes esse voluerint) necessario utique statuere cogentur, adeoque non unam statuere, sed multas dei essentias, immo, ut magis proprie ac verius dicam, quod gentilis multorum deorum religionis morbo laborent sic traducentur; quod, ut impium, confiteri si reverentur, amentia sua plane vel inviti decedent. Privativa enim sive negativa quae circa rem aliquam observantur haud ipsum illud sunt circa quod observantur, quia quidem omnino sic eorum essent quae quid sit denotant, ut ipsum illud existentia, sed non quid non sit illud ipsum denotantia; quod si verum esset, finis illius circa quod dicuntur esse haec demonstrarentur, id quod ineptum est et fieri nequit. Non enim ex iis quae non sunt rerum fines colliguntur, sed ex iis quae sunt, quae exiguum rerum expandunt atque amplificant ambitum, qui nomen earum est. Nihil itaque omnino ex iis quae de deo aut circa deum esse dicuntur dei essentia unquam esse potest, quia nec positionem, quae sola et soli deo competit, et relatione vacat, nec ipsum illud quod vi circa aliquid activa prorsus solutum est secundum essentiam ac substantiam indicare potest.

**Ex eodem sermone in illud, ‚Quemadmodum enim non sufficit, corpus dicere, aut generatum esse ad demonstrandum atque manifestandum hoc vel illud circa quod haec versentur sed illud quoque quod his subiectum est dicere oportet, si quis perfecte et plene quid cogitemus monstrare voluerit: nam vel homo vel bos vel equus hoc corporeum esse potest et interitui obnoxium.‘**

Digitized by Google

Ἐπειδήπερ ἑώρα τοὺς αἱρετικοὺς ὁ ἅγιος ἕνα μόνον
Cod. f. 188 a. ἔχοντας | ἀγῶνα, τὴν ὑπερούσιον ἑαυτοῖς ἀνοήτως συγκαταβάλλειν φύσιν, καὶ τεχνικαῖς μεθόδοις περιλήψει τῆς κατ' αὐτοὺς γνώσεως κρατεῖν ἐπιχειροῦντας, ὡς ᾠοντο, τὴν ἀκράτητον δύναμιν, καὶ πάσῃ τῇ κτίσει κατὰ τὸ ἴσον ἀχώρητον, δι' ὅλου τοῦ λόγου τὰς στερήσεις τε καὶ τὰς ἀποφάσεις προὐτίμησεν ἐπὶ Θεοῦ λέγειν, μηδεμίας παντελῶς ἀνασχόμενος θέσεως ἢ καταφάσεως, ἵνα μὴ ταύτης λαβόμενοι ὡς ἀναιδεῖς κύνες δήγματι τοὺς ἰοβόλους ὀδόντας μανικῶς τῷ λόγῳ τῆς ἀληθείας ἐμβάλλωσιν, ἀφορμὴν τοῦ ὀπωσοῦν προτείνειν καὶ παραλογίζεσθαι, καὶ τὸ οἰκεῖον εἰς πέρας ἀγαγεῖν δυνηθῆναι σπούδασμα, τὴν ὁποιανοῦν περὶ Θεοῦ δοθεῖσαν αὐτοῖς τοῦ λόγου θέσιν ποιούμενοι. Διὰ τοῦτο οὔτε σῶμα, οὔτε ἄϋλον σῶμα, οὔτε ἀσώματον παντελῶς, οὔτε ἐν τῷ παντὶ, οὔτε ἔν τινι τοῦ παντὸς, οὔτε ὑπὲρ τὸ πᾶν, καὶ ἁπλῶς εἰπεῖν, οὐδὲν τὸ παράπαν καὶ ἐν οὐδενὶ καθ' οἱονδήποτε τρόπον, ὡς ἔστιν ἀληθὲς, τῶν ὁρωμένων ἢ χωρουμένων ἢ λεγομένων ἢ νοουμένων ἢ γνωσθῆναι καθ' ὁτιοῦν δυναμένων, εἶναι τὸν Θεὸν ἀποφαίνεται, πάσης αὐτοὺς τῆς περὶ Θεοῦ καταληπτικῆς κατὰ τὸ τίποτε εἶναι τὴν οὐσίαν ἐννοίας ἀπορράπίζων. Ἔπειτα δυσωπητικώτερον αὐτοὺς ἐνάγων πρὸς εὐσέβειαν, καὶ ἐκ τῆς περὶ τὰ δεύτερα καὶ μακρὰν ἀσυγκρίτως ἀπὸ Θεοῦ ἐρεύνης τὸ καθόλου περὶ Θεοῦ τολμηρῶς μηδὲ ἐννοεῖν, μή τιγε λέγειν, εἶναί τινι θεμιτὸν δεῖξαι βουλόμενος, ταῦτά φησι. Καὶ μὴν καὶ πρὸς σύστασιν τῶν ἤδη πρὸς αὐτοὺς κατὰ στέρησίν τε καὶ ἀπόφασιν εἰρημένων, ὥστε αὐτοὺς συνειδότας ἐντεῦθεν, ὡς καὶ ἡ τῶν ἐσχάτων ἐν τοῖς ποιήμα
Cod. f. 188 b. σιν ἀκριβὴς κατάληψις τῆς καθ' ἡμᾶς λογικῆς ἐνεργείας | ὑπερβαίνει τὴν δύναμιν, τῆς περὶ τὰ πολλῷ μείζω θρασύτητος τὴν ἀλόγιστον δυνηθῆναι φορὰν ἐπισχεῖν, ἐν τοῖς μικροῖς τὸ ἀσθενὲς μαθόντας τῆς φύσεως. Εἰ γὰρ ἐξετάζουσιν ἡμῖν στοιχεῖόν τι, φέρε εἰπεῖν ἢ ἄνθρωπον ἢ ἵππον ἢ βοῦν, οὐκ ἀρκεῖ πρὸς τελείαν κατάληψιν τὸ σῶμα λέγειν τὸ στοιχεῖον, ἢ γεννητὸν μόνον ἢ φθαρτὸν τὸν ἄνθρωπον ἢ τὸν βοῦν ἢ τὸν ἵππον, ἀλλὰ δεῖ παραστῆσαι καὶ τὸ τούτοις ὑποκείμενον, ὅπερ γεννᾶται καὶ φθείρεται καὶ πεποίωται. Σῶμα δὲ ἡ γέννησις ἢ φθορὰ οὐδαμῶς ὑπάρχον, ἐπεὶ ἔσται κατὰ τοῦτο ἀνάγκης ἀκολουθία, εἴ τι σῶμα, καὶ στοιχεῖον εἶναι, καὶ εἴ τι γέννητον ἢ φθαρτὸν, ἢ ἄνθρωπος εἶναι ἢ βοῦς ἢ ἵππος. Οὐ γὰρ εἴ τι σῶμα, πάντως ἐξ ἀνάγκης καὶ στοιχεῖον ἢ ἄνθρωπος ἢ βοῦς ἢ ἵππος. Εἴ τι μὲν γὰρ στοιχεῖον, πάντως ἐξ ἀνάγκης καὶ σῶμα, οὐκ εἴ τι δὲ σῶμα, πάντως ἐξ ἀνάγκης καὶ στοιχεῖον. Οὔτε εἴ τι σῶμα ἢ γεννητὸν ἢ φθαρτὸν, πάντως ἐξ ἀνάγκης καὶ ἄνθρωπος, ἐπεὶ οὕτωγε καὶ ἄνθρωπος ἔσται πάντως ἐξ ἀνάγκης πᾶν εἴ τι σῶμα, καὶ πᾶν εἴ τι γεννώμενόν ἐστιν ἢ φθειρόμενον. Εἴ τι μὲν γὰρ ἄνθρωπος, πάντως ἐξ ἀνάγκης καὶ σῶμα καὶ γεννώμενον καὶ φθειρόμε-

Digitized by Google

Cum sanctus haereticos videret id unum certare, ut superessentialem naturam amentes secum ipsis destruerent, artificiosisque rationibus potestatem insuperabilem omnique conditioni ex pari imperceptibilem suae cognitionis comprehensione capere conari, per totum sermonem privative et negative de deo dicere maluit, nulli omnino positioni aut affirmationi indulsit, ne tanquam impudentes canes hanc mordicus captarent et venenatis dentibus in veritatis sermonem furiose irruerent occasionem praetendendi utcunque et fallendi et proprii studii artificium conficiendi qualemcunque de deo sibi concessam sermonis positionem facientes. Quare neque corpus, neque immateriale corpus, neque incorporale omnino, neque in universo, neque in ulla universi parte, neque supra universum, et ut simpliciter dicam, nihil omnino et in nihilo eorum quae qualicunque modo, ut verum est, videntur vel comprehenduntur vel dicuntur vel cogitantur vel nosci utcunque possunt, deum esse docet, de omni eos opinione, dei essentia quid sit comprehendi posse, propulsans. Deinde instantius eos ad pietatem instigans, et ex inferiorum et incomparabile quantum a deo distantium investigatione universale de deo temerarie neque cogitare, nedum edicere ulli fas esse conans persuadere, haec dicit. Et profecto ad stabilienda quoque ea quae contra eos iam privative et negative disputaverat, ut inde commonefacti, quod etiam ultimorum in creatis accurata comprehensio rationalis nostrae vis facultatem superet, multo maioris temeritatis et audaciae impetum coercere possent, postquam in parvis naturae infirmitatem nossent. Etenim si de figura aliqua inquirimus finge homine, vel equo, vel bove, ad plene comprehendendum figuram corpus dixisse haud sufficit, vel generabile modo aut interibile, hominem vel bovem vel equum, sed quod his subiectum sit, id est quod generetur et intereat, et qualitate affectum sit repraesentare oportet. Corpus vero haudquaquam generatio est, aut interitus; siquidem inde necessario sequeretur, si quid corpus sit, et figuram esse, et si quid generabile sit vel interibile, et hominem esse vel bovem vel equum. Neque enim, si quid corpus est, omnino necessarium ut figura sit vel homo vel bos vel equus. Nam si quid figura, necessario prorsus etiam corpus est, non vero si quid corpus, necessario etiam figura. Neque si quid corpus, vel generabile, vel interibile, necessario prorsus etiam homo est, quando ita quidem etiam homo omnino necessario esset quodcunque corpus, vel quodcunque generabile est vel interibile. Nam si quid homo, necessario prorsus etiam corpus, et generabile, et interibile, non vero si quid corpus, vel generabile, vel interibile, necessario prorsus etiam homo. Neque enim omnino quando homo est, necessario sequitur ut et figura

Digitized by Google

νον, οὐκ εἴ τι δὲ σῶμα ἢ γεννητὸν ἢ φθαρτὸν, πάντως ἐξ ἀνάγκης καὶ ἄνθρωπος. Οὔτε γὰρ ἔπεται πάντως, ἐπεὶ ἔστιν ὁ ἄνθρωπος, ἐξ ἀνάγκης καὶ στοιχεῖον καὶ βοῦς καὶ ἵππος, καὶ πᾶν εἴ τι ἄλλο ἐνσώματον καὶ γεννώμενον καὶ φθειρόμενον. Οὐ γὰρ κατηγορεῖταί ποτε τὰ μερικὰ κατὰ τῶν καθόλου, οὔτε τὰ εἴδη τῶν γενῶν, οὔτε τῶν περιεχόντων τὰ περιεχόμενα, καὶ διὰ τοῦτο οὐδὲ ἀντιστρέφει τὰ καθόλου τοῖς ἐπὶ μέρους, οὐδὲ τὰ γένη τοῖς εἴδεσιν, οὐδὲ τὰ κοινὰ τοῖς ἰδιάζουσιν, οὐδὲ,
Cod. f 189 a. συνελόντα φάναι, τοῖς περιεχομένοις τὰ περιέχοντα. Οὕτως οὖν κατὰ τὸν ἀποδοθέντα λόγον καὶ ἐπὶ βοὸς καὶ ἵππου καὶ παντὸς [1] τοῦ ὁτιοῦν ἑτέρου ληπτέον. Εἰ τοίνυν οὐκ ἀρκεῖ πρὸς τελείαν γνῶσιν τῶν πραγμάτων τὸ πλῆθος τῶν περὶ αὐτὰ θεωρουμένων εἰπεῖν, λέγω δὴ τὸ σῶμα καὶ τὸ γεννᾶσθαι καὶ φθείρεσθαι, καὶ ὅσα τοιαῦτα περὶ τὸ ὑποκείμενόν ἐστιν, ἀλλὰ δεῖ πάντως καὶ τὸ ὑποκείμενον τούτοις, θεμελίου τρόπον ἐφ' ᾧ ταῦτα βέβηκε, τί ἐστιν ἐνδείξασθαι, εἰ μέλλοιμεν τελείως καὶ ἀπαραλείπτως τὸ νοούμενον παριστάναι. Ἢ γὰρ ἄνθρωπον ἔχομεν εἰπεῖν ἢ βοῦν ἢ ἵππον ταῦτα δὴ τὰ μὴ ὄντα αὐτὸ τοῦτο σῶμα, ἀλλ' ἐνσώματα, καὶ μὴ ὄντα αὐτὸ τοῦτο γεννήσεις καὶ φθοράς, ἀλλὰ γεννώμενα καὶ φθειρόμενα, ὡς εἶναι ταῦτα, σῶμά φημι καὶ γέννησιν καὶ φθοράν, δηλαδὴ περὶ τὰ ζῶα, ἀλλ' οὐ τὰ ζῶα ταῦτα ὑπάρχειν, σῶμα λέγω καὶ γέννησιν καὶ φθοράν. Εἰ τοίνυν οὐδὲν τὸ σύνολον τῶν ὄντων ἐστὶ κατ' αὐτὸ τὸ εἶναι ὅπερ ἐστὶ καὶ λέγεται τὸ ἀθροίσμα τῶν ἡμῖν περὶ αὐτὸ νοουμένων τε καὶ λεγομένων, ἀλλ' ἕτερόν τι παρὰ ταῦτα, τὸ περὶ ὃ ταῦτά ἐστι, συνεκτικὸν μὲν τούτων, αὐτὸ δὲ τούτοις οὐδαμῶς συνεχόμενον (οὐδὲ γάρ ἐστιν ἐκ τούτων, ἢ ταῦτα, ἢ τι τούτων, ἢ ἔκ τινων, ἢ τινος αὐτῶν, ἢ ἐν τούτοις, ἢ τισιν, ἢ τινι τούτων, τὸ περὶ ὃ ταῦτα καὶ ἔστι καὶ λέγεται), παυσάσθω πᾶσα ψυχὴ παντὶ λόγῳ τῶν περὶ θεοῦ θρασέως ἐπιπηδᾶν εἰθισμένη τοῦ διακενῆς ἀσεβεῖν, καὶ ἐν τοῖς μικροῖς μαθοῦσα τὴν οἰκείαν ἀσθένειαν, καὶ σιγῇ σεβέσθω μόνον τὴν ἄῤῥητόν τε καὶ ὑπὲρ νόησιν καὶ πάσης ἐπέκεινα γνώσεως τῆς θείας οὐ-
Idem ibid. cap. 5. σίας ὀντότητα. Οὐδὲ αὐτὴ γὰρ κατὰ μικρὸν, ὡς προλαβὼν ἐδίδαξεν ὁ ἅγιος, ἡ τῆς κτίσεως ἀκριβὴς κατανόησις κατὰ τὸν ἀληθῆ λόγον ὑπὸ τῆς ἡμῶν περιέχεται γνώσεως, ἵνα κἀγὼ
Cod. f. 189 b. μικρόν τι προσδιατρίψω τῷ λόγῳ, καὶ τῆς ὑπὲρ πάντα σοφίας θαυμάσω τὸ ἀνεξιχνίαστον. Τίς γὰρ τῶν ἄγαν σοφῶν ταῖς λογικαῖς πιστεύων ἐφόδοις καὶ ταῖς οὐκ οὔσαις θαῤῥῶν ἀποδείξεσι μετὰ λόγου τὴν τῶν ὄντων ἐπελθὼν μεγαλειότητα δυνήσεται γνῶναι, εἰπεῖν τε καὶ παραστῆσαι; Τίνες οἱ ἑκάστῳ τῶν ὄντων τῇ ὑπάρξει πρώτως ἐγκαταβληθέντες λόγοι, καθ' οὓς καὶ ἔστι καὶ πέφυκε τῶν ὄντων ἕκαστον, καὶ εἰδοποιεῖται, καὶ ἐσχημάτισται, καὶ συντέθηται, καὶ δύναται, καὶ

1. Fortasse του.

Digitized by Google

et bos et equus sit, et si quod aliud corporeum et generatum et interiens. Nunquam enim particularia praedicantur de universalibus, neque species de generibus, neque de continentibus contenta, ideoque neque reciprocantur inter se universalia et particularia, neque genera et species, neque communia et peculiaria, neque denique continentia et contenta. Sic igitur secundum hanc explicationem et de bove et de equo et de quolibet alio statuendum. Itaque non sufficit ad plenam rerum cognitionem eorum quae circa eas spectantur plura enumerare, corpus inquam, et quod generetur et intereat, et quaecunque id genus subiectum comitantur, sed quod his subiectum est, ut fundamentum in quo illa stant, omnino etiam quid sit demonstrari opus est, si perfecte et plene quid cogitetur repraesentare voluerimus. Aut enim hominem habemus dicere aut bovem aut equum haec iam quae non sunt ipsum hoc corpus, sed corporalia, et quae non sunt hoc ipsum generationes et interitus, sed generata et intereuntia, adeo ut haec, corpus inquam et generatio et interitus, manifesto animalia comitentur, sed non animalia ipsa existant haec, corpus, inquam, et generatio et interitus. Itaque si nihil de rebus omnino secundum ipsam existentiam id est quod eorum quae a nobis de eo cogitantur et dicuntur congregatio et est et dicitur, sed aliud quid ab his diversum, id videlicet quod illa comitantur, ea conservans ac continens quidem, ipsum verò his nequaquam contentum aut conservatum (id enim circa quod haec et sunt et dicuntur non est ex his, neque haec, neque aliquid horum, neque ex aliquibus, neque alicuius eorum, neque in his, aut aliquibus, aut aliquo horum), desinat vane et impie agere omnis anima cuilibet dei rerum rationi insultare petulanter solita, ac vel in parvis propriam animadvertat infirmitatem, et tacite revereatur ineffabilem solum omnique et cogitatione et cognitione superiorem divinae essentiae veritatem. Nec ipsa enim ut antea docuit sanctus, ‚Accurata vel paululum conditionis perceptio' secundum veram rationem a nostra cognitione comprehenditur, ut ego quoque paululum sermone immorarer, atque summam et non vestigabilem sapientiam admirarer. Quis enim hominum quantumvis eruditorum rationalibus fretus instrumentis et documentis quae non sunt confisus eorum quae sunt maiestatem ratione aggressus cognoscere, enarrare atque probare poterit? Quaenam sunt de existentia cuique eorum quae existunt ab initio insertae rationes atque implicatae, secundum quas unumquodque et est et naturam habet, et formam et speciem nactum est, et compositum est, et valet, et agit, et patitur, ne commemorem quantitatis et qualitatis et affectionis et loci et temporis et positionis et motionis et habitus differentiam ac proprieta-

Digitized by Google

ἐνεργεῖ, καὶ πάσχει, ἵνα μὴ λέγω τὴν ἐν τῷ ποσῷ τε καὶ τῷ ποιῷ, καὶ τῇ σχέσει, καὶ τῷ τόπῳ, καὶ τῷ χρόνῳ, καὶ τῇ θέσει, τῇ τε κινήσει καὶ ἕξει, διαφορὰν καὶ ἰδιότητα, πρὸς ἃ καὶ ἡ καθ' ἡμᾶς μεγαλοφυῶς λογικὴ πέφυκεν ἰσαρίθμως πλατύνεσθαι δύναμις εἰς νοῦν, καὶ νόησιν, καὶ ἔννοιαν, καὶ διάνοιαν, καὶ σύννοιαν, καὶ τὸν ἐνδιάθετον λόγον, τόν τε κατὰ πρόφοραν καὶ τὸν γεγωνότα, τουτέστι φωνὴν καὶ κραυγὴν, καὶ αὖθις συνάγεσθαι, χωρὶς τῆς κατ' ἐπιστήμην καὶ τέχνην, ὥςπερ ἐν ποσῷ τε καὶ ποιῷ καὶ τοῖς λοιποῖς, καθὼς ἀπηρίθμηται, τουτου διαφορᾶς τε καὶ ἰδιότητος; Τίς ὁ γινώσκων τοὺς λόγους τῶν ὄντων καθὼς καὶ εἰσὶν, ὡς εἶπον, καὶ διαφέρουσι, καὶ στάσιν ἔχουσιν ἀκίνητον τὴν κατὰ φύσιν καὶ πρὸς ἄλληλα μηδαμῶς μεταπίπτουσαν κίνησιν, ἐν τῇ κινήσει τὴν στάσιν, καὶ ἐν τῇ στάσει τὸ παραδοξότατον τὴν κίνησιν ἔχοντα; τίς πρὸς ἄλληλα τῶν ἐναντίων εἰς ἑνὸς κόσμου σύστασιν ὁ δεσμὸς, καὶ τῆς εὐτάκτου τε καὶ ἀφύρτου κινήσεώς τε καὶ διοικήσεως ὁ τρόπος; τίς πάλιν τῶν καθ' ἡμᾶς σωμάτων ἡ τῶν ἐναντίων κατὰ τὴν κρᾶσιν διὰ συνθέσεως συμπλοκὴ, τὰ διεστῶτα κατὰ τὴν φύσιν εἰς φιλι-
Cod. f. 190 a. κὴν συνοικίαν ἐνάγουσα, | καὶ τῇ μεσότητι τὸ ἐν τοῖς ἄκροις αὐστηρὸν τιθασσεύουσα, καὶ χωρεῖν δι' ἀλλήλων ἀλυμάντως παρασκευάζουσα, καὶ ταύτην ποιουμένη τῶν συνθέτων συντήρησιν, τὴν τῶν ἄκρων κατὰ τὴν κρᾶσιν εἰς ἄλληλα περιχώρησιν, καὶ πῶς ἕκαστον τούτων ἐστὶ, καὶ τί ἐστι, καὶ ποῦ φέρον ἢ φερόμενον καὶ ἐπὶ τίνιγε γέννηται ἢ φέρει ἢ φέρεται, οὐ μόνον, ὡς εἴρηται, οἷς προηγουμένως ὑπάρχουσι ταῦτα λόγοις, ἀλλὰ καὶ οἷς πρὸς ἑαυτά τε καὶ πρὸς ἄλληλα μυρίοις κατ' ἐπίνοιάν τε καὶ ἐνέργειαν διαιροῦνται τε καὶ ἑνοῦνται τρόποις; καὶ αὖθις τίς ὁ λόγος τῆς τοῦ καθ' ἕκαστον οὐσίας, φύσεως, εἴδους, σχήματος, συνθέσεως, δυνάμεως, ἐνεργείας, πάθους; τίς δὲ πάλιν ὁ καθόλου τοῖς ἄκροις κατὰ τὸ ἑκάστου πέρας διὰ τοῦ μέσου τὴν πρὸς ἄλληλα συνάφειαν ἐνεργῶν λόγος, ἵνα τό τε νοῦν καὶ τὸ νοούμενον διὰ τῆς μέσης νοήσεως, σχέσεως οὔσης ἑνωτικῆς τῶν διῃρημένων περὶ τὸ ἐξ ἀμφοῖν νόημα, συναφθῇ καὶ περιληφθῇ ἀλλήλοις ἑκάτερα, καὶ μηδὲν τὸ παράπαν κατὰ τοῦτο δειχθῇ τῶν μετὰ θεὸν περιγραφῆς ὑπάρχον ἐλεύθερον; ὥςπερ καὶ τὰ αἰσθητὰ πάντα καὶ τὰ αἰσθανόμενα, ἦγουν αἰσθητικὰ, διὰ τῆς μέσης αἰσθήσεως, σχέσεως οὔσης κοινῆς τῶν διῃρημένων ἄκρων, τῶν μὲν ὡς δι' αὐτῆς ἀντιλαμβανομένων τῶν αἰσθητῶν, τῶν δὲ δι' αὐτῆς ὑποπιπτόντων τοῖς αἰσθανομένοις, περὶ τὸ αἰσθητήριον, ἐν ᾧ τὸ πέρας τῆς ἑκάστου κατὰ τὴν σχέσιν δυνάμεως ὑπάρχον καθέστηκε, καὶ περὶ ὃ ἀλλήλοις τὰ ἄκρα διὰ τῆς μέσης σχέσεως ἑνοῦσθαι πέφυκε. Τούτων, ἤ τινος τούτων ἐρευνᾶν ἐπιχειροῦντες τοὺς λόγους, ἄτονοι παντελῶς καὶ ἄφωνοι περὶ τὸν λόγον μένομεν, οὐκ ἔχοντες ᾧ τινι τὸν
Cod. f. 190 b. νοῦν ἀκριβῶς | ἐπερεισόμεθα, πλὴν τῆς θείας δυνάμεως. Καὶ

Digitized by Google

tem, ad quae et nostra laute atque magnifice rationalis facultas ex pari numero diffunditur in mentem, et cogitationem, et intellectum, et sententiam, et reputationem, et sermonem in mente conceptum, inque prolatum et sonantem sermonem, hoc est vocem et clamorem, et rursus recolligitur, ut in quanto et quali et reliquis, quemadmodum recensuimus, huius absque ea quam doctrina et ars novit huius differentia et proprietate? Quis est qui norit eorum quae existunt rationes ut etiam existunt, quemadmodum dixi, et distant, et immobilem de natura statum habent et motionem invicem sese non turbantes, dum in motione statum, et in statu, quod maxime mireris, motionem habent? quodnam contrariorum inter se in unius mundi constitutionem sit vinculum, et ordinati et inconfusi motus et administrationis modus? qui rursum in corporibus nostris contrariorum secundum permixtionem compositio sit ac nexus, quo quae naturaliter distant in familiare contubernium coguntur, quique medietate extremitatum austeritatem mitigat, perque se invicem meare sine noxa instruit, et hanc compositorum stabilitatem instituit, extremitatum secundum mixtionem in se invicem congressionem ac reditum, et quomodo horum unumquodque sit, et quid sit, et quo ferens aut latum et ad quid perveniat, vel ferat vel feratur, non solum, ut dictum est, quibus a principio haec existunt rationibus, sed etiam quibus ad se ipsa et invicem infinitis et cogitatione et actione et dividantur et uniantur modis? atque rursus quaenam singulorum quorumque essentiae, naturae, speciei, formae, compositionis, facultatis, actionis, passionis, sit ratio? quaenam dein rursus generalis, qua extremitatibus pro singulorum fine per medietatem mutuus nexus efficitur, ratio sit, ut quod cogitat et quod cogitatur per mediam cogitationem, quae distantium circa cogitatum, amborum prolem, unitiva est affectio, ut utraque invicem iungantur et comprehendantur, neve quicquam omnino eorum quae post deum sint circumscriptione vacans ostendatur? Quemadmodum sensibilia quoque omnia et quae sentiunt, sive sensu praedita, per medium sensum, quae distantium extremitatum communis affectio est, alteris per eam sensibilia percipientibus, alteris per eam iis quae sentiunt succidentibus, circa sentiendi instrumentum, ubi singuli cuiusque secundum affectionem facultatis terminus collocatus est, et circa quod per mediam affectionem sive relationem uniuntur extremitates. Horum, vel unius alteriusve horum rationes cum investigare conamur, imbecilli plane et muti in explicatione haesitabimus, nec praeter divinam potestatem quo mentem accurate infigamus habebimus. Atque hoc, ut arbitror illud est quod dixit sanctus, mentem nostram ad pietatem exercens, ‚Nec plena et accurata vel paululum conditionis



Digitized by Google

τοῦτό ἐστι τὸ εἰρημένον, ὡς οἶμαι, τῷ ἁγίῳ, γυμνάζοντι
Idem ibid. cap. 5., p. 499. τὸν ἡμέτερον νοῦν πρὸς εὐσέβειαν, Κατὰ μικρὸν γοῦν, οὐδὲ
ἡ τῆς κτίσεως ἀκριβὴς κατανόησις. Τὸ δὲ, Ἀλλὰ πολὺ πρὸ
τούτων ἡ ὑπὲρ ταῦτα καὶ ἐξ ἧς ταῦτα φύσις, ἄληπτός τε καὶ
ἀπερίληπτος, κατὰ κοινοῦ θετέον τῆς κτίσεως καὶ τῆς ὑπὲρ
ταῦτα καὶ ἀφ' ἧστινος ταῦτα, δηλαδὴ τὰ κτίσματα, φύσεως
τὸ Ἄληπτός τε καὶ ἀπερίληπτος. Τὸ δὲ, Οὐχ ὅτι ἐστὶν,
ἀλλ' ἥτις ἐστὶν, ἐπενεχθὲν προκατάληψίς ἐστιν ἀνθυποφορᾶς.
Ἵνα γὰρ μὴ καταδράμῃ αὐτοῦ πρὸς ὃν ὁ λόγος, φάσκων,
Οὐκοῦν εἰ ἄληπτον πάντη τὸ σέβας ἡμῶν, κενὸν ἄρα τὸ Χρι-
στιανῶν κήρυγμα, κενὴ δὲ καὶ ἡ πίστις, κατ' οὐδενὸς στηρι-
ζομένη, ταῦτά φησι προλαμβάνων τὸν ἐπηρεαστὴν λόγον ἢ
ἄνθρωπον. Οὐκ ἔφην ἄληπτον εἶναι ταύτην τὴν φύσιν, περὶ
ἧς ὁ λόγος, ὅτιπερ ὑπάρχει, ἀλλὰ τί ὑπάρχει, καὶ προς-
επάγει πρὸς τὴν τοῦ λόγου βεβαίωσιν τὸ, Πολὺ γὰρ διαφέ-
ρει τοῦ εἶναί τι πεπεῖσθαι τὸ τίποτέ ἐστι τοῦτο εἰδέναι,
τουτέστι, πολλὴ πρόσεστιν ἡ διαφορὰ τοῦ πεπεῖσθαι περί
τινος ὅτιπερ ὑπάρχει πρὸς τὸ εἰδέναι τὴν ἀκριβῆ τῆς οὐσίας
τούτου κατάληψιν. Μὴ οὖν, φησὶν, εὐγνωμόνως ἡμῶν εἰ-
πόντων ἄληπτον εἶναι τὴν θείαν οὐσίαν, κακούργως τὸν λό-
γον μεταβιβάσῃς, εἰς τὸ δῆθεν εἰσάγειν ἡμᾶς ἄληπτον αὐτὴν,
εἰς αὐτὴν τὴν ὕπαρξιν, κἀκ τούτου συνάξῃς ἀθεΐαν ἡμᾶς
Idem ibid. cap. 7., p. 500. ed. Bened. Opp. tom. I. πάντη πρεσβεύειν. Καὶ μετά τινά φησιν, Τί γὰρ ὑπολήψῃ
τὸ θεῖον, εἴπερ ὅλως ταῖς λογικαῖς πιστεύσεις ἐφόδοις (του-
τέστιν, εἰ οἶει τῷ λόγῳ περιτρέχων ἐναποκλείειν γνώσει τινὶ
Cod. f. 191 a. δύνασθαι τὸ ζητούμενον); Πότερον σῶμα | (τουτέστιν, ἆρα
σῶμα); καὶ πῶς· τὸ ἄπειρον καὶ ἀόριστον καὶ ἀσχημάτιστον
καὶ ἀναφὲς καὶ ἀόρατον; Ἵνα σαφηνιζόμενον νοηθῇ, οὕτως
τῶν κοινῶν ἐννοιῶν κεκρατηκυιῶν, ἄπειρον εἶναι τὸ θεῖον,
ὅπερ ἐστὶ πέρας μὴ ἔχειν. Τοῦτο γὰρ τοῦ τέτρασι διειλημ-
μένου πέρασιν ἴδιον, κέντρῳ καὶ γραμμῇ, ἐπιφανείᾳ καὶ
στερεῷ, προςέτι δὲ καὶ διαστήμασι τρισὶ, μήκει καὶ πλάτει
καὶ βάθει, καὶ αὐτοῖς ἓξ διειλημμένοις πέρασιν, ἑκάστου δη-
λονότι δυσὶ περιγραφομένου, οἷον τὸ μὲν μῆκος τῷ ἄνω τε
καὶ τῷ κάτω, τὸ δὲ πλάτος τῷ δεξιῷ καὶ τῷ ἀριστερῷ, τὸ
δὲ βάθος τῷ ἐμπρὸς πέρατι καὶ τῷ ὀπίσω. Καὶ πάλιν,
τῶν αὐτῶν κοινῶν ἐννοιῶν ἀόριστον τὸν θεὸν εἰςαγουσῶν,
τουτέστι μὴ ἐπιδεχόμενον διεξοδεύουσαν ἀνάπτυξιν, ἐκ τίνων
συνέστηκε τὸ ὑποκείμενον, μήτε μὴν τὴν ἐν τόπῳ θέσιν, ἢ
τὴν ἐν χρόνῳ ἀρχὴν ἢ τέλος, προςέτι καὶ ἀσχημάτιστον, οἷον
ὅτι οὐ σφαιροειδὲς ἢ τετράγωνον ἢ ὄρθιον ἢ κάτω νενευκὸς,
ναὶ μὴν καὶ ἀναφὲς καὶ ἀόρατον, ὡς αἰσθήσει μὴ ὑποπέπτον
(ταῦτα γὰρ σωμάτων ἴδια), παράλογον ἐκ τῶν ἀνασκευασθέν-
των ὑπειληφέναι τὸ θεῖον εἶναι σῶμα καὶ ἀνάγκην ἔχειν εἰς
τοσαῦτα μερίζεσθαι εἰς ὅσα πάλιν ὡς σῶμα συνάγεται. Ἀμερὲς
γὰρ πάντη τὸ θεῖόν ἐστιν, ὅτι καὶ παντελῶς ἄποσον, ἄποσον
δὲ παντελῶς, ὅτι καὶ παντελῶς ἄποιον, ἄποιον δὲ παντελῶς,

Digitized by Google

perceptio.' Quod vero ad illud attinet, ‚Sed multo magis natura illa his sublimior, et ex qua haec originem traxerunt, imperceptibilis atque incomprehensibilis' illud, ‚Imperceptibilis et incomprehensibilis', in commune est de conditione et natura his sublimiore, et ex qua haec originem traxerunt, est condita, sumendum. Illud vero quod addit, ‚Non quod est, sed quae', est anticipatio subiectionis. Ne enim offendat ad quem eius est sermo, dicens, Itaque si inperceptibilis est quod colimus ac veneramur, vanum igitur Christianorum praedicatio, vana etiam fides ac nusquam stabilita, haec profert ut praevertat obtrectatorem sive sermonem sive hominem. Non statuit inperceptibile esse quod sit haec de qua sermo natura, sed quid sit, et ad stabiliendam suam sententiam addit insuper, ‚Multum enim differt persuasum habere quod aliquid est et nosse quidnam hoc sit', id est multum differt de re aliqua quod sit persuasum habere et certam et accuratam essentiae eius notionem tenere. Noli igitur, inquit, cum nos ex bona fide percipi divinam essentiam posse negemus, sermonem maligne in ipsam substantiam torquere, tanquam eam videlicet inperceptibilem esse statuamus, neu inde nos deum negandum praedicare concludas. Et paulo post subicit, Quid enim esse censes deum, si quidem rationalibus plane instrumentis fidem habebis (hoc est si sermone circumveniens quod quaeritur posse in aliqua cognitione includi putas)? ‚Corpusne (hoc est Num corpus)? Et quonam ergo modo qui infinitus et interminatus et infiguratus, qui denique nec tangi nec oculis cerni potest'? ut hoc modo demonstratum intellegatur, quod communes adeo notiones evincunt, infinitum esse deum, quod est terminum non habere. Hoc enim peculiare est eius quod quattuor distinctum est terminis, puncto et linea, superficie et solido, praeterea tribus quoque distantiis, longitudine et latitudine et altitudine, quae ipsae iterum sex terminis discernuntur, quorum unusquisque videlicet duobus definitur, ut longitudo superiore et inferiore, latitudo dextero et laevo, altitudo anteriori termino et posteriori. Atque iterum, cum eaedem communes notiones indefinitum deum esse insinuent, hoc est non capere plenam ex quibusnam constet subiectum explicationem, nec magis admittere in loco collocationem, aut intra tempus initium vel finem, insuper etiam infiguratum, ut qui non globosus est aut quadrangulus aut erectus aut deorsum vergens, quin eum etiam tactum et visum fugere, cum sensui non subiaceat (haec enim corporum sunt propria), absurdum est ex eis quae evertimus divinum corpus esse, atque in tot necesse habere dividi in quot rursum, ut corpus, contrahatur, collegisse. Individuus enim plane est deus, quia et plane quantitatis expers; quantitatis autem plane expers, quia et



Digitized by Google

ὅτι καὶ πάντη ἁπλοῦν, ἁπλοῦν δὲ πάντη, ὅτι καὶ ἀδιάστατον πάντη, ἀδιάστατον δὲ πάντη, ὅτι καὶ πάντη ἄπειρον, ἄπειρον δὲ πάντη, ὅτι καὶ πάντη ἀκίνητον (οὐ κινεῖται γὰρ πάντη πώποτε τὸ μὴ ἔχον ποῦ κινηθῆναι), ἀκίνητον δὲ πάντη, ὅτι καὶ
Cod. f. 191 b. παντελῶς ἄναρχον | (οὐ γὰρ ἔχει τι πρὸ αὐτοῦ καὶ μεῖζον, οὔτε τι σὺν αὐτῷ καὶ ἴσον, οὔτε τι μετ' αὐτό, καὶ παραμετρεῖσθαι καὶ χωρεῖν αὐτὸ δυνάμενον), ἄναρχον δὲ πάντη, ὅτι καὶ ἀγέννητον πάντη, ἀγέννητον δὲ πάντη, ὅτι καὶ παντελῶς ἓν καὶ μονώτατον, ἓν δὲ πάντη καὶ μονώτατον, ὅτι καὶ παντελῶς ἄσχετον, καὶ διὰ τοῦτο παντάπασιν ἄῤῥητόν τε καὶ ἄγνωστον, καὶ πάσης τῆς τῶν ἐπ' αὐτὸ καλῶς τε καὶ θεοπρεπῶς κινουμένων γνώσεως πέρας μονώτατον, καὶ μονωτάτην γνῶσιν ἔχον ἀληθῆ τὸ μὴ γινώσκεσθαι.

Idem ibid. cap. 10., p. 502. Opp. edit. Bened. tom. I.

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ, Εἰ γὰρ τὸ μὴ ὂν οὐδαμοῦ, τὸ μηδαμοῦ τυχὸν οὐδὲ ὄν, εἰ δὲ ἔστι που, πάντως, ἐπείπερ ἔστιν, ἢ ἐν τῷ παντὶ, ἢ ὑπὲρ τὸ πᾶν.

Διὰ ἣν αἰτίαν, ἴσως ὁ ἀκούων ἐρεῖ, τὴν ἀντιστροφὴν ἀμφίβολον ὁ διδάσκαλος ἔθετο, προσθεὶς τὸ τυχὸν ἐπίῤῥημα, πᾶσι δήλου ὄντος, κατὰ τὰς λογικὰς ὑποθέσεις, τοῦ, τὸ μηδαμοῦ ὂν μηδὲ εἶναι, δικαίως παντάπασιν ὁμολογεῖσθαι. Πρὸς ὃν κατὰ τὸ τῆς πτωχῆς ἡμῶν διανοίας ἐπιδεὲς ἐροῦμεν, ὅτι Εὐνόμιον καὶ τοὺς ἀμφ' αὐτὸν, λέγοντας εἰδέναι τὸν θεὸν ὡς αὐτὸς ἑαυτὸν, τῆς πολλῆς ἐπισχεῖν μανίας βουλόμενος εἰς ἄτοπον δόξαν διὰ τῶν τοιούτων ἀπήγαγε λόγων. Ἢ γὰρ λέγοντας εἰδέναι τὸν θεὸν ὡς αὐτὸς ἑαυτὸν, καὶ τὸ ποῦ χρὴ τὸν γινωσκόμενον εἶναι προσεπάγειν αὐτοὺς πάντως ἀνάγκη, πρὸς τελείαν τοῦ [1]γινωσκομένου κατάληψιν, καὶ οὐδὲν οὐδενὸς τῶν ὄντων τὸ παράπαν οὕτωγε διενήνοχε κατ' αὐτοὺς ὁ θεὸς, τόπῳ καὶ αὐτὸς περιγραφόμενος, οὗ τί γένοιτ' ἂν ἀτοπώτερον; ἢ μὴ λέγοντας ποῦ, ἢ μηδὲ εἶναι τὸ σύνολον λέγειν, κατὰ τὴν αὐτοῦ τοῦ λόγου ὑπόθεσιν, οὗ τί
Cod. f. 192 a. γένοιτ' ἂν ἀθεώτερον; (πῶς γὰρ καὶ | τί ἂν εἴη τὸ μὴ πάντως ποῦ τὸ εἶναι ἔχον;) ἢ πάντως εἶναι ἐξ ἀνάγκης αὐτοὺς ἡ ἀκολουθία τοῦ λόγου λέγειν βιάζεται καὶ μηδαμοῦ εἶναι, καὶ διὰ τοῦτο εἶναι μὲν καὶ ὑπάρχειν τὸ θεῖον, τί δὲ εἶναι καὶ ὑπάρχειν μὴ εἰδέναι. Εἰ γὰρ τὸ ποῦ τὸ θεῖον εἶναι κατ' αὐτοὺς ἄγνωστον, πολλῷ μᾶλλον αὐτὸ τὸ θεῖον, ὅτι ποτὲ κατ' οὐσίαν ἐστὶν, ἀγνωστότερον ἔσται. Διὸ μηδέ που εἶναι τὸ μὴ γινωσκόμενον εὐσεβοῦντας αὐτοὺς ἀνάγκη πάντως ὁμολογεῖν. Διὰ ταύτην, ὡς οἶμαι, τὴν αἰτίαν συμπεριφερόμενος μὲν τοῖς περὶ Εὐνόμιον ἀμφέβαλε τὴν ἀντιστροφὴν ὁ διδάσκαλος, τὸ Τυχὸν ἐπίῤῥημα θέμενος, καὶ ἡμῖν καταλιμπάνων

1. Eadem manus in cod. Gud. marg. rubro adscripsit σημαινομένου.

Digitized by Google

qualitatis plane expers; qualitatis autem plane expers, quia et omnino simplex; simplex autem plane, quod omnino non distat; distat autem omnino quod prorsus infinitus est; infinitus autem est prorsus, quod et prorsus immobilis (nequaquam enim movetur quod non habet ubi moveatur); immobilis autem plane, quod et initio omnino caret (nihil enim ante se habet seu maius, nihil cum se ipso seu aequale, nihil post se, quodve conferri aut capere ipsum possit); initio autem omnino caret, quod et ingenitus est plane, ingenitus autem plane, quod et omnino unus et solus; unus autem omnino et solus, quod et omnino caret affectione et relatione, et ob hoc penitus ineffabilis et incognitus, omnisque eorum qui probe et deo convenienter ad eum promoventur cognitionis finis unicus, et unicam cognitionem veram habens eam quod non possit cognosci.

Ex eodem sermone in illud, ‚Nam si id quod non est nusquam est, ne est quidem fortasse. Quod si alicubi esse dixeris, proculdubio, quandoquidem est, vel in universo est, vel supra universum.‘

Qua de causa, audiens fortasse inquiet, inversionem ancipitem magister posuit, addito ‚fortasse‘ adverbio? cum de rationalibus suppositionibus nemo non dubitet quin iure omnino concedatur id non esse quod nusquam sit. Cui pro exilis nostrae intellegentiae indigentia respondebimus, quod Eunomii eiusque discipulorum, qui deum ut ipse se ipsum nosse iactarent, insaniam coercere studens propter tales sermones in placitum absurdum redegit. Aut enim, cum deum tanquam ipse se ipsum nosse dicunt necessarium plane habent, ut etiam ubi sit quem norint ipsi adiciant, in plenam cogniti comprehensionem, et ita nihil omnino ab existentium ullo secundum ipsos deus differt, ipse loco circumscriptus, quo nihil absurdius foret: aut, si eum nusquam vel prorsus non existere statuunt, secundum ipsius rationis suppositionem, quid foret magis impium? (quomodo enim comparatum et quid esset quod omnino alicubi esse non haberet?) aut plane necessario esse eum rationis consequentia statuere illos cogit, et nusquam esse, perque hoc esse quidem et existere deum, quid autem sit et existat se non nosse. Si enim ubinam sit deus ignorari statuunt, multo magis ipsum numen divinum quidnam secundum essentiam sit, ignorabitur. Quare si religiose et pie agere volunt, quod ignoratur nec usquam esse omnino consentire debebunt. De hac, ut arbitror, causa Eunomianis morigerans inversione eos induit magister, adverbio ‚fortasse‘ posito, nobisque considerandum reliquit, quod nequaquam id quod nusquam existat omnino existere neget?

Digitized by Google

νοεῖν ὅτιπερ οὐ πάντως τὸ μηδαμοῦ τὸ μηδαμῇ μηδαμῶς ὂν εἰςάγει. Θεὸν γὰρ ἡμεῖς εἶναί φαμεν, καὶ μηδαμοῦ τυγχάνειν, τῷ μὴ ὡς ἐν τόπῳ οὐσιωδῶς κατὰ τὴν ὕπαρξιν περιγράφεσθαι, καὶ πάντως εἶναι, τῷ μὴ δεῖσθαι παντελῶς τοῦ παντὸς τῶν ὄντων πρὸς τὸ εἶναι, ὧν χωρὶς καὶ ἦν καὶ ἔστι, καὶ ἀεὶ εἶναι συνήσεται, μᾶλλον δὲ ἔστιν ἀεί. Οὐ γὰρ θέσιν ἔχει τὰ ὄντα ὃ καὶ πρὶν εἶναι τὰ ὄντα ὑπάρχων. Εἰ γὰρ παρ' ἡμῖν οὐκ ἐν τοῖς τεχνητοῖς πάντως τὸ εἶναι κατὰ τὴν ὕπαρξιν ὑποστατικῶς ἔχουσιν οἱ τεχνῖται περιεγραμμένον τὸ φθειρόμενον τοῦτο πρᾶγμα, καὶ ἀληθέστερον κυρίως εἰπεῖν μηδέποτε ὄν, τί ἄν τις φαίη περὶ τῆς ἀῤῥήτου καὶ ἀγνώστου καὶ ἀχωρήτου πᾶσιν ὁμοίως καὶ ἀεὶ ὡσαύτως ἐχούσης δυνάμεως.

Idem ibid. cap. 19., p. 510. tom. I. Opp. edit. Bened.

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ, Εἴ τε φαντασία τις ἦν ἡμερινὴ, εἴτε νυκτὸς ἀψευδὴς ὄψις, εἴτε τοῦ ἡγεμονικοῦ τύπωσις, συγγινομένου τοῖς μέλλουσιν ὡς παροῦσιν.

Ἄκρως καθαρθεὶς τῶν οἷς μολύνεσθαι πέφυκε τῶν ἀνθρώπων ἡ φύσις ὁ μακάριος οὗτος πατὴρ διὰ τῆς πρακτικῆς
Cod. f. 192 b. φιλοσοφίας, | καὶ τὸν νοῦν δι' ὅλου ποιωθεὶς τῷ ἁγίῳ πνεύματι ταῖς ἐπιβολαῖς τῶν θείων θεωρημάτων, διὰ τῆς ἀληθοῦς κατὰ τὴν γνῶσιν μυσταγωγίας, οἷα δὴ τὰ ἴσα τοῖς ἁγίοις προφήταις παθὼν, τὰ εἴδη τῆς προφητείας ἐν τούτοις ἡμῖν ἀπηρίθμησεν. Οἷς εἴπερ τὸ δεῖν ὅλως τολμᾶν οὕτω μεγαλοφυῶς τε καὶ ἐνθεαστικῶς εἰρημένοις, καὶ πάντων τῶν μὴ τοιούτων οἷος αὐτὸς ἦν ὁ διδάσκαλος τὴν δύναμιν ὑπερβαίνουσιν, ἐπιβάλλειν οἰόμεθα χρήσιμον, στοχαστικῶς, ἀλλ' οὐκ ἀποφαντικῶς τοῦτο ποιητέον. Οἶμαι τοίνυν στοχαστικῶς εἰπεῖν κατὰ τὴν ἐμὴν ἀμβλυωπίαν, φαντασίαν ἡμερινὴν αὐτὸν εἰρηκέναι τὴν τῶν ἀπροσώπως τοῖς ἁγίοις ὡς δι' αἰσθήσεως ἀκουομένων πνευματικῶς καὶ φαινομένων λόγων καὶ πραγμάτων ὄψιν τε καὶ ἐνέργειαν. Οὐ γὰρ δὴ λέγειν θέμις ἐπὶ τῶν θείων τὸ [1] θαυμαστὸν πάντως δεῖν παρεῖναι πρὸς διατύπωσιν τῆς φαντασίας, ἀλλὰ παραδόξως τε καὶ ὑπερφυῶς καὶ μὴ παρόντος προσώπου καὶ φωνῶν αἰσθητῶν μὴ κτυπουμένων δι' ἄερος τὴν φαντασίαν ἐνεργεῖν, ὥστε ἀληθῶς ἀκούειν καὶ ὁρᾶν τὸν τὰ θεῖα μυσταγωγούμενον. Ἐπειδὴ γὰρ πᾶσα φαντασία ἢ τῶν παρόντων, ἢ τῶν παρελθόντων· τῶν δὲ μήπω γενομένων παντάπασίν ἐστιν οὐδαμῶς. Σχέσις γάρ ἐστι τοῖς ἄκροις δι' ἑαυτῆς μεσιτεύουσα. Ἄκρα δέ φημι τό τε φανταστικὸν, καὶ τὸ φανταστὸν, ἐξ ὧν διὰ μέσης τῆς φαντασίας, σχέσεως οὔσης τῶν ἄκρων, τὸ φάντασμα γίνεται, πέρας ὑπάρχον ἐνεργείας καὶ πάθους, ἐνεργείας μὲν τοῦ φανταστικοῦ,

1. Recentior manus voci θαυμαστὸν superscripsit in Gud. libro φαντ, quo φανταστὸν emendandum esse significaret. Quod magis placet.

Digitized by Google

Deum enim nos esse dicimus, et nusquam esse, quia non, quasi in loco, essentialiter secundum substantiam circumscribitur, et esse omnino, quia tota universitate eorum quae sunt plane non eget ad suam existentiam, sine quibus et erat, et est, et semper esse poterit, vel potius semper est. Haud enim pro positione utitur eis quae sunt qui vel ante fuit quam ipsa quae sunt. Nam si penes nos in suis artificiis substantialem existentiam artifices plane non habent circumscriptam, rem interituram istam, et quae verius nunquam esse diceretur, quid, quaeso, de ineffabili et incognita et omnibus pariter inperceptibili ac semper eadem potestate dixeris?

Ex eodem sermone, in illud, ‚Sive diurnum quoddam erat spectrum, sive minime fallax noctis visio, sive praevia quaedam mentis impressio, futura tanquam praesentia exhibens.

Beatus hic pater iis quibus hominum natura conspurcatur per activam, quae dicitur, philosophiam penitus purgatus, ac mente a sancto spiritu divinarum contemplationum propositis ex toto praeparatus, per veram cognitionis initiationem, quippe eadem atque sancti prophetae passus, prophetiae species in his nobis enumeravit. Quae tam magnifice atque divine pronuntiata, et omnium qui non tales qualis ipse magister fuit facultatem superantia, suscipere interpretanda audere saltem nos debere postquam utile visum est, coniecturaliter hoc, non enuntiative erit faciendum. Arbitror igitur, ut quid suspicer pro hebete meo et obtunso ingenio edicam, ‚diurnum spectrum' eum dixisse visionem et sonitum sanctis viris tanquam per sensum spiritualiter auditum ac visum rerum ac verborum. De divinis enim non fas est statuere miraculum vere adesse oportere ad imaginem imprimendam, sed miro quodam et insolito modo, nec spectro ullo praesente, nec vocibus sensibilibus per auram sonantibus, imaginem efficere, quam rebus divinis initiatus revera et audiat et videat. Siquidem omnis imaginatio aut praesentium est, aut praeteritorum; futurorum autem nunquam est. Est enim affectio extremitatum in medio collocata. Extremitates autem dico id quod imaginatur et quod imagine apparet, ex quibus per mediam imaginationem, quae extremitatum affectio et relatio est, imago nascitur, actionis et passionis terminus, actionis quidem eius quod imaginatur, et passionis eius quod imagine apparet, extremitatibus per mediam imaginationem, id est relationem et affectionem circa ipsam imaginem, cohaerentibus. Quaecunque enim secundum quidpiam altera petunt, agere dicuntur, quaecunque autem secundum quidpiam alteris succidunt, pati. Itaque quae petunt, natu-

Digitized by Google

παθοῦς δὲ τοῦ φανταστοῦ, τῶν διὰ μέσης τῆς φαντασίας,
Cod. f. 193 a. σχέσεως αὐτῶν ὑπαρχούσης περὶ αὐτὸ, ἀλλήλοις | συναπτομένων ἄκρων. Πάντα γὰρ τὰ κατὰ τί τινων ἀντιλαμβανόμενα ἐνεργεῖν λέγεται, πάντα δὲ κατά τι ἄλλοις ὑποπίπτοντα πάσχειν. Τὰ οὖν καταλαμβάνοντα φυσικῶς ἐνεργοῦσι, τὰ δὲ καταλαμβανόμενα φυσικῶς πάσχουσι, πέρας ἔχοντα πάθους καὶ ἐνεργείας τὴν πρὸς ἄλληλα κατὰ τὸ μέσον συνάφειαν. Διὰ τοῦτο δεῖν ἐπὶ τῶν θείων τὸ φανταστὸν οἴεσθαι μὴ παρεῖναι νομίζω πρόσφορον, ἐπεὶ οὐκ ἔτι μέλλει παρεῖναι τὸ καθ' ὑπόστασιν ἰδίαν πραγματειωδῶς ἤδη παρὸν, καὶ ἅμα μηδὲ θεῖον εἶναι πιστεύεται, τῆς κατὰ φύσιν ἀκολουθίας πλέον ἔχον οὐδέν. Εἰ γὰρ ἡμεῖς καθ' ὕπνον νύκτωρ φανταζόμενοι καὶ ὁρῶμεν καὶ ἀκούομεν, πολλάκις μηδενὸς ὄντος τοῦ λαλοῦντος ἢ ὁρωμένου, πολλῷ μᾶλλον γρηγοροῦντες ἀληθῶς οἱ ἅγιοι πείσονται τοῦτο, τοῦ θεοῦ ἐνεργοῦντος αὐτοῖς γρηγοροῦσι κατὰ παράδοξον χάριν, ὅπερ ἡμεῖς πάσχειν νόμῳ φύσεως κατὰ τὸν ὕπνον εἰώθαμεν. Ἄψευδῆ δὲ νυκτὸς ὄψιν αὐτὸν ὑπολαμβάνω λέγειν ἢ τὴν ἐν τοῖς ὕπνοις κατὰ ψυχὴν ἀκριβῆ γινομένην τῶν μελλόντων πραγμάτων κατάληψιν, ὡς ἐπ' Ἰωσὴφ καὶ Δανιὴλ, ἢ ὀπτασίαν τινὰ θείων πραγμάτων διὰ τὴν ἐκ πολλῆς καθαρότητος ἄκραν ἀπάθειαν καὶ σαρκὸς ὀφθαλμοῖς ἁγίων ὑποπίπτουσαν. Τὴν δὲ τοῦ ἡγεμονικοῦ τύπωσιν οἶμαι κατ' ἔμφασιν αὐτὸν λέγειν τοὺς μονοτρόπως, ὡς ἐν εἰκόνι, κατὰ τὴν ἁπλῆν καὶ ἀδιάστατον τοῦ νοεροῦ προσβολὴν τοῖς ἁγίοις προσφαινομένους τῶν μελλόντων τύπους. Κἀγὼ μὲν ταῦτα στοχαστικῶς περὶ τούτων θαῤῥήσας εἶπον, τῆς κατ' αὐτὰ πείρας τὴν χάριν οὐκ εἰληφώς,
Cod. f. 193 b. διὰ τὴν τοῦ ἐπιτάξαντος κέλευσιν. Εἰ δέ τις τῶν εἰληφότων τὴν χάριν τούτοις ἐντύχοι, μή με τῆς προπετείας μέμψαιτο, ἀλλὰ μᾶλλον τῆς εὐπειθείας ἀποδείξαιτο, κἂν οὐδεμίαν ἐμφαντικὴν δύναμιν τοῦ σκοποῦ τῶν προτεθέντων ὁ παρὼν ἔχῃ λόγος.

Idem ibid. cap. 20., p. 510. tom. I. Opp. edit. Bened.

*Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ, Παύλῳ δὲ εἰ μὲν ἔκφορα ἦν ἃ παρέσχεν ὁ τρίτος οὐρανὸς, καὶ ἡ μέχρις ἐκείνου πρόοδος, ἢ ἀνάβασις, ἢ ἀνάληψις.*

Φασὶν οἱ τοῖς θείοις σοφῶς ἐμμελετήσαντες λόγοις τῶν ὀνομάτων κατὰ περίληψιν τὰ μὲν οὐσίας εἶναι, τὰ δὲ σχέσεως, τὰ δὲ χάριτος ἢ ἀπωλείας. Οἷον οὐσίας μὲν, ὡς ὅταν λέγωσιν ἄνθρωπος· σχέσεως δὲ, ὡς ὅταν λέγωσιν ἀγαθὸς, ἢ ἅγιος, ἢ σοφὸς ἄνθρωπος, ἢ τὸ ἐναντίον πονηρὸς ἄνθρωπος, ἢ ἄφρων, ἢ ἀκάθαρτος· (τὸ γὰρ πρός τί πως ἔχειν τῶν ἐκ διαμέτρου τοῖς ἐναντίοις διειλημμένων ἕκαστον ἡ σχέσις παριστῶσα δικαίως ἐξ ὧν ἔχει τὴν προαιρετικὴν ἕξιν ἐνδιάθετον προσαγορεύει) χάριτος δὲ, ὅταν θεὸς ὁ ἄνθρωπος τοῖς λόγοις ὀνομάζηται, ὁ διὰ πάντων ὑπήκοος θεῷ γενόμενος ἄνθρωπος,

Digitized by Google

raliter agunt, quae petuntur naturaliter patiuntur, cum passionis et actionis terminum habeant mutuam inter se per medium cohaerentiam. Quare de divinis quod imagine appareret non adesse statuere consentaneum videtur, quando id non iam adfuturum est quod secundum propriam substantiam ad rei instar iam adest, neque divinum simul esse creditur, cum naturalem consequentiam nihil superet. Nam si nos noctu per somnum imaginando et videmus et audimus, nemine saepenumero praesente qui loquatur aut videatur, multo magis vigilantes revera sancti hoc patientur, deo in eis agitante mira quadam gratia vigilantibus, quod nos naturae lege per somnum pati consuevimus. ‚Non fallacem' autem ‚noctis visionem' eum suspicor dicere aut rerum futurarum in somnis certam atque accuratam comprehensionem, ut Iosepho et Danieli accidit, aut rerum divinarum visionem quandam, cuiusmodi de perfecta, quae ex summa puritatis et innocentiae plenitudine nascitur impassibilitate, vel carneis sanctorum oculis obveniat. ‚Principalis' autem, id est mentis, ‚praeviam impressionem' dicentem suspicor eum significare futurorum simulacra, sanctis singulari quodam modo per simplicem quandam nulloque intervallo distantem intellectus applicationem apparentia. Atque ego quidem haec de istis coniecturaliter dicere audebam, qui experiundi eiusmodi gratiam nactus non sim, eius quidem iusso qui id mihi negotii iniunxit. Sed si quis eorum qui gratiam nacti sunt hanc qualemcunque meam scriptionem legerit, rogo, ne me petulantiae criminari, sed magis oboedientiam probare velit, etiamsi ista disputatio eorum quae proposita erant summam et cardinem demonstrandi vim habebat nullam.

Ex eodem sermone, in illud, ‚Quod si Paulo ea quae tertium caelum, atque ad illud usque progressio, vel ascensio, vel assumptio, exhibuit, evulgare licuisset.'

Qui in divinis sapienter sermonibus versati sunt vocabulorum, si comprehendere volumus, partem substantiae esse, partem affectionis, partim gratiae aut perniciei. Quale est, substantiae quidem, ut cum dicunt ‚homo'; affectionis vero, ut cum dicunt ‚bonus', vel ‚sanctus', vel ‚sapiens homo', aut contrarium huic ‚malus homo', vel ‚insipiens' vel ‚impurus' (ad aliquid enim aliquomodo se habere eorum quae contrariis directe distant unumquodque affectio sive relatio repraesentans iure ex quibus voluntatis habitum habet intus conceptum appellat), gratiae vero, cum homo deus in sermonibus appellatur, homo per omnia deo oboediens factus, secundum illud, ‚Ego dixi, dei estote, nec natura nec affectione deum esse

Digitized by Google

Ioann. 10, 34. κατὰ τὸ, Ἐγὼ εἶπα, θεοὶ ἐστὲ, οὔτε κατὰ φύσιν οὔτε κατὰ σχέσιν ἔχων τὸ εἶναι ἢ καλεῖσθαι θεὸς, ἀλλὰ κατὰ θέσιν καὶ χάριν γενόμενός τε καὶ ὀνομαζόμενος· ἡ γὰρ χάρις τῆς θέσεως ἄσχετός ἐστι παντάπασιν, οὐκ ἔχουσα τὴν οἱανοῦν δεκτικὴν ἑαυτῆς ἐν τῇ φύσει δύναμιν, ἐπεὶ οὐκ ἔτι χάρις ἐστὶν, ἀλλὰ τῆς κατὰ τὴν φυσικὴν δύναμιν ἐνεργείας φανέρωσις. Καὶ οὕτω γε πάλιν οὐκ ἔσται παράδοξον τὸ γινόμενον, εἰ κατὰ δεκτικὴν φύσεως δύναμιν ἡ θέωσις ἦν. Φύσεως γὰρ ἂν εἰκότως ἔργον, ἀλλ' οὐ θεοῦ δῶρον ἡ θέωσις

Cod. f. 194 a. ἔσται, καὶ δυνήσεται καὶ | φύσει θεὸς ὁ τοιοῦτος εἶναι καὶ κυρίως προσαγορεύεσθαι. Οὐδὲν γὰρ ἄλλο καθέστηκεν ἡ κατὰ φύσιν τῶν ὄντων ἑκάστου δύναμις ἢ φύσεως πρὸς ἐνέργειαν ἀπαράβατος κίνησις. Πῶς δὲ καὶ ἐξίστησιν ἑαυτοῦ τὸν θεούμενον ἡ θέωσις, εἰ τοῖς ὅροις τῆς φύσεως αὐτὴ περιείληπτο, συνιδεῖν οὐκ ἔχω. Ὡσαύτως δὲ καὶ ἐκ τοῦ ἐναντίου ἀπώλειαν καὶ φθορὰν, καὶ υἱοὺς ἀπωλείας, καὶ τὰ τοιαῦτα προσαγορεύουσι τοὺς τὸ μὴ ὂν κατὰ διάθεσιν ἑαυτοῖς ὑποστήσαντας, καὶ τοῖς τρόποις [2] αὐτῷ διὰ πάντων γενομένους παρεμφερεῖς. Οἶμαι τοίνυν τὸν ἅγιον τοῦτον καὶ μέγαν διδάσκαλον ἐπὶ νοῦν τὰ προειρημένα λαβόντα τὴν ἐν τούτοις ἁρπαγὴν τοῦ ἁγίου ἀποστόλου διασκευάσαι, προσφυῶς ἑκάστῳ τὴν ἁρμόζουσαν φωνὴν ἀπονείμαντα. Διὸ πρόοδον μὲν αὐτὸν ὑπονοῶ λέγειν τὴν ἔξω τῆς φυσικῆς ἀνάγκης τὸν ἅγιον ἀπόστολον καταστήσασαν τῆς ἀρετῆς κατὰ τὴν ἕξιν ἀπάθειαν, καθ' ἣν οὐδεμίαν εἵλετο πρὸς τὴν φύσιν ἔχειν προαιρέσεως σχέσιν, ὡς καὶ αὐτῆς τῆς κατ' αἴσθησιν φυσικῆς ἐνεργείας ἔξω γενόμενον, μᾶλλον δὲ καὶ ταύτην πρὸς πνευματικὴν ἕξιν μεταβαλόντα· ἀνάβασιν δὲ τήν τε τῶν αἰσθητῶν πάντων ἀπόλειψιν, οὐκ ἔτι ἐνεργούντων ἢ ἐνεργουμένων παρ' αὐτῷ κατὰ τὴν αἴσθησιν, καὶ τῆς περὶ αὐτὰ κατὰ φύσιν ἐν πνεύματι γνωστικῆς θεωρίας ὑπέρβασιν· ἀνάληψις δὲ τὴν ἐν τῷ θεῷ γενομένην αὐτῷ μετὰ ταῦτα μονήν τε καὶ ἵδρυσιν, ἣν προσφόρως ἀνάληψιν ὁ διδάσκαλος εἶπεν, ὡς παθόντα μᾶλλον ἢ δράσαντα τὸν ἀπόστολον τὴν ἀνάληψιν ἐνδεικνύμενος. Ἡ ἀνάληψις γὰρ πάθος

Cod. f. 194 b. ἐστὶ τοῦ ἀναλαμβανομένου, | ἐνέργεια δὲ τοῦ ἀναλαμβάνοντος. Ὧν τοιγαροῦν φυσικῶν τε καὶ σχετικῶν ὀνομάτων ὑπῆρχε κύριος ὁ ἀπόστολος, κατά τε φύσιν καὶ σχέσιν ὑπερέβη τὴν κλῆσιν, ὑπὲρ φύσιν καὶ ἀρετὴν καὶ γνῶσιν ἀνθρωπίνην γενόμενος. Οὗ δὲ μᾶλλον ἀπείρως ἀπέδει θείου ὀνόματος, τούτου κατὰ χάριν μετέσχε τῆς κλήσεως, θεὸς ἀντὶ παντὸς ἄλλου προσόντος ὀνόματος φυσικοῦ τε καὶ σχετικοῦ τῇ ἀναλήψει καὶ γενόμενος καὶ καλούμενος. Ἢ καὶ πάλιν οὕτω. Πρόοδος μέν ἐστιν ἡ παντελὴς κατ' ἀρετὴν τῆς φύσεως ἄρνησις, ἀνάβασις δὲ ἡ τῶν ἐν οἷς ἐστιν ἡ φύσις ὑπέρβασις, λέγω δὲ τόπον καὶ χρόνον, ἐν οἷς ἡ τῶν ὄντων ἐστὶν ὑπό-

2. αὐτὸ cod. Gud.

Digitized by Google

aut appellari habens, sed positione et gratia factus et appellatus; positionis enim gratia affectione omnino caret, nec habet qualemcunque sui capacem in natura potestatem, cum non amplius gratia sit, sed virtutis naturali facultate agentis et efficientis manifestatio. Atque sic rursum quod fit haud mirum erit, si per capacem naturae facultatem deificatio foret. Naturae enim probabiliter opus, at non dei donum deificatio esset, et talis etiam natura deus fieri appellarique proprie posset. Nihil enim aliud est naturalis rerum quae existunt cuiusque facultas quam naturae ad agendum perpetua motio. Quomodo autem deificatio eum qui deificatur a se ipso alienet, si ea naturae finibus comprehensa erat, hoc intellegere non possum. Aeque vero etiam ex contrario perniciem et infernum, et perniciei filios, et similia appellant eos qui quod non est secundum affectionem sibi repraesentant, moribusque ei per omnia facti sunt suppares. Arbitror igitur hunc sanctum et magnum magistrum cum in ea quae supra dixi animum intendisset commemoratum illic sancti apostoli raptum exornasse, apte suam cuique vocem et consentaneam distribuendo. Quare ‚progressionem' quidem eum dicere suspicor virtutis secundum habitum impassibilitatem quae sanctum apostolum extra naturalem necessitatem constituat, qua nullam voluntatis ad naturam relationem habere voluit, cum extra ipsam quoque naturalem secundum sensum actionem constitutus esset, immo potius hanc quoque in spiritualem habitum convertisset: ‚ascensionem' vero omnium sensibilium derelictionem, quae non amplius agerent aut agerentur in eo secundum sensum, et naturalis in spiritu circa ea gnosticae contemplationis transgressionem: ‚assumptionem' vero in deo quae posthac fieret mansionem et aedificationem, quam magister idoneo sane vocabulo ‚assumptionem' vocavit, quo passum magis esse quam egisse assumptionem apostolum significaret. Assumptio enim passio est eius qui assumitur, actio autem eius qui assumit. Quorum igitur naturalium et relativorum nominum dominus erat apostolus, secundum naturam et affectionem transgressus est appellationem, cum naturam et virtutem et cognitionem humanam superasset. Quo autem magis carebat infinite divino nomine, huius per gratiam participavit vocationem, cum deus prae omni cetero, quod adhaerebat, nomine et naturali et relativo factus esset assumptione et vocaretur. Aut etiam rursus ita. ‚Progressio' quidem est plena secundum virtutem naturae renuntiatio, ‚ascensio' vero est eorum in quibus natura est transgressio, locum inquam et tempus, in quibus rerum quae sunt substantia constat, ‚assumptio' vero ad eum est, ex quo cuncta et per quem et in quem, tanquam ad finem rerum omnium per gratiam restitutio. Et aliter dicam: ‚Progressio' per

Digitized by Google

στασις, ἀνάληψις δὲ ἡ πρὸς τὸν ἐξ οὗ τὰ πάντα καὶ δι' οὗ καὶ εἰς ὃν, ὡς πρὸς πέρας τῶν ὅλων κατὰ χάριν ἀποκατάστασις. Καὶ ἄλλως δὲ φάναι, πρόοδός ἐστιν ἡ διὰ τῆς πρακτικῆς φιλοσοφίας ὡς διδασκάλου τοῦ ἀποστόλου τῶν αὐτοῦ μαθητῶν εἰς ἀρετὴν προκαθήγησις· δεῖ γὰρ ἐν παντὶ προπορεύεσθαι τῶν μαθητῶν τὸν διδάσκαλον, πρὸς τὴν τῶν καθηκόντων ἐνέργειαν· ἀνάβασις δὲ ἡ διὰ τῆς φυσικῆς θεωρίας ἐπιστημονικὴ τῶν ἐν τοῖς οὖσι λόγων περίληψις, ἀνάληψις δὲ ἡ εὐσεβὴς τῆς ἀληθοῦς καὶ θεολογικῆς σοφίας ἄῤῥητος μύησις. Τρίτον δὲ οὐρανὸν κατὰ στοχασμὸν εἶναι νομίζω τοὺς περιγράφοντας ὅρους τῆς τε πρακτικῆς φιλοσοφίας καὶ τῆς φυσικῆς θεωρίας, καὶ τῆς θεολογικῆς μυσταγωγίας τοὺς ὑψηλοτάτους λόγους, ἤτοι τὰ τούτων πέρατα, ἐπειδὴ μέτρον ἐστί τι καὶ καταλήψεως ἀρετῆς καὶ φύσεως καὶ τῆς ἐπ' ἀμφοῖν
Cod. f. 195 a. θεολογίας, ἀναλόγως κατὰ φύσιν ἑκάστῳ | τῶν ὄντων παρὰ θεοῦ προςῃρμοσμένον, ἐν οἷς ὅροις καὶ πέρασιν ὁ μακάριος ἀπόστολος τοὺς τῶν εἰρημένων κατὰ τὸ ἐφικτὸν παρελθὼν λόγους ἐγένετο. Εἰ γὰρ περιγραφὴ τῶν ἐντὸς διειλημμένων κατὰ φύσιν ἐστὶν ὁ οὐρανὸς, καὶ ὅρος πάντων τῶν ὑπὸ αἴσθησιν, δηλονότι κατὰ τὸν τῆς ἀναγωγῆς λόγον καὶ πᾶσα περιγράφουσα τοὺς περίτιμος ἀρετῆς ἢ γνώσεως λόγους λῆξις, ὡς ὅρος τῶν ὁριζομένων, καὶ πέρας τῶν περιγεγραμμένων, τροπικῶς οὐρανὸς ὀνομάζεται. Ἢ πάλιν τρίτον οὐρανὸν εἶναι τυχόν φησιν ἡ γραφὴ τὰς ὑπὲρ ἡμᾶς πρὸς τὸ ἄνω καθ' εἱρμὸν τρεῖς τῶν ἁγίων ἀγγέλων τάξεις, ἅςπερ ἔφθασεν ἴσως ὁ ἅγιος Παῦλος, ταῖς τῶν κατ' αὐτὸν γνώσεων ἀποφάσεσι τῶν κατ' ἐκείνους τὰς καταφάσεις μυούμενος, καὶ ταῖς καθ' ὑπεροχὴν τῶν οἰκείων στερήσεσι τὰς ἐκείνων ἕξεις μιμούμενος. Πᾶσα γὰρ φύσις τῶν λογικῶν κατὰ τὴν ἑαυτῆς τάξιν καὶ δύναμιν τῆς ὑπὲρ αὐτὴν οὐσίας καὶ τάξεως τὰς γνωστικὰς ἕξεις τε καὶ θέσεις καὶ καταφάσεις στερητικῶς ταῖς κατ' αὐτὴν ἀφαιρετικαῖς ἀποφάσεσι μυεῖταί τε καὶ μιμεῖται, καὶ ἔστιν ἡ κατὰ τὴν γνῶσιν τῶν ὑπερκειμένων κατάφασις τῶν ὑποβεβληκότων ἀπόφασις, καὶ ἔμπαλιν τῶν ὑποβεβληκυιῶν ἡ κατὰ τὴν γνῶσιν ἀπόφασις τῶν ὑπερσχουσῶν κατάφασις, μέχρι τῆς πασῶν καθ' ὑπεροχὴν ἀνωτάτης φύσεώς τε καὶ τάξεως ἀποφατικῶς προοδεύουσα, ἣν μετὰ πάσας τάξεις τε καὶ δυνάμεις ἡ ἄμεσος περὶ θεὸν διαδέχεται κατὰ τὴν γνῶσιν ἀπόφασις, ὑπ' οὐδενὸς παντελῶς καταφασκομένη τῶν ὄντων, μὴ ὄντος λοιπὸν ὅρου τινὸς ἢ πέρατος τοῦ ταύτην περιλαμβά-
Cod. f. 195 b. νοντος τὴν ἀπόφασιν. | Ὥςπερ γὰρ τῶν αἰσθητῶν κατὰ φύσιν ἀπόφασίς ἐστι τὰ νοητὰ, οὕτω καὶ ἐν ταῖς συμπληρούσαις τὸν ἄνω κόσμον οὐσίαις τε καὶ δυνάμεσιν αἱ τῶν πρώτων κατὰ τὴν περὶ θεὸν γνῶσιν ὑπεροχαὶ διὰ τὴν ὕφεσιν ταῖς μετ' αὐτὰς ἀποφάσκονται. Ὡς γὰρ ἅπερ ἡμεῖς νοεῖν οὐ δυνάμεθα, τοῖς ὑπὲρ ἡμᾶς ἁγίοις ἀγγέλοις εἰσὶ νοητὰ, οὕτω καὶ τοῖς ὑπὲρ ἡμᾶς ἁγίοις ἀγγέλοις τὰ μὴ νοούμενα τοῖς

Digitized by Google

practicam, quae dicitur, philosophiam est in virtutem deductio, ut qua magister apostolus promovet discipulos; nam in omnibus magister antecedere debet discipulis ad agenda ea quae decent: ‚ascensio' vero perita rationum rebus inhabitantium per naturalem contemplationem comprehensio: ‚assumptio' denique pia verae et theologicae sapientiae initiatio, quae qualis sit verbo exprimi non potest. Tertium autem caelum suspicor esse fines circumscriptivos practicae philosophiae et naturalis contemplationis ac theologicae initiationis summas rationes, sive harum terminos, quandoquidem modus aliqui comprehendendae et virtutis et naturae et quae in utraque sita est theologiae, convenienter et secundum naturam unicuique eorum quae sunt a deo adoptatus est, quibus in terminis et finibus beatus apostolus eorum quae dixi rationes, quantum sibi liceret, superavit. Nam si eorum quae naturaliter intus continet caelum descriptio est, ac finis cunctorum quaecunque sensui obnoxia sunt, secundum sublimiorem nimirum et mysticam rationem omnis quoque virtutis vel cognitionis rationes circumscribens, quae summopere reverenda, cessatio, ut finis eorum quae videntur, et terminus eorum quae circumscribuntur, figurate caelum appellatur. Aut rursus ‚tertium' Scriptura ‚caelum' fortasse appellat sanctorum angelorum tria, quae supra nos ordine sursum escendunt castra, ad quae sanctus Paulus fortasse pertransiit, cognitionum suarum negationibus in illorum affirmationes initiatus, et praecipuis propriorum privationibus illorum habitus imitatus. Omnis enim rationalium natura secundum ordinem suum et facultatem in superioris ipsâ essentiae et ordinis gnosticos habitus et positiones et affirmationes privative ablativis suis negationibus initiatur atque eas imitatur, estque secundum cognitionem affirmatio eorum quae superiacent eorum quae subiecta sunt negatio, atque rursus earum quae subiectae sunt secundum cognitionem negatio earum quae supereminent est affirmatio, usque ad cunctorum unice summam naturam et ordinem negative progrediens, quos post omnes ordines et potestates immediata circa deum excipit secundum cognitionem negatio, quae a nullo omnino eorum quae sunt affirmatur, neque ullus de cetero omnino finis extat aut terminus qui hanc negationem comprehendat. Quemadmodum enim sensibilium secundum naturam negatio sunt intellegibilia, ita etiam in eis qui superiorem mundum complent essentiis ac potestatibus primariorum secundum dei cognitionem quae excellunt propter summissionem eis quae post se sunt negantur. Ut enim quae nos intellegere non possumus, sanctis, qui nos superant, angelis intellecta sunt, ita quae angelis nos superantibus, non sunt intellecta eis sunt angelis sanctis intellecta quae hos superant, atque ita deinceps a

Digitized by Google

ὑπὲρ αὐτοὺς ἁγίοις ἀγγέλοις εἰσὶ νοητὰ, καὶ οὕτω καθ' ἑξῆς ἀπὸ δυνάμεως εἰς δύναμιν ἀναβαίνων ὁ λόγος καὶ ὑφούμενος, καὶ πάσας τάξεις τε καὶ δυνάμεις διαβαίνων, εἰς τὸ ἄῤῥητόν τε καὶ ἀνόητον λήγει καὶ παντελῶς ἄγνωστον. Εἰ τοίνυν κατὰ τὸν Ἀρεοπαγίτην Διονύσιον αἱ μὲν ἀποφάσεις ἐπὶ τῶν θείων ἀληθεῖς, αἱ δὲ καταφάσεις ἀνάρμοστοι τῇ κρυφιότητι τῶν ἀπορῥήτων, εἰκότως ὁ θεσπέσιος ἀπόστολος πασῶν τῶν κατ' αὐτὸν γνώσεων ἀποφήσας τὴν νόησιν, καὶ πάσης ὑπεράνω γενόμενος τῶν ὄντων σχέσεως, οὔτε ἐν σώματι, καθὼς εἶπεν, εἰκότως ἦν, ἐνεργοῦσαν οὐκ ἔχων τὴν αἴσθησιν, οὔτε ἐκτὸς αὖθις τοῦ σώματος, ἀργοῦσαν ἔχων τὴν νόησιν κατὰ τὸν καιρὸν τῆς αὐτῷ γενομένης ἁρπαγῆς, καθ' ἣν ἀφράστως τε καὶ ἀγνώστως τινὰ δεξάμενος κατὰ μύησιν ὑπερκόσμιον ῥήματα σιγῇ ταῦτα τιμήσας ἐφύλαξε παντελῶς ἀνέκφορα, ὡς μήτε νοῦ νοῆσαι, μήτε γλώσσης λαλῆσαι, μήτε ἀκοῆς αὐτὰ δέξασθαι δυναμένων. Ποιεῖ δὲ, καθὼς οἱ πεπειραμένοι φασὶ, τὴν μὲν ἐν τῇ λεχθείσῃ προόδῳ τῆς ἀρετῆς τελείαν πρᾶξιν πίστις ὀρθὴ καὶ φόβος εἰς θεὸν ἀνόθευτος, τὴν δὲ κατὰ τὴν
Cod. f. 196 a. ἀνάβασιν ἄπταιστον φυσικὴν θεωρίαν ἐλπὶς | βεβαία καὶ ἀλώβητος σύνεσις, τὴν δὲ κατὰ τὴν ἀνάληψιν θέωσιν ἀγάπη τελεία, καὶ νοῦς τοῖς οὖσι καθ' ὑπεροχὴν πάμπαν ἑκουσίως πεπηρωμένος. Καὶ τῆς μὲν πρακτικῆς φιλοσοφίας πάλιν ἔργον εἶναί φασι πάσης τὸν νοῦν ἐμπαθῆ φαντασίας καθαρὸν καταστῆσαι, τῆς δὲ φυσικῆς θεωρίας πάσης τῆς ἐν τοῖς οὖσι καθ' ἣν αἰτίαν ὑπάρχουσιν ἀληθοῦς γνώσεως αὐτὸν ἐπιστήμονα δεῖξαι, τῆς δὲ θεολογικῆς μυσταγωγίας ὅμοιον θεῷ καὶ ἴσον, ὡς ἐφικτὸν, τῇ χάριτι κατὰ τὴν ἕξιν ποιῆσαι, μηδενὸς τὸ σύνολον ἔτι τῶν μετὰ θεὸν διὰ τὴν ὑπεροχὴν ὄντα νοήμονα.

Greg. Nas. Or. Theol. II. cap. 20., p. 511. tom. I. Opp. edit. Bened.

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ, Οὐδ' ἂν αὐτὸν δυνηθῆναι χωρῆσαι τὸν κάτω κόσμον, Ἰωάννης ὁ τοῦ λόγου πρόδρομος, ἡ μεγάλη τῆς ἀληθείας φωνὴ, διωρίζετο.

Εὔκαιρον ἦν καὶμὲ πρὸς τὸν ἅγιον τοῦτον καὶ μέγαν τῆς ἀληθείας διδάσκαλον, τὸ μέγεθος ὁρῶντα τῆς αὐτῷ παρὰ θεοῦ δοθείσης σοφίας, εἰπεῖν ὅπερ Δαβὶδ, ὁ τῶν προφητῶν καὶ βασιλέων ἐπισημότατος, πρὸς τὸν θεὸν, τὸ ἄπειρον τῆς ἐν πᾶσιν αὐτοῦ μεγαλειότητος καταπλαγεὶς, ἐνθουσιαστικῶς ἀπε-
Psalm. 139, 6. φθέγξατο, λέγων, Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ, ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτὴν, ὡς ἦν δίκαιον, μάλιστα θαύματι μόνῳ περιγράψας τὴν ἀπερίγραφον δύναμιν, οὐκ ἔχων ἄλλοθί ποι περὶ τῶν ἀνεφίκτων τῆς ψυχῆς ἐρεῖσαι τὴν πολυκίνητον βάσιν, καὶμὲ, ὡς εἶπον, ἀρκεῖσθαι τὸν ἐκ τοῦ θαυμάζειν σοφοῦ διδασκάλου σύνεσιν ἁγιασμὸν κομίσασθαι, καὶ μὴ πολυπραγμονεῖν, πῶς καὶ τίνι λόγῳ παρ' ἱστορίαν, ἅπερ θεία φωνὴ τοῖς ἁγίοις μυστικῶς ὀνόματα τέθειται, ἀλλήλοις

Digitized by Google

potestate in potestatem ascendens ratio, et exaltata, et omnes ordines atque potestates transgressa, in ineffabile desinit ac plane incognitum. Itaque si secundum Dionysium Areopagitam negationes in rebus divinis veritatem habent, contra affirmationes rerum ineffabilium obscuritati non conveniunt, divinus apostolus omnium suarum cognitionum intellectu negato, omnique rerum quae sunt affectione superata, neque in corpore, ut dixit, fuisse probabiliter videatur, cum activum non haberet sensum, neque rursus extra corpus, cum intellectum haberet cessantem eo quo raptus est tempore, quo in raptu inenarrabili quodam et incognito modo secundum caelestem initiationem quaedam verba accepit, quae tacite coleret et nunquam divulganda custodiret, utpote quae neque mens intellegere, neque lingua effari, neque aures percipere possent. Efficit autem, ut ii qui experti sunt tradunt, virtutis in ‚progressione', quam dixi, perfectam actionem fides recta et metus in deum incorruptus, naturalem vero in ‚ascensione' inoffensam contemplationem spes firma et immaculata conscientia, deificationem denique in ‚assumptione' perfecta caritas ac mens rebus quae sunt penitus et plane ultro abdicata, Atque activae quidem philosophiae rursus esse dicunt mentem passioni obnoxiam omni imaginatione ac seculari pompa liberare, naturalis autem contemplationis omni eam rerum qua causa existant vera cognitione imbuere, theologicae denique initiationis et instructionis eam deo aequalem et parem, quatenus licet, gratia secundum habitum reddere, adeo ut iam quaecunque post deum sunt propter eminentiam plane ignoret.

## Ex eodem sermone, in illud, ‚Nec ab mundo inferiori posse capi Ioannes Verbi praecursor et magna veritatis vox pronuntiavit.'

Opportunum erat ut et ego sanctum hunc atque magnum veritatis magistrum, cum magnitudinem sapientiae viderem a deo ei datae, ita alloquerer ut David prophetarum regumque insignissimus, deum, infinitam eius in omnibus rebus maiestatem admiratus, divino numine plenus dicens, ‚Mirabilior facta est tui cognitio, et invaluit, quam ut ei sufficiam', ut iustum erat, maxime cum admirando solum incircumscriptam circumscribere conaretur potestatem, nec usquam alias circa res, quas assequi non possumus, vagum et mobilem animae gradum sistere haberet, — et ut ego quoque, ut dixi, satis haberem ex admiratione sapientis magistri intellegentiae sanctificationem abstulisse, nec multum quaererem quomodo et qua ratione, quae nomina divina vox sanctis mystice indidit contra historiam, inter sese converterit, filium tonitru Ioan-

Digitized by Google

Cod. f. 196 b. Marc. 3, 17. ὁ διδάσκαλος περιτρέπει, τὸν υἱὸν τῆς βροντῆς | Ἰωάννην πρόδρομον ἐνταῦθα προσαγορεύων. Ἐπειδὴ δὲ καὶ τῆς εὐπειθείας πολύς ἐστιν ὁ μισθὸς, ἐντολῆς μάλιστα τοῖς ἡγουμένοις πείθεσθαι κελευούσης, καὶ σχολάσαι καὶ γνῶναι καὶ ἐρευνᾶν τὰς γραφὰς, καὶ μελετᾶν τὸν θεῖον νόμον ἡμέρας καὶ νυκτὸς, ἐν τοῖς εὖ ἔχουσι μάλιστα κείμενον ἔγνων, τοῦ τε ὄκνου καὶ τῆς ἀπειθείας τὸν κίνδυνον ὑφορώμενος, στοχαστικῶς περὶ τούτων κατὰ δύναμιν ἐρῶ, ταῖς ὑμῶν θαῤῥῶν τῶν ἐπιταξάντων εὐχαῖς. Οἶμαι τοίνυν τὸ παρ' ἱστορίαν εἰρημένον τῷ θεοφόρῳ τούτῳ διδασκάλῳ, παρατιθεμένῳ τὸν τοῦ Χριστοῦ πρόδρομον ἀντὶ τοῦ τῆς βροντῆς υἱοῦ, μὴ δύνασθαι ἄλλως ἢ κατὰ θεωρίαν ὁμαλίζεσθαι. Μόνη γὰρ αὕτη τῶν κατὰ τὴν ἱστορίαν ἀλλήλοις ἀντικεῖσθαι δοκούντων ἐστὶν ὁμαλισμὸς, ὡς τὴν ἐν ὅλοις ἀλήθειαν ἁπλῆν οὖσαν κατὰ τὴν φύσιν ἀσωμάτως ἐμφαίνουσα, μὴ συμπαχυνομένην ταῖς φωναῖς ἢ τοῖς σώμασιν. Ὥςπερ οὖν ὁ μέγας βαπτιστὴς Ἰωάννης ἐῤῥέθη πρόδρομος, ὡς πρὸς τὸν ἀληθῶς προσδοκώμενον, καὶ φωνὴ πρὸς λόγον, ὡς τούτου μηνυτικῶς προηγουμένη, καὶ λύχνος πρὸς ἥλιον, ὡς τεχνικόν τε καὶ θετικὸν καὶ πρόσκαιρον φῶς πρὸς φυσικόν τε καὶ οὐσιῶδες καὶ ἀτέχναστον καὶ αἰώνιον φῶς καὶ ἄσβεστον, οἶμαι δὲ ὅτι καὶ ὡς μετάνοια, τὴν πρὸ αὐτῆς κατὰ φύσιν ὑπάρχουσαν δικαιοσύνην μετ' αὐτὴν κατ' οἰκονομίαν γενομένην κηρύττουσα, — οὕτως οἶμαι κἀνταῦθα τὸν θεόφρονα τοῦτον διδάσκαλον διὰ τοῦ παρ' ἱστορίαν εἰπεῖν πρόδρομον τὸν μέγαν ἀπόστολον Ἰωάννην παραινίζασθαι θέλειν, ὅτιπερ καὶ Ἰωάννης ὁ μέγας εὐαγγελιστὴς ἐν τῷ κατ' αὐτὸν εὐαγγελίῳ πρόδρομός ἐστι τοῦ δι' αὐτοῦ μηνυομένου |
Cod. f. 197 a. μυστικωτέρου καὶ μείζονος λόγου, καὶ γράμμασι τυπωθῆναι καὶ φωνῇ γλώσσης σαρκίνης ῥηθῆναι μὴ δυναμένου. Στοιχείωσις γὰρ ὡς πρὸς τὴν ἐπιγινομένην ἑκάστοτε τοῖς δι' αὐτῶν ὑψουμένοις, καὶ τὸ πάχος τοῦ σωματικοῦ φρονήματος πνευματικῶς ἑαυτῶν ἀποξέουσιν, ἢ καὶ ἐπιγενησομένην ἐς ὕστερον γνῶσιν, μετὰ τὴν τῶν κινουμένων συντέλειαν, ἡ τῶν ἁγίων εὐαγγελίων ἐστὶ συγγραφή. Ὥςπερ γὰρ ὁ νόμος στοιχείωσις ἦν, κατὰ τὴν τέως ἐμφαινομένην αὐτῷ γνῶσιν, τῶν δι' αὐτοῦ εἰς Χριστὸν τὸν ἐν σαρκὶ λόγον παιδαγωγουμένων, καὶ τῷ εὐαγγελίῳ κατὰ τὴν αὐτοῦ πρώτην παρουσίαν συναγομένων, οὕτω καὶ τὸ ἅγιον εὐαγγέλιον στοιχείωσίς ἐστι τῶν δι' αὐτοῦ εἰς Χριστὸν τὸν ἐν πνεύματι λόγον παιδαγωγουμένων, καὶ τῷ μέλλοντι κόσμῳ κατὰ τὴν δευτέραν αὐτοῦ παρουσίαν συναγομένων, ἐπειδὴ γὰρ σὰρξ καὶ πνεῦμά ἐστιν ὁ αὐτὸς κατὰ τὴν ἑκάστῳ τῆς γνώσεως ἀναλογίαν τοῦτο ἢ ἐκεῖνο γινόμενος, πᾶς γὰρ λόγος φωναῖς ὑποπίπτων καὶ γράμμασι. Θαῤῥῶ δὲ εἰπεῖν ὅτι καὶ πᾶν νόημα, νῷ τυπωθῆναι δυνάμενον, στοιχειώσεως οὐδὲν διενήνοχε τὰ ὑπὲρ αὐτὴν μηνυούσης. Διὸ καὶ τέσσαρα τὸν ἀριθμὸν ὑπάρχει τὰ εὐαγγέλια, ὡς τοῖς ὑπὸ αἴσθησιν ἔτι καὶ φθορὰν οὖσι τέως χωρητά. Τοσαῦτα

Digitized by Google

nem praecursorem ibi appellans. Cum vero praeclarum habeat praemium oboedientia, qua maxime praesulibus morigerari iubemur, cumque scripturis sacris otium impendere et nosse eas et pervestigare, divinaeque legi die ac nocte incumbere, bonis ac frugi maxime convenire viderem, simul tergiversationis et inoboedientiae periculum reformidans, meam de his coniecturam pro viribus enarrabo, vestris, qui hoc me negotii iniunxistis, precationibus fretus. Arbitror igitur, quod iste divinus contra historiam dixit doctor, Christi praecursorem pro tonitru filio ponens, id non aliter posse nisi per contemplationem complanari, quae sola est eorum quae de historia sibi contradicere videntur complanatio, quia veritatem in omnibus simplicem secundum naturam incorporaliter demonstrat, non vocibus aut corporibus concretam. Quemadmodum igitur magnus Ioannes baptista praecursor vocatus est, respectu eius qui revera expectabatur, et Vox respectu Sermonis, cuius denuntiator antecessit, et lucerna respectu solis, ut artificialis et positiva et temporalis lux respectu naturalis et essentialis et non artificiosae et aeternae atque inextinguibilis lucis, arbitror vero etiam ut resipiscentia, naturalem quae se antecesserit iustitiam post se secundum oeconomiam factum iri praedicans, — ita hic quoque divinum istum doctorem eo quod contra historiam magnum apostolum Ioannem praecursorem dixerit figurate velle significare, etiam evangelistam magnum Ioannem in evangelio suo praecursorem esse Sermonis magis mystici et maioris, quem praedicaverit, quique nec verbis exprimi nec linguae carnalis voce edici possit. Sanctorum enim evangeliorum scriptura institutio est ad cognitionem, eis semper obtingentem qui per illa exaltentur et corporalis prudentiae crassitie spiritualiter se purgent, vel quae in futuro obtinget, post rerum quae motantur consummationem. Nam sicut lex institutio erat, per temporalem quae in ea apparebat cognitionem, eorum qui per ipsam in Christum, Sermonem in carne factum, erudiebantur et ad primum eius adventum evangelio cogebantur, ita sanctum quoque evangelium institutio est eorum qui per ipsum in Christum, Sermonem spiritualem, erudiuntur, et ad secundum eius adventum futuro in mundo coguntur; si quidem caro et spiritus idem est ac secundum cognitionis unicuique convenientiam et hic fit vel illa, quia omnis sermo vocibus et litteris subiacet. Audeo vero dicere quodcunque etiam cogitatum, quod menti imprimi queat, ab institutione, ea quae se superiora sint instruente, non differre. Quare etiam quattuor numero sunt evangelia, ut eis qui sensui adhuc et interitui subiecti sunt interim perceptibilia. Pari enim numero sunt elementa quoque huius mundi, et quattuor rursus virtutes, ex quibus spiritualis secundum intellectum con-



Digitized by Google

γὰρ καὶ τὰ στοιχεῖα τυγχάνει τοῦ κόσμου τούτου, καὶ τέσσαρες πάλιν ἀρεταὶ, ἐξ ὧν ὁ κατὰ διάνοιαν πνευματικὸς συνέστηκε κόσμος, ἵνα τὸν τέως ἐν ἡμῖν νοητὸν κόσμον, καὶ τὸν ἐν ᾧ ἐσμεν, περιγράφῃ τῆς ἀληθείας ὁ λόγος, καὶ ἀλλήλοις αὐτοὺς ἀσυγχύτως καθ' ἕνωσιν συμβάλλῃ, καὶ ἀλλήλων πάλιν ἀδιαιρέτως διακρίνῃ, ταῖς τῶν συνιστώντων αὐτοὺς στοιχείων
Cod. f. 197 b. ὁμοιότησιν. Ὅπερ γάρ ἐστιν, | ὡς φασιν, ὁ αἰθὴρ, ἦγουν τὸ πύριον στοιχεῖον ἐν τῷ κατ' αἴσθησιν κόσμῳ, τούτῳ ἐν τῷ κόσμῳ τῆς διανοίας ἐστὶν ἡ φρόνησις, ὡς ἕξις φωτιστικὴ καὶ τῶν ἐφ' ἑκάστου τῶν ὄντων ἰδίως πνευματικῶν λόγων ἀποδεικτικὴ, τὴν ἐν ὅλοις ἁπλανῶς δι' αὐτῶν αἰτίαν ἐκφαίνουσα, καὶ τῆς κατὰ ψυχὴν περὶ τὸ θεῖον ἐφέσεως ἐλκτική· καὶ ὅπερ ἐν τῷ αἰσθητῷ κόσμῳ ὁ ἀὴρ, τοῦτο ἐν τῷ κατὰ διάνοιαν κόσμῳ ἐστὶ ἡ ἀνδρεία, ὡς ἕξις κινητικὴ, καὶ τῆς ἐμφύτου κατὰ πνεῦμα ζωῆς συνεκτική τε ἅμα καὶ δραστικὴ, καὶ τῆς κατὰ ψυχὴν περὶ τὸ θεῖον ἀεικινησίας τομωτική· καὶ ὅπερ ἐν τῷ αἰσθητῷ κόσμῳ ἐστὶ τὸ ὕδωρ, τοῦτο ἐν τῷ τῆς διανοίας κόσμῳ ἐστὶν ἡ σωφροσύνη, ἕξις ὑπάρχουσα τῆς ἐν πνεύματι ζωτικῆς γονιμότητος ποιητική, καὶ τῆς ἀειβλύστου κατὰ τὴν ἔφεσιν περὶ τὸ θεῖον ἐρωτικῆς θέλξεως γεννητική· καὶ ὅπερ ἐν τῷ αἰσθητῷ κόσμῳ ἐστὶν ἡ γῆ, τοῦτο ἐν τῷ τῆς διανοίας κόσμῳ ἐστὶν ἡ δικαιοσύνη, ἕξις ὑπάρχουσα κατ' εἶδος γεννητικὴ πάντων τῶν ἐν τοῖς οὖσι λόγων, καὶ τῆς ἐν πνεύματι κατὰ τὸ ἴσον ἑκάστῳ ζωτικῆς διαδόσεως ἀπονεμητικὴ, καὶ τῆς οἰκείας ἐν τῷ καλῷ κατὰ τὴν θέσιν βάσεως ἀμετάθετος ἵδρυσις. Γῆς οὖν καὶ δικαιοσύνης μυστικῶς λόγον ἐπέχει, τὸ κατὰ Ματθαῖον εὐαγγέλιον, ὡς φυσικώτερον τὸν λόγον ποιούμενον, ὕδατος δὲ καὶ σωφροσύνης τὸ κατὰ Μάρκον, ὡς ἐκ τοῦ βαπτίσματος Ἰωάννου καὶ τῆς κηρυττομένης ὑπ' αὐτοῦ μετανοίας, καθ' ἣν ἡ σωφροσύνη συνέστηκεν, ἀρχόμενον, ἀέρος δὲ καὶ ἀνδρείας τὸ κατὰ Λουκᾶν, ὡς περιοδικώτερον καὶ πλείοσιν ἱστορίαις πυκνούμενον, αἰθέρος δὲ καὶ
Cod. f. 198 a. φρονήσεως τὸ κατὰ Ἰωάννην, ὡς πάντων | ἀνώτατον, καὶ ἁπλῆν μυστικῶς τὴν περὶ θεοῦ πίστιν εἰσάγον, καὶ ἔννοιαν. Φασὶ δὲ καὶ ἄλλως σύμβολον εἶναι τὴν τῶν ἁγίων εὐαγγελίων τετράδα, πίστεως, καὶ πρακτικῆς, καὶ φυσικῆς, καὶ θεολογικῆς φιλοσοφίας· καὶ τῆς μὲν πίστεως σύμβολον εἶναι τὸ κατὰ Ματθαῖον, ὡς ἀπίστους μετὰ δώρων προσκυνοῦντας εἰσάγον τοὺς Μάγους, τῆς δὲ πρακτικῆς τὸ κατὰ Μάρκον, ὡς ἐκ τῆς μετανοίας, καθ' ἣν πᾶσα πρᾶξίς ἐστιν ἐνάρετος, τῆς διδασκαλίας ἀρχόμενον, τῆς δὲ φυσικῆς τὸ κατὰ Λουκᾶν, ὡς περιοδικωτέραν τοῦ λόγου τὴν ἐξήγησιν ἔχον, καὶ τὴν τῆς διδασκαλίας ἱστορίαν τοῖς τρόποις κατάλληλον, τῆς δὲ θεολογίας τὸ κατὰ Ἰωάννην, ἐξ ἧς καὶ εἰς ἣν θεοπρεπῶς ἤρξατό τε καὶ ἔληξε. Καὶ πάλιν ὥσπερ ὁ αἰσθητὸς κόσμος στοιχειωτικός ἐστι κατὰ φύσιν τῶν πέντε αἰσθήσεων, ὑποπίπτων αὐταῖς καὶ πρὸς τὴν ἑαυτοῦ κατάληψιν ὁδηγῶν, οὕτω

Digitized by Google

stat mundus, eo ut mundum temporaliter in nobis intellectualem, et eum in quo versemur, veritatis sermo circumscribat, ac sibi invicem unitos, sed non commixtos, conferat, et haud disiungendo rursus inter se disparet, elementorum ipsos constituentium similitudinibus. Quod enim, ut tradunt, aether est, sive igneum in sensibili mundo elementum, id in intellectus hoc mundo prudentia est, utpote habitus illuminans et rationum proprie spiritualium, quae singulis quibusque eorum quae sunt inhaereant index, qui causam rerum universarum certo per ipsas demonstrat, ac mentis circa divinum desiderium attrahit et ducit: et quod in sensibili mundo aer, id in intellectuali mundo fortitudo est, utpote habitus movens, ac vitam spiritualiter ingenitam conservans, et incitans, et animae circa deum immobilitatem discindens: et quod in sensibili mundo aqua, id in intellectuali mundo est temperantia, qui habitus est vitalis in spiritu fecunditati factitator, atque amatorii de desiderio circa deum perennis gaudii procreator: et quod in sensibili mundo terra, id in intellectuali mundo iustitia est, qui habitus est omnium in rerum natura quae sunt rationum per formam ac speciem procreator, ac vitalis secundum aequum singulis quibusque in spiritu distribuendorum assignator, nostrique per consilium ac voluntatem in honesto gradus immutabilis stabilitor. Itaque terrae ac iustitiae rationem mystice tenet Matthaei evangelium, ut quod naturalius instituat sermonem, aquae vero et temperantiae evangelium Marci, ut quod ex baptismo Ioannis et paenitentiae ab eo praedicatae, qua temperantia constat, inchoet, aeris vero et fortitudinis evangelium Lucae, ut quod amplius sit pluribusque narrationibus confertum, aetheris denique et prudentiae evangelium Ioannis, ut quod ceteris superior sit, simplicemque mystici dei fidem introducat, atque intellegentiam. Tradunt vero aliter quoque sanctorum evangeliorum quadrigam symbolum esse, fidei, et practicae, sive activae, et naturalis, et theologicae philosophiae; atque fidei symbolum esse evangelium Matthaei, ut quae infideles cum donis adorantes inducat Magos, practicae vero, sive activae, philosophiae, evangelium Marci, ut quod ex poenitentia, quam omnis actio virtutis sequitur, disciplinam instituat, naturalis vero evangelium Lucae, ut quod ampliorem sermonis enarrationem contineat, et institutionis historiam modis congruam et consentaneam, theologiae denique symbolum esse Ioannis evangelium, ex quo et in quod deo convenienter inchoaverit et finiverit. Atque rursus ut sensibilis mundus quinque sensuum naturaliter est institutor, dum subiacet eis atque ad se comprehendendum eos deducit, ita etiam intellectualis mundus virtutum est, dum animae facultatibus obnoxia ad spiritum eas instituit, et uniformes reddit circaque eum duntaxat



Digitized by Google

καὶ ὁ κατὰ διάνοιαν κόσμος τῶν ἀρετῶν, ταῖς τῆς ψυχῆς ὑποπίπτων δυνάμεσι στοιχειοῖ αὐτὰς πρὸς τὸ πνεῦμα, ἐνοειδεῖς ἐργαζόμενος τῷ περὶ αὐτὸ μόνον αὐτὰς κινεῖσθαι, καὶ ταῖς αὐτοῦ ἀντιλήψεσιν ἐπερείδεσθαι. Καὶ αὐτὰς δὲ τὰς αἰσθήσεις τοῦ σώματος, κατὰ τὸν αὐταῖς ἐμπρέποντα θειότερον λόγον, στοιχειωτικὰς εἶναί φασι τῶν τῆς ψυχῆς δυνάμεων, στοιχειούσας αὐτὰς ἠρέμα πρὸς ἐνέργειαν, [1] ταῖς δὴ ἑαυτῶν ἀντιλήψεσι τῶν ἐν τοῖς οὖσι λόγων, δι' ὧν ὡς διὰ γραμμάτων τινῶν τοῖς ὀξυωποῦσι πρὸς τὴν ἀλήθειαν ὁ θεὸς λόγος ἀναγινώσκεται. Ὅθεν καὶ παραδειγματικὰς τῶν ψυχικῶν δυνάμεων εἰκόνας τὰς αἰσθήσεις ἐκάλεσαν, ὡς ἑκάστης αἰσθήσεως μετὰ τοῦ αὐτῆς ὀργάνου, ἤγουν αἰσθητηρίου, προη-

Cod. f. 198 b. γουμένως | ἑκάστῃ δυνάμει τῆς ψυχῆς ἀναλόγως μυστικωτέρῳ τινὶ λόγῳ κατὰ φύσιν νενεμημένης. Καί φασιν εἶναι τῆς μὲν νοερᾶς δυνάμεως ἤτοι τοῦ νοῦ τὴν ὀπτικὴν αἴσθησιν, τῆς δὲ λογικῆς ἤτοι τοῦ λόγου τὴν ἀκουστικὴν, τῆς δὲ θυμικῆς τὴν ὀσφραντικὴν, τῆς ἐπιθυμητικῆς δὲ τὴν γευστικὴν, τῆς δὲ ζωτικῆς τὴν ἁπτικὴν, καὶ ἁπλῶς ἵνα σαφέστερον εἴπω, τοῦ μὲν νοῦ ἐστιν εἰκὼν ἡ ὄψις, ἤγουν ὁ ὀφθαλμὸς, τοῦ δὲ λόγου ἐστὶν ἡ ἀκοὴ, ἤγουν τὸ οὖς, τοῦ δὲ θυμοῦ ἐστιν ἡ ὄσφρησις, ἤγουν ἡ ῥὶς, τῆς δὲ ἐπιθυμίας ἐστὶν ἡ γεῦσις, καὶ τῆς ζωῆς ἡ ἁφή· αἷς ἡ ψυχὴ κατὰ τὸν νόμον τοῦ τὰ πάντα σοφῶς δημιουργήσαντος θεοῦ κατὰ φύσιν ἐποχουμένη διὰ τῶν αὐτῆς δυνάμεων, καὶ πρὸς τὰ αἰσθητὰ ποικίλως διαβιβαζομένη, εἰ μὲν καλῶς χρήσαιτο ταῖς αἰσθήσεσι, διὰ τῶν οἰκείων δυνάμεων τοὺς παντοδαποὺς τῶν ὄντων λόγους ἀναλεγομένη, καὶ δυνηθῇ μεταβιβάσαι πρὸς ἑαυτὴν σοφῶς πᾶν τὸ ὁρώμενον, ἐν ᾧ κέκρυπται θεὸς σιωπῇ κηρυττόμενος, κάλλιστον καὶ αὐτὴ κατὰ προαίρεσιν ἐν τῇ διανοίᾳ καὶ πνευματικὸν κόσμον ἐδημιούργησε, τὰς γενικὰς τέσσαρας ἀρετὰς στοιχείων δίκην ἀλλήλαις συνθεῖσα πρὸς σύμπηξιν τοῦ ἐξ αὐτῶν νοητῶς κατὰ πνεῦμα συμπληρουμένου κόσμου, κατὰ συμπλοκὴν μέντοι τῆς πρὸς τὰς αἰσθήσεις τῶν αὐτῆς δυνάμεων ἐνεργείας ἑκάστην ἀρετὴν ὑποστήσασα· οἷον τὴν μὲν φρόνησιν ἐκ τῆς κατὰ συμπλοκὴν τῆς τε νοερᾶς καὶ λογικῆς δυνάμεως πρὸς τὴν ὀπτικήν τε καὶ ἀκουστικὴν αἴσθησιν, περὶ τὰ αὐτῶν αἰσθητὰ, γνωστικῆς τε καὶ ἐπιστημονικῆς ἐνεργείας, τὴν δὲ ἀνδρείαν ἐκ τῆς κατὰ συμπλοκὴν τοῦ θυμικοῦ πρὸς τὴν ὄσφρησιν, ἤγουν τὸν μυκτῆρα, ἐν ᾧ τὸ θυμικὸν, ὥς φασιν,

Cod. f. 199 a. αὐλίζεται πνεῦμα, | περὶ τὸ συμφυὲς αἰσθητὸν ἄκρας κατὰ τὴν ἐνέργειαν ὁμαλότητος, τὴν δὲ σωφροσύνην ἐκ τῆς κατὰ συμπλοκὴν τῆς κατ' ἐπιθυμίαν δυνάμεως πρὸς τὴν γευστικὴν αἴσθησιν περὶ τὸ οἰκεῖον αἰσθητὸν μεμετρημένης χρήσεως, τὴν δὲ δικαιοσύνην ἐκ τῆς ἐν ὅλοις διὰ τῆς ἁπτικῆς καὶ περὶ ὅλα σχεδὸν τὰ αἰσθητὰ τῆς ζωτικῆς δυνάμεως κατὰ τὴν ἐνέργειαν ἴσης καὶ εὐτάκτου καὶ ἁρμονικῆς διανεμήσεως. Ἐκ δὲ τούτων αὖθις τῶν γενικῶν τεσσάρων ἀρετῶν δύο γενικωτέρας κατὰ σύνθεσιν

Digitized by Google

commoveri eiusque perceptionibus inniti iubet. Et ipsis vero corporis sensibus secundum diviniorem rationem eis convenientem, institui aiunt animae facultates, ut quibus ad agendum paulatim instruantur, rationibus nimirum quae in rebus existentibus insint apprehendendis ac percipiendis, per quas veluti per litteras quasdam eis qui oculorum in veritatem aciem intendunt deus sermo legitur. Unde et exemplares animae facultatum imagines sensus vocaverunt, cum unusquisque sensus cum instrumento suo, unicuique animae facultati convenienter. ratione magis mystica de principio a natura adtributus sit. Ac facultatis intellegendi, sive mentis, visum, rationalis vero, sive sermonis auditum, animi olfactum, concupiscentiae gustum, vitalis tactum esse sensum dicunt, atque simpliciter ut clarius me exprimam, mentis quidem imago est visus, hoc est oculus, sermonis est auditus, hoc est auris, animi est olfactus, hoc est nasus, concupiscentiae est gustus, atque vitae est tactus; quibus anima secundum dei, qui cuncta sapienter instituit, legem naturaliter innitens per suas facultates, et ad sensibilia varie transducta, si bene per facultates suas usa fuerit in multiplicibus rerum rationibus colligendis, et ad se ipsam sapienter transferre potuerit universa quae oculis obiacent in quibus deus tacitus praeco delitescit, pulcherrimum etiam ipsa de voluntate in intellectu et spiritualem mundum condit, generalibus quattuor virtutibus elementorum in modum inter se iunctis ad mundi intellegibiliter inde in spiritu consummandi compaginationem, nimirum dum pro nexu et applicatione facultatum ipsius in sensus actionis singulas virtutes sistit: ut prudentiam ex gnostica et perita intellectualis et rationalis cum sermone facultatum ad videndi audiendique sensum applicatarum circa sensibilia sua actione; fortitudinem vero ex summa animi ad olfactum, hoc est nasum, in quo animi spiritum sedem habere dicunt, applicati circa suum sensibile secundum actionem aequabilitate; temperantiam ex concupiscentivae facultatis ad gustum applicatae circa suum sensibile moderato usu; iustitiam ex aequa et ordinata et in cunctis aequabili per tactum et circa universa fere sensibilia vitalis facultatis secundum actionem distributione. Ex his generalibus rursus quattuor virtutibus duas generaliores de compositione virtutes efficere discit, sapientiam inquam et mansuetudinem, sapientiam quidem, quae rerum perceptibilium, mansuetudinem, quae rerum agendarum finis est; nam ex prudentia et iustitia efficit sapientiam, quae cognitionis a prudentia et artis ab iustitia moderatae causa est conservatrix, ideoque, ut dixi, perceptibilium finis est: ex fortitudine vero

1. *ταῖς δὲ* cod. Gud.

Digitized by Google

ἀρετὰς ποιεῖν ἐκδιδάσκεται, τὴν σοφίαν φημὶ καὶ τὴν πραότητα, τὴν μὲν σοφίαν, ὡς πέρας οὖσαν τῶν γνωστῶν, τῶν δὲ πρακτῶν, τὴν πραότητα· οἷον ἐκ μὲν τῆς φρονήσεως καὶ τῆς δικαιοσύνης ποιεῖ τὴν σοφίαν, ὡς γνώσεως τῆς κατὰ τὴν φρόνησιν καὶ τῆς κατὰ τὴν δικαιοσύνην ἐπιστήμης ὑπάρχουσαν συνεκτικὴν αἰτίαν, καὶ διὰ τοῦτο πέρας τῶν γνωστῶν, ὡς εἶπον, τυγχάνουσαν· ἐκ δὲ τῆς ἀνδρείας καὶ τῆς σωφροσύνης τὴν πραότητα, μηδὲν ἄλλο τυγχάνουσαν ἢ θυμοῦ καὶ ἐπιθυμίας παντελῆ πρὸς τὰ παρὰ φύσιν ἀκινησίαν, ἥν τινες ἐκάλεσαν ἀπάθειαν, καὶ διὰ τοῦτο τῶν πρακτῶν τέλος ὑπάρχουσαν. Ταύτας δὲ πάλιν εἰς τὴν τῶν πασῶν γενικωτάτην ἀρετὴν, φημὶ δὲ τὴν ἀγάπην, συνάγει, ἐκστατικὴν οὖσαν τῶν ἐξ αὐτῆς καὶ προσαγωγικὴν τῶν δι' αὐτῆς καὶ ἑνοποιητικὴν τῶν εἰς αὐτὴν ἀρξαμένων τε καὶ κινηθέντων καὶ ληξάντων, καὶ διαφερόντως ἐπὶ πᾶσι θεοποιητικήν. Οὕτω μὲν οὖν ἡ ψυχὴ κινουμένη τε σοφῶς καὶ ἐνεργοῦσα καθ' ὃν καὶ ἔστι καὶ γεγένηται θεοτελῆ λόγον τῶν μὲν αἰσθητῶν χρησίμως διὰ τῶν αἰσθήσεων ἀντιλαμβάνεται, τοὺς ἐν αὐτοῖς πνευματικὴ λόγους οἰκειουμένη, τὰς δὲ αἰσθήσεις αὐτὰς,

Cod. f. 199 b. λογισθείσας ἤδη | τῇ τοῦ λόγου περιουσίᾳ, ὥσπερ ὀχήματα λογικὰ προσίεται τῶν αὐτῆς δυνάμεων, αὐτὰς δὲ τὰς δυνάμεις ταῖς ἀρεταῖς συνάπτει, καὶ ἑαυτὴν διὰ τῶν ἀρετῶν τοῖς ἐν αὐταῖς θειοτέροις λόγοις, οἱ δὲ θειότεροι τῶν ἀρετῶν λόγοι τῷ ἐν αὐτοῖς ἀφανῶς κεκρυμμένῳ πνευματικῷ νῷ, ὁ δὲ πνευματικὸς νοῦς τῶν ἐν ταῖς ἀρεταῖς θειοτέρων λόγων, πᾶσαν τῆς ψυχῆς ἣν ἔχει πρὸς τὰ παρόντα φυσικήν τε καὶ προαιρετικὴν σχέσιν διωθούμενος, ἁπλῆν ὅλην ὅλῳ δίδωσι τῷ θεῷ, ὁ δὲ θεὸς ταύτην δι' ὅλου περιλαβὼν μετὰ τοῦ συμπεφυκότος αὐτῇ σώματος ἀναλόγως αὐτὰ ἐξομοιοῖ ἑαυτῷ, ὥστε δι' αὐτῆς ὅλης ἀπεριγράφως ὅλον φαίνεσθαι δύνασθαι, [2] τὸν μηδαμῶς τινι τῶν ὄντων καθ' ὁτιοῦν ἐξ ἑαυτοῦ φαίνεσθαι φύσιν ἔχοντα. Καὶ τοῦτο τυχόν ἐστιν ὅπερ νοήσας ὁ μακά-

Greg. Naz. Or. Funebr. in laudem Caes. fratris hab. cap. 21., p. 213. tom. I. Opp. ed. Bened. ριος οὗτος καὶ μέγας διδάσκαλος ἐν τῷ εἰς Καισάριον τὸν ἀδελφὸν Ἐπιταφίῳ ἀναστάσεως ἔφη, Μικρὸν δὲ ὕστερον καὶ τὸ συγγενὲς σαρκίον ἀπολαβοῦσα (περὶ τῆς ψυχῆς δηλονότι φάσκων), ᾧ τὰ ἐκεῖθεν συνεφιλοσόφησε, παρὰ τῆς καὶ δούσης καὶ πιστευθείσης γῆς, τρόπον ὃν οἶδεν ὁ ταῦτα συνδήσας καὶ διαλύσας θεὸς, τούτῳ συγκληρονομεῖ τῆς ἐκεῖθεν δόξης, καὶ καθάπερ τῶν μοχθηρῶν αὐτοῦ μετέσχε διὰ τὴν συμφυΐαν, οὕτω καὶ τῶν τερπνῶν ἑαυτῆς μεταδίδωσιν, ὅλον εἰς ἑαυτὴν ἀναλώσασα, καὶ γενομένη σὺν τούτῳ ἓν, καὶ πνεῦμα, καὶ νοῦς, καὶ θεὸς, καταποθέντος ὑπὸ τῆς ζωῆς τοῦ θνητοῦ τε καὶ ῥέοντος. Ὡς γὰρ κατεπόθη διὰ τὴν ἁμαρτίαν ἡ σὰρξ ὑπὸ τῆς φθορᾶς, ὑπὸ δὲ τῆς σαρκὸς ἡ ψυχὴ γνωσθεῖσα ταῖς ἐνεργείαις, ὑπὸ δὲ τῆς ψυχῆς διὰ τῆς παντελοῦς

Cod. f. 200 a. ἀγνωσίας ἡ ἐπίγνωσις τοῦ θεοῦ, ὡς μηδὲ | εἰ ἔστι θεὸς γινώσκεσθαι, οὕτω δὴ πάντως τῷ καιρῷ τῆς ἀναστάσεως κατὰ

Digitized by Google

et temperantia mansuetudinem, quae nihil aliud est quam animi et concupiscentiae perfecta ad ea quae naturae contraria sunt immobilitas, quam quidam indolentiam vocarunt, ideoque eorum quae sub actionem cadunt finis est. Has vero rursus in virtutem omnium generalissimam, caritatem dico, contrahit, quae dimovet ea quae ex ipsa, et conciliat ea quae per ipsam, et in unum conflat ea quae in ipsam occeperunt et mota sunt et finem habuerunt, quaeque in omnibus denique maxime deificat. Sic igitur anima motata sapienter et agens secundum divinae perfectionis rationem qua et existit et facta est, sensibilia quidem utiliter per sensus percipit, earumque rationes spiritualis sibi adiungit, ipsos vero sensus, rationis facultate iam aestimatos, tanquam vehicula rationalia suarum ipsius facultatum admittit, ipsasque facultates virtutibus seque ipsam per virtutes divinioribus earum rationibus adiungit, et diviniores virtutum rationes spirituali qui in eis occulto latet intellectui; spiritualis autem intellectus diviniorum in virtutibus rationum omnem animae, quam habet ad praesentia naturalem voluntatisque affectum et relationem removens, simplicem totam toti tradit deo, atque deus eam ex toto una cum corpore quocum cognata est amplexus, convenienter utrumque sibi ipsi assimilat, adeo ut per ipsam totam plane incircumscriptus apparere et totus possit, qui ea natura est ut eorum qui sunt ulli ullo modo de se ipso non appareat. Atque hoc est fortasse quod beatus hic et magnus doctor in animo habens in Epitaphio in Caesarium fratrem dicebat, ‚Post etiam aliquanto', id est post resurrectionem, ‚cum cognatam carnem, (de anima videlicet loquens) quam, cum hic philosopharetur, sociam habuit, a terra, quae et dederat et in fidem acceperat, recepit (quod quomodo fiet deus novit, qui ea inter se coniunxit atque dissolvit), tum demum eam quoque ad gloriae caelestis haereditatem secum admissuram, et quemadmodum ob naturae coniunctionem aerumnarum ipsius particeps fuerat, sic etiam iucunditates suas cum ipsa communicaturam, totum videlicet corpus in se ipsam absumentem, et cum eo unum effectam, et spiritum, et mentem, et deum, absorpto nimirum a vita eo quod mortale et caducum erat.' Quomodo enim per peccatum caro ab interitu absorpta erat, a carne vero anima de actionibus agnita, ab anima vero per plenam ignorantiam agnitio dei, adeo ut vel an deus esset ignoraret, ita iam tempore resurrectionis secundum pulchram inversionem in sancto spiritu eventuram de dei qui caro factus est gratia caro ab anima plane in spiritu absorbetur, anima autem a deo, qui vera vita est, et quem illa solum omnium

2. τῶν habet apographum.

Digitized by Google

τὴν καλῶς γενησομένην ἀντιστροφὴν ἐν πνεύματι ἁγίῳ διὰ τὴν χάριν τοῦ σαρκωθέντος θεοῦ κατακοθήσεται ἡ σὰρξ ὑπὸ τῆς ψυχῆς ἐν πνεύματι, ἡ δὲ ψυχὴ ὑπὸ τοῦ θεοῦ, τῆς ὄντως οὔσης ζωῆς, ὡς αὐτὸν μονώτατον διὰ πάντων ὅλον ὅλη προφαινόμενον ἔχουσα, καὶ ἁπλῶς εἰπεῖν, ἀντιστρόφως τοῖς παροῦσι, περὶ ἃ νῦν ἐσμέν τε καὶ διεξαγόμεθα, πάντα κατὰ τὸ μέλλον δείξει τὰ ἡμέτερα ἡ θεοπρεπὴς τῆς ἀναστάσεως χάρις, ἵνα ὥςπερ διὰ τὴν ἁμαρτίαν ἐνταῦθα κατέπιεν ὁ θάνατος ἰσχύσας, οὕτω καταποθήσεται δικαίως ἀσθενήσας ἐκεῖ διὰ τὴν χάριν. Ταῦτα μὲν εἰ καλῶς, ὡς εἴρηται, χρήσαιτο ταῖς αὐτῆς δυνάμεσι, καὶ κατὰ τὸν σκόπον τοῦ θεοῦ, τὸν αἰσθητὸν κόσμον διὰ τῶν ἐν αὐτῷ πνευματικῶν λόγων ἡ ψυχὴ σοφῶς διοδεύσασα πρὸς θεὸν ἔλθῃ μετὰ συνέσεως, εἰ δὲ κακῶς χρήσαιτο, παρὰ τὸν δέοντα λόγον τὸν παρόντα διαθρήσασα κόσμον, οὐκ ἄδηλόν πως εἰς πάθη ἀτιμίας ἐκπίπτουσα, καὶ τῆς θείας δόξης εἰκότως κατὰ τὸ μέλλον ἀποριφήσεται, φοβερὰν ἐπ' αἰῶσιν ἀπείροις λαβοῦσα κατάκρισιν τὴν πρὸς τὸν θεὸν σχετικὴν ἀλλοτρίωσιν, ἐφ' ᾗ τρεχομένη οὐκ ἔχει λέγειν ὡς οὐ δικαίως, τὴν ὑποστήσασαν τὸ μὴ ὂν διάθεσιν κατήγορον ἔχουσα, ἣν ἀγνοῆσαι οὐδέποτε δύναται. Ἀλλ' ἐπὶ τὸ προκείμενον ἡμῖν ἐπανακτέον τὸν λόγον. Εἰπὼν γὰρ ὁ
Ioann. 21, 25. εὐαγγελιστὴς, Ἔστι δὲ καὶ ἄλλα πολλὰ ὅσα ἐποίησεν ὁ Ἰησοῦς, ἅτινα ἐὰν γράφεται καθ' ἓν, οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία, ἐνέφηνεν ἡμῖν διὰ τούτων, ὅτι τὰ γραφέντα πρὸς αὐτοῦ προοιμαλισμός τίς ἐστι
Cod. f. 200 b. τοῦ τελεωτέρου καὶ τέως | ἀχωρήτου λόγου. Κατὰ ταύτην οὖν τὴν ἔννοιαν εἰπών τις τὸν ἅγιον εὐαγγελιστὴν Ἰωάννην πρόδρομον, ἐν ᾧ συνέταξεν εὐαγγελίῳ προοδοποιοῦντι τὴν διάνοιαν πρὸς παραδοχὴν τοῦ τελεωτέρου λόγου, τῆς ἀληθείας οὐχ ἁμαρτήσεται. Ταύτῃ τοι καὶ μεγάλην τῆς ἀληθείας ἀποκαλεῖ φωνὴν ὁ διδάσκαλος τὰ πνευματικὰ βροντήσαντα. Βροντὴ δέ ἐστι φωνὴ μόνον κατάπληξιν τοῖς ἀκούουσιν ἐμποιοῦσα, μηδὲν μέντοι τρανοῦσα, οἷοςπέρ ἐστιν ὁ στοιχειώδης λόγος. Πᾶς γὰρ λόγος θεόθεν τοῖς ἀνθρώποις κατὰ τὸν αἰῶνα τοῦτον γραφεὶς πρόδρομός ἐστι τοῦ δι' αὐτοῦ ἀγράφως ἐν πνεύματι κατὰ νοῦν μηνυομένου καὶ ἐς ὕστερον φανησομένου τελεωτέρου λόγου, ὡς ἀληθειαν μὲν ἔχων ἐν ἑαυτῷ μηνυομένην, οὐ μὴν δὲ αὐτὴν [a] εὐπεριεκαλύπτως γυμνὴν δεικνὺς τὴν ἀλήθειαν. Οὕτω μὲν οὖν, ὡς οἶμαι, τῆς θείας ὅλης γραφῆς ὁ νοῦς εὐσεβῶς ὁμαλιζόμενος οὐδὲν δυσχερὲς ἢ ἀνώμαλον διὰ τῶν καθ' ἱστορίαν δοκουσῶν ἐναντιώσεων ἔχων δειχθήσεται. Πᾶς γὰρ τῶν ἀνέκαθεν ἁγίων κατὰ τὸν ἀληθῆ λόγον τοῦ δι' αὐτοῦ μηνουμένου τε καὶ προτυπουμένου μυστηρίου πρόδρομος ἦν, δι' ὧν ἔπασχέ τε καὶ ἔδρα καὶ ἔλεγε τὰ τούτων προκηρύττων ἀρχέτυπα. Διὸ καὶ ἀντ' ἀλλήλων ἀμέμπτως παραλαμβάνονται, καὶ πάντων ἅπαντες, καὶ ἕκαστος ἑκάστου, καὶ ἀντὶ τῶν ὑπ' αὐτῶν συγγραφεισῶν βίβλων,

Digitized by Google

et unicum tota totum in conspectu apparentem habet, et, ut simpliciter dicam, cuncta nostra aliter atque in his praesentibus rebus, circa quas nunc sumus et degimus, se habent, in futuro divine manifestabit gratia resurrectionis, ut quomodo per peccatum hic mors corroborata absorbuit, sic iure infirmata illic per gratiam absorbeatur. Quare si anima bene, uti dixi, suis facultatibus utetur, et secundum dei propositum, sensibili hoc mundo per spirituales in eo rationes sapienter peragrato ad deum perveniet cum intellegentia, at si male utetur, praeter convenientem rationem praesenti mundo perlustrato, non occulto forte in infamiae affectus illapsa, divina quoque in futuro gloria merito excidet, horrendaque iudicii in infinitas aeternitates sententia damnabitur ut omne cum deo vinculum et nexum amittat, in quam sententiam si se induet, se iniuriam pati dicere non habebit, cum affectum Non-existens repraesentantem habeat accusatorem, quem ignorare non possit. Sed ad propositum sermo revocandus est. Etenim evangelista dicens, ‚Sunt vero etiam alia quam multa quae Iesus fecit, quae si in unum conscriberentur, ne ipsum quidem mundum capturum esse arbitror libros scriptos', per haec nobis revelavit, ea quae ab se scripta essent complanationem quandam praeviam esse perfectioris et adhuc inperceptibilis rationis. Hac igitur sententia Ioannem sanctum evangelistam si quis praecursorem appellarit, in suo nimirum evangelio quod ad praeparandam viam intellectui ad perfectiorem rationem recipiendam composuit, is a veritate non aberrabit. Sic igitur magnam veritatis vocem doctor vocat eum qui spiritualia tonuerat. Tonitru autem est vox nihil nisi terrorem audientibus creans, nihil utique clari reddens, qualis est elementarius sermo. Omnis enim sermo divinitus in hoc saeculo hominibus perscriptus praecursor est perfectioris sermonis qui nullarum litterarum ope per se in spiritu menti reveletur, quique in futuro apparebit, veritatem quidem in se ipso revelatam habens sed involucro suo nudatam non ostendens. Sic igitur, uti videtur, totius sacrae scripturae intellectus pie complanatus nihil difficile aut inaequale in eis quae secundum historiam sibi contraria esse videntur habere monstrabitur. Antiquiorum enim unusquisque sanctorum revera eius quod ipse revelaret et praeformaret mysterii praecursor erat, imagines per ea quae patiebatur et agebat et dicebat horum exemplaria primigenia praenuntians. Quare etiam bene et praeter reprehensionem pro se invicem accipiuntur, et pro omnibus omnes et quisque pro quoque, etiam pro libris ab ipsis conscriptis, et pro ipsis libri, in scripturae usu appellantur. Quod aperte manifestat dominus

3. Rescribe *ἀπεριαλήπτως*.

Digitized by Google

καὶ ἀντ' αὐτῶν αἱ βίβλοι παρὰ τῇ συνηθείᾳ τῆς γραφῆς προσαγορεύονται. Καὶ δηλοῖ τοῦτο σαφῶς τὸν βαπτιστὴν Ἰωάν-
Matth. 11, 14. νην Ἠλίαν καὶ ποιῶν καὶ λέγων ὁ κύριος, εἴ τε διὰ τὴν ἴσην τῆς ἀρετῆς ἕξιν, ὥς φασιν οἱ διδάσκαλοι, καὶ τὴν κατὰ νοῦν διὰ πάντων καθαρότητα, καὶ τὸ τῆς πολιτείας σύντονον, εἴ τε διὰ τὴν ἐν ἀμφοτέροις ταυτότητα τῆς ἐν τῇ χάριτι δυ-
Cod. f. 201 a. νάμεως, | εἴ τε καθ' ἕτερον λόγον ἀπόκρυφον, αὐτὸς ἂν εἰδείη ὁ λέγων ὡς θεὸς, καὶ οἱ παρ' αὐτοῦ τὰ τοιαῦτα μυστήρια σοφιζόμενοι. Καὶ πάλιν Μωϋσέα τὸν νόμον, καὶ προφήτας τὰς αὐτῶν προφητικὰς βίβλους, καλέσας, ἐν οἷς πρὸς τὸν ἐν τῇ γεέννῃ βασανιζόμενον πλούσιον φήσαντα τὸν πατριάρ-
Luc. 16, 29. χην εἰςηγαγεν Ἀβραὰμ, Ἔχουσι Μωϋσέα καὶ τοὺς προφήτας, ἀκουσάτωσαν αὐτῶν, ἀντὶ τῶν ὑπ' αὐτῶν συγγραφεισῶν θείων βίβλων αὐτοὺς ἐκείνους παραθέμενος, Μωϋσέα φημὶ καὶ τοὺς προφήτας. Καὶ θαυμαστὸν οὐδέν. Εἰ γὰρ εἰς ἐστιν ὁ δι' αὐτῶν καταγγελλόμενος, οἱ πάντες ὡς εἷς ὂν καταγγέλλουσι νοεῖσθαι δύνανται, καὶ ἀντὶ πάντων ἕκαστος καὶ πάντες πάντων εὐσεβῶς ἀντιπαραλαμβάνεσθαι, τῶν τε διακονησαμένων τῷ κατὰ τὴν παλαιὰν διαθήκην μυστηρίῳ καὶ τῶν πιστευθέντων τὸ κήρυγμα τῆς κατὰ τὸ εὐαγγέλιον χάριτος. Οὐκοῦν ὥςπερ εἰς ὅλην οὖσαν τῆς καινῆς διαθήκης καὶ τῆς κατ' αὐτὴν λατρείας ὁ μέγας βαπτιστὴς Ἰωάννης εὐσεβῶς παραλαμβάνεσθαι δύναται, οὕτω δικαίως εἰς ὅλην τὴν καινὴν διαθήκην καὶ τὴν κατ' αὐτὴν λατρείαν, πρόδρομον οὖσαν τῆς ἐν τῷ μέλλοντι αἰῶνι μυστικῆς τῶν ἀῤῥήτων ἀγαθῶν κρυφιότητος, καὶ Ἰωάννης ὁ μέγας ἀληθῶς εὐαγγελιστὴς ληφθῆναι δύναται, ὡς πρόδρομος φωνὴ τοῦ μέλλοντος τανῦν λαλεῖσθαι θειοτέρου λόγου, καὶ εἰκὼν τῆς δειχθησομένης ἀληθείας. Σκιᾷ γὰρ καὶ εἰκόνι καὶ ἀληθείᾳ τὸ καθ' ἡμᾶς ὅλον τῆς σωτηρίας σο-
Hebr. 10, 1. φῶς ᾠκονομήθη μυστήριον. Σκιὰν γὰρ εἶχεν ὁ νόμος, ὥς φησιν ὁ θεῖος ἀπόστολος, τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν |
Cod. f. 201 b. τὴν εἰκόνα τῶν πραγμάτων, δι' ἧς τοὺς κατὰ νόμον οἰκείως ἑαυτοῖς κατ' ἀμυδράν τινα τῶν ἀληθῶν ἔμφασιν πρὸς τὴν τοῦ εὐαγγελίου παραδοχὴν ὁ λόγος ἐπαιδαγώγει. Τὸ δὲ εὐαγγέλιον εἰκόνα κέκτηται τῶν ἀληθῶν, ὅλους ἔχον τανῦν ἐκτετεῦθεν ἤδη τοὺς τῶν μελλόντων ἀγαθῶν ὁμοιότητα κτησαμένους. Ἑτοίμους ὁ λόγος δι' ἐλπίδος καθίστησι τῇ παραδοχῇ τῆς τῶν ἀληθῶν ἀρχετυπίας ψυχωθῆναι καὶ γενέσθαι ζώσας εἰκόνας Χριστοῦ, καὶ ταὐτὸν αὐτῷ μᾶλλον κατὰ τὴν χάριν ἢ ἀφομοίωμα, τυχὸν δὲ καὶ αὐτὸς ὁ κύριος, εἰ μὴ φορτικὸς ὁ λόγος τισὶν εἶναι δοκεῖ. Ὡς πρόδρομος ἑαυτοῦ πρὸς τοῦ θεοφόρου διδασκάλου προσηγόρευται νῦν, ὡς ἑαυτὸν ἀναλόγως τοῖς ὑποδεχομένοις κατά τε τὴν παλαιὰν κατά τε τὴν νέαν διαθήκην ἐκφαίνων, δι' αἰνιγμάτων τε καὶ φωνῶν καὶ τύπων προτρέχων αὐτὸς ἑαυτοῦ, καὶ διὰ τούτων πρὸς τὴν χωρὶς τούτων ἄγων ἀλήθειαν, τοῖς αὐ-
Isaias. 16, 12. τοῦ κυρίου λόγοις τοῦτο τεκμαιρομένου, δι' ὧν ἔλεγεν, Ἔτι

Digitized by Google

Ioannem baptistam Eliam et faciens et dicens, sive propter parem virtutis habitum, ut discipuli dicunt, ac mentis per omnia puritatem, propterque conversationis et vitae aequalitatem, sive ob identitatem utriusque in gratia potestatis, sive de alia occulta ratione, ipse qui ut deus locutus est sciverit, et qui talia ab eo mysteria edocti sunt. Atque iterum Moysen legem, et prophetas libros eorum propheticos appellans, ubi Abrahamum patriarcham ad divitem in gehenna afflictatum et vexatum introducit dicentem, ‚Habent Moysen et prophetas, audiant eos', pro libris ab eis conscriptis ipsos illos ponens, Moysen inquam et prophetas. Neque mirum hoc. Nam si unus est per eos praedicatus, universi tanquam unus quem praedicant intellegere, et pro universis singuli quique, et omnes pro omnibus, pie accipi possunt, qui veteris testamenti mysterio inservierunt et quibus evangelii gratiae praedicatio credita erat. Itaque ut magnus Ioannes baptista in totam novi testamenti eiusque cultus gratiam pie intellegi potest, ita iure in totum novum testamentum eiusque cultum, qui futuri aevi mysticae ineffabilium bonorum occultationis praecursor est, etiam Ioannes magnus revera evangelista potest accipi, ut vox praecursor divinioris Sermonis aperte olim pronuntiandi, et simulachrum veritatis demonstrandae. Umbra enim et simulachro et veritate totum salutis apud nos mysterium sapienter dispensatum est. Umbram enim habebat lex, ut dicit divinus apostolus, futurorum bonorum, non ipsum rerum simulachrum, qua suo sibi sermo modo per obscuram quandam veritatum significationem ad evangelium accipiendum legis cultores instrueret. Evangelium autem simulachrum possidet veritatum, et totos aperte tenet hinc iam qui sibi futurorum bonorum similitudinem quaesiverunt. Praeparat sermo per spem veritatum forma primigenia recepta animatum iri nos et vivas Christi fore imagines, immo idem quod ille potius per gratiam fore quam simulachrum, quin fortasse vel ipsum dominum fore, nisi durius hoc dictum aliquibus videatur. Quemadmodum nunc praecursor sui ipsius a divino doctore appellatus est qui sese eis quae et de vetere et de novo testamento acceperat convenienter ostendisset, per aenigmata et voces et imagines sui ipsius praecursor, perque haec ad veritatem his nudatam deducens; id quod ipsius domini verbis testatur, quibus dixit, ‚Adhuc multa vobis dicere habeo, sed non potestis nunc baiulare', sublimiorem quidem ea quae praegressa erat, sed ea quae post se per divinum spiritum circa ipsum futura esset humiliorem et ipsam disciplinam discipulis significans. Unde, ni fallor adiecit illud, ‚Cum autem venerit ille veritatis spiritus, deducet vos in omni veritate'; vel eis quae alibi ait: ‚Ecce ego una cum vobis ero omnes dies usque ad aevi consum-

Digitized by Google

πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι· σημαίνων τὴν ὑψηλοτέραν μὲν τῆς προλαβούσης, χθαμαλοτέραν δὲ καὶ αὐτὴν τῆς μετ' αὐτὴν διὰ τοῦ θείου πνεύματος περὶ αὐτοῦ μέλλουσαν ἔσεσθαι, πρὸς αὐτοὺς διδασκαλίαν.

Ioann. 16, 13. Ὅθεν εἰκότως ἐπήγαγεν, Ὅταν δὲ ἔλθῃ ἐκεῖνος τὸ πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς ἐν τῇ ἀληθείᾳ πάσῃ· ἢ καὶ διὰ ὧν

Matth. 28, 20. ἑτέρωθί φησιν, Ἰδοὺ, ἐγὼ μεθ' ὑμῶν εἰμὶ πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος. Οὐχ ὡς μετὰ τοῦτο παντε-

Cod. f. 202 a. λῶς | οὐκ ἐσομένου μετ' αὐτῶν, ἀλλ' ὡς ὑψηλοτέρου δηλονότι παρ' ὃν τέως ἠπίσταντο χθαμαλώτερον, ὡς πρὸς τὴν ἑαυτῶν δύναμιν γινώσκεσθαι μέλλοντος. Ὡσαύτως γὰρ ὑπάρχων ἀεὶ δι' ἑαυτὸν, καὶ μηδεμίαν παραδεχόμενος ἐξ ἀλλοιώσεως μεταβολὴν, οὔτε τὸ μᾶλλον καὶ ἧττον, πᾶσι πάντα γίνεται διὰ ὑπερβολὴν ἀγαθότητος, ταπεινὸς τοῖς ταπεινοῖς ὑψηλὸς τοῖς ὑψηλοῖς, καὶ τοῖς δι' αὐτὸν θεουμένοις ὁ φύσει θεὸς, ὡς εἶναι τὰ τοῦ παρόντος αἰῶνος πάντα τῆς περὶ τὸν ἄνθρωπον προνοίας εἴδη τε καὶ μυστήρια, κἂν μεγάλα ᾖ, προοδοποιήσίν τινα καὶ προδιατύπωσιν τῶν μελλόντων. Συγκρινόμενος οὖν καὶ αὐτὸς ὁ τέως τοῦ κυρίου χωρητὸς λόγος πρὸς τὸν μέλλοντα τοῖς μαθηταῖς μυστικώτερον ἐπιχορηγεῖσθαι, ἥ τε προτέρα πάλιν αὐτοῦ παρουσία τῇ δευτέρᾳ, πρόδρομός ἐστιν ἑαυτοῦ, παραδείξας μὲν ἀμυδρῶς ἐν ἑαυτῷ πρὸς τὴν τῶν ὑποδεχομένων δύναμιν, οὐ φανερώσας δὲ νῦν ἅπερ ἔχει σεσιγημένως παρ' ἑαυτῷ ἐν ἀποκρύφῳ μυστήρια, διὰ τὸ τῇ κτίσει τέως εἶναι παντελῶς ἀχώρητα. Πᾶν γὰρ ὃ γράμμασιν ὑποπίπτει, καθὼς εἴρηται, καὶ φωναῖς πάντως ὅτι καὶ τὸν νοούμενον ἐξ αὐτοῦ, κἂν πνευματικὸν ᾖ, ὅσον πρὸς τὸ μηδόλως γράμμασι καὶ ἐκφωνήσει προσπίπτον, φωνῆς λόγον ὡς πρὸς τρανὸν λόγον ἐπέχει, καὶ διὰ τοῦτο πάντα τὰ διὰ Χριστοῦ τοῦ θεοῦ τοῖς μαθηταῖς λαληθέντα πρὸς τὸν ἀλάλητον νοῦν ἤτοι νόησιν Ἰωάννην ἕως ὁ θεσπέσιος οὗτος διδάσκαλος προσηγόρευσε, τὴν πρόδρομον χάριν ἐκ τοῦ δεκτικοῦ καλῶς

Cod. f. 202 b. τε καὶ σοφῶς ὀνομάσας.

Idem ibid. cap. 21., p. 511. tom. I. Opp. ed. Bened.

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ, Ὁ δὲ περὶ θεοῦ λόγος, ὅσῳ τελεώτερος, τοσούτῳ δυσεφικτότερος, καὶ πλείους τὰς ἀντιλήψεις ἔχων, καὶ τὰς λύσεις ἐργωδεστέρας.

Εἰ πολλὰ τὰ γεγονότα ἐστὶ, καὶ διάφορα πάντως τὰ γεγονότα ἐστὶν, εἴπερ πολλά. Οὐ γὰρ δυνατὸν τὰ πολλὰ μὴ καὶ διαφορὰ εἶναι. Καὶ εἰ διάφορά ἐστι τὰ πολλὰ, διαφόρους καὶ τοὺς οἷς κατ' οὐσίαν ὑπάρχουσι λόγους νοητέον, οἷς μᾶλλον καὶ δὲ οὓς διαφέρουσι τὰ διαφέροντα· οὐ γὰρ ἂν διέφερον ἀλλήλων τὰ διαφέροντα, μὴ τῶν λόγων οἷς γεγόνασιν ἐχόντων διαφοράν. Εἰ τοίνυν ὥσπερ αἱ αἰσθήσεις φυσικῶς ἀντιλαμβανόμεναι τῶν αἰσθητῶν ἐξ ἀνάγκης κατὰ παρα-

Digitized by Google

mationem.' Non quod postea plane non futurus sit una cum eis, sed quod sublimior videlicet sit futurus quam quem eo usque humiliorem novissent, ut quem ad suam facultatem augendam essent agnituri. Idem enim per se semper existens, nullamque ex immutatione conversionem, nec in magis aut minus augmentum aut imminutionem admittens, omnibus omnia per bonitatis fit exsuperantiam, humilis humilibus, sublimis sublimibus, et eis qui se per se ipsum deificentur proprie deus, adeo ut praesentis aevi omnia providentiae circa hominem formae atque mysteria, quantacunque sunt, viae praeparatio et futurorum praevia descriptio sit. Comparatus igitur et ipse domini perceptibilis interim sermo cum eo qui magis mysticus discipulis olim dabitur, et pristinus eius rursus cum secundo adventus, sui ipsius praecursor est, obscure quidem in se ostendens ad audientium facultatem, non patefaciens, nunc quae in occulto penes se tacite habet mysteria, propterea quod interim conditioni plane sint imperceptibilia. Quicquid enim, ut dixi, litteris subiacet et vocibus, id fieri non potest quin et suum ex semet intellectum, vel si spirituale quid sit, quatenus haudquaquam in litteras atque elocutionem cadit, tanquam ad manifestum et perspicuum dirigat verbum; ideoque quaecunque a Christo deo discipulis in inenarrabilem intellectum et interpretationem dicta sunt Ioannem fortasse divinus hic doctor appellavit, praecursorem gratiam ex eo quo ad recipiendum aptus erat pulchre atque sapienter nominans.

Ex eodem sermone, in illud, ‚Disputatio vero ea quae de deo suscipitur, quo perfectior, eo quoque difficilior est, pluribusque obiectationibus patet, in iisque diluendis ac dissolvendis plus negotii facessit.'

Si quae facta sunt multa sunt, differunt quoque omnino quae facta sunt, siquidem multa sunt. Fieri enim non potest quin quae multa eadem non et diversa sint. Atque si diversa sunt multa, diversae sunt etiam intellegendae rationes quibus secundum essentiam existunt, quibus et propter quas magis differunt quae differunt; non enim inter sese differrent quae differunt, nisi rationes quibus facta sunt differentiam haberent. Si igitur, ut sensus naturaliter sensibilia percipientes necessario multas pro receptione faciunt et diversas eorum quae subiacent sensibus et succidunt perceptiones, sic etiam mens, cum omnes naturaliter in rebus rationes percipiat, in quibus infinitis dei actiones intuendo multas efficit et infinitas, ut verum dicam, divinarum a se perceptarum actionum virtutumque differentias, infirma utetur nimi-

Digitized by Google

δοχὴν πολλὰς ποιοῦνται καὶ διαφόρους τῶν ὑποκειμένων καὶ ὑποπιπτόντων αὐταῖς τὰς ἀντιλήψεις, οὕτω καὶ ὁ νοῦς πάντων φυσικῶς ἀντιλαμβανόμενος τῶν ἐν τοῖς οὖσι λόγων, οἷς ἀπείροις ἐνθεωρῶν ἐνεργείας θεοῦ πολλὰς ποιεῖται καὶ ἀπείρους, εἰπεῖν ἀληθὲς, τῶν ὧν ἀντιλαμβάνεται θείων ἐνεργειῶν διαφορὰς, ἄτονον εἰκότως ἕξει τὴν δύναμιν καὶ τὴν μέθοδον ἄπορον τῆς ἐπιστημονικῆς ἐρεύνης τοῦ ὄντως ὄντος ἀληθοῦς, οὐκ ἔχων νοῆσαι πῶς ἐν ἑκάστῳ τῶν καθ' ἑαυτὸ [1] ἑκάστων λόγῳ καὶ ἐν πᾶσιν ὁμοῦ καθ' οὓς ὑπάρχουσι τὰ πάντα λόγοις ὁ μηδὲν ὢν τῶν ὄντων ἀληθῶς καὶ πάντα κυρίως ὢν καὶ ὑπὲρ πάντα θεός. Εἰ γοῦν πᾶσα θεία κατὰ τὸν ἀληθῆ λόγον ἐνέργεια τὸν θεὸν ἀμερῶς ὅλον δι' ἑαυτῆς ἐν ἑκάστῳ καθ' ὅνπερ τινὰ λόγον ἐστὶν ἰδικῶς ὑποσημαίνει, τίς ἀκριβῶς ἐστιν ὁ νοῆσαί τε καὶ εἰπεῖν δυνάμενος, πῶς ἐν πᾶσί τε κοινῶς ὅλος καὶ ἐν ἑκάστῳ τῶν ὄντων ἰδιαζόντως, ἀμερῶς τε καὶ ἀμερίστως ἐστὶν ὁ θεὸς, μήτε ποικίλως συνδιαστελλόμενος ταῖς τῶν ὄντων οἷς ἔνεστιν ὡς ὢν | ἀπείροις διαφοραῖς, μήτε οὖν συστελλόμενος κατὰ τὴν τοῦ ἑνὸς ἰδιάζουσαν ὕπαρξιν, μήτε συστέλλων κατὰ τὴν μίαν πάντων ἑνικὴν ὁλότητα τὰς τῶν ὄντων διαφοράς, ἀλλὰ πάντα ἐν πᾶσίν ἐστιν ἀληθῶς, ὁ μηδέποτε τῆς οἰκείας ἀμεροῦς ἁπλότητος ἐξιστάμενος; Καλῶς οὖν ὁ διδάσκαλος ἔφη τὰς ἀντιλήψεις τοῦ περὶ θεότητος λόγου πολλὰς εἶναι, ἐξ ὧν ὅτι ἐστὶ μόνον θεὸς διδασκόμεθα, καὶ τὰς λύσεις ἐργωδεστέρας, ἐξ ὧν πάλιν τί οὐκ ἔστι μανθάνομεν· πρὸς τὸ παῦσαι περιεργίας ἀνωφελοῦς καὶ βλαβερᾶς τοὺς ληπτὸν οἰομένους τὸ θεῖον τοῖς διακένοις ἀναπλασμοῖς τῆς αὐτῶν διανοίας, ᾗ οὐδὲ τὸ ἔσχατον τῶν ἐν τοῖς οὖσι καθ' ὅν ἐστι καὶ ὑπάρχει λόγον ἀληθῶς ἐστι ληπτόν.

Cod. f. 203 a.

Greg. Naz. Or. Theol. III. de Filio cap. 2. p. 524. tom. I. Opp. edit. Benod.

Ἐκ τοῦ περὶ Υἱοῦ πρώτου λόγου, εἰς τὸ, Διὰ τοῦτο μονὰς ἀπ' ἀρχῆς εἰς δυάδα κινηθεῖσα μέχρι τριάδος ἔστη.

Πᾶν κατὰ φύσιν κινούμενον δι' αἰτίαν πάντως κινεῖται, καὶ πᾶν τὸ δι' αἰτίαν κινούμενον δι' αἰτίαν πάντως καὶ ἔστι, πᾶν δὲ τὸ δι' αἰτίαν ὂν καὶ δι' αἰτίαν κινούμενον ἀρχὴν μὲν εἶχε πάντως τοῦ εἶναι τὴν δι' ἣν ἔστι καὶ ἐξ ἧς πρὸς τὸ εἶναι ἦχθη αἰτίαν, τέλος δὲ τοῦ κινεῖσθαι τὴν αὐτὴν δι' ἣν κινεῖται καὶ πρὸς ἣν ἐπείγεται αἰτίαν. Πᾶν δὲ τὸ δι' αἰτίαν καὶ ὂν καὶ κινούμενον καὶ γενητὸν πάντως. Εἰ δὲ τοῦ κινουμένου τέλος ἐστὶν ἡ δι' ἣν κινεῖται αἰτία, ἡ αὐτὴ πάντως ἐστὶ τῇ δι' ἣν γεγένηται καὶ ἔστιν αἰτία. Μία οὖν ἄρα πάντως τοῦ ὅπωσοῦν ὄντος καὶ κινουμένου κατὰ φύσιν ὡς ἀρχὴ καὶ τέλος αἰτία δι' ἣν καὶ ἔστι καὶ κινεῖται πᾶν τὸ ὂν καὶ κινούμενον. Δραστήριος γὰρ ὑπάρχουσα δύναμις καὶ ποιεῖ τὰ γινόμενα θεοπρεπῶς ὡς ἀρχὴ καὶ προβάλλεται, καὶ ἕλκει

Digitized by Google

rum facultate irritamque habebit verae veritatis indagandae artis suae viam atque rationem, cum intellegere haud queat quomodo in unaquaque singulorum quorumque ratione, et in cunctis simul quibus cuncta existunt rationibus, is qui revera inter ea quae sunt non censetur, et omnia proprie sit, et supra omnia deus. Certe si omnis divina, ut verum est, actio et virtus deum individue totum per semet ipsam in unaquaque re, quaqua ratione inest proprie significat, quis accurate et intellegere et enarrare poterit, quomodo in cunctis communiter totus et in unoquoque eorum quae sunt privatim partium expers et individuus existat deus, neque varie ac multipliciter diductus una cum rerum quibus, ut existens, inest infinitis differentiis, neque contractus secundum singuli cuiusque peculiarem existentiam, neque contrahens secundum unam cunctorum et singularem totitatem eorum quae sunt differentias, sed omnia in omnibus revera existat is qui nunquam peculiari sua et individua simplicitate excidat? Bene igitur magister deitatis rationis multas esse perceptiones dixit, de quibus solum quod deus sit doceamur, solutionesque operosiores et difficiliores, de quibus rursus quid non sit discamus; quo ab inutili atque nociva curiositate revocaret eos qui divinum vanis ingeniorum suorum figmentis comprehendere posse sibi videntur, quibus ne ultimum quidem eorum quae sunt qua sit ratione et existat vere comprehendi potest.

## Ex primo de Filio sermone, in illud, ‚Quocirca unitas principio in binarium mota in trinitate constitit.'

Quodcunque secundum naturam movetur necesse est ut de causa moveatur, et quodcunque de causa movetur necesse est ut de causa etiam existat, quodcunque vero de causa existit atque de causa movetur initium quoque existentiae ut habeat necesse est eam per quam existit et ex qua ad existentiam ducta est causam, finem vero motionis eandem qua movetur et ad quam properat causam. Quodcunque autem per causam et est et movetur factum ut sit item necesse est. Quod si eius quod movetur finis est causa per quam movetur, necesse est eadem sit causa per quam factum est et existit. Ergo una omnino est eius quod utcunque existit et movetur secundum naturam ut initium et finis causa per quam et est et movetur quodcunque est et movetur. Strenua enim et efficax cum vis sit, deo convenienter tam efficit ea quae fiunt, ut initium, et producit, quam trahit providenter ea quae moventur, ut finis, atque terminat. Iam si quod-

1 ἑκάστου cod. Gud.

Digitized by Google

Cod. f. 203 b. τὰ κινούμενα προνοητικῶς ὡς τέλος καὶ ὁρίζει. | Εἰ δὲ πᾶν κινούμενον καὶ γενητὸν δι' αἰτίαν ἔστι τε καὶ κινεῖται καὶ γεγένηται, πᾶν ὃ μὴ δι' αἰτίαν ἐστὶν οὐδὲ ποιητόν ἐστιν, οὐδὲ κινητὸν δηλονότι. Οὐ γὰρ κινεῖται τὸ παντάπασι μὴ ἔχον τοῦ εἶναι αἰτίαν. Εἰ δὲ τὸ ἀναίτιον πάντως καὶ ἀκίνητον, ἀκίνητον ἄρα τὸ θεῖον, ὡς τοῦ εἶναι μηδεμίαν ἔχον αἰτίαν, καὶ πάντων τῶν ὄντων ὑπάρχον αἰτία. Πῶς οὖν, ἴσως ἐρεῖ τις, ὁ θαυμαστὸς οὗτος διδάσκαλος κινούμενον εἰςάγει τὸ θεῖον ἐν τοῖς προτεθεῖσι; Πρὸς ὃν ἐροῦμεν ὅτι παντὸς μᾶλλον ἥδει, τὸ, Ἑκάστης τέχνης συνεκτικὸς λόγος, ἀκίνητος μένων παντάπασιν ἐφ' ἑαυτὸν, ἵνα παραδείγματι χρήσωμαι, καθ' ἕκαστον εἶδος τῶν ὑπὸ τὴν αὐτὴν τέχνην μορφούμενος, κινεῖσθαι λέγεται τῷ κινεῖν μᾶλλον καθ' ἑαυτὸν τὸ τεχνούμενον ἢ τῷ κινεῖσθαι προφαινόμενος· ἢ, ὡς φῶς πρὸς τὸ ὁρᾶν τὴν ὄφιν κινῶν λέγεται κινεῖσθαι, κινητικὸν ὑπάρχον πάσης ὄψεως κυρίως ἢπερ κινητὸν, οὕτω καὶ τὸ θεῖον ἀκίνητον πάντη καθ' οὐσίαν καὶ φύσιν ὑπάρχον, ὡς ἄπειρον καὶ ἄσχετον καὶ ἀόριστον, οἱονεί τις ἐπιστημονικὸς λόγος ἐννυπάρχων ταῖς τῶν ὄντων οὐσίαις λέγεται κινεῖσθαι, τῷ κινεῖν προνοητικῶς ἕκαστον τῶν ὄντων καθ' ὃν κινεῖσθαι πέφυκε λόγον, καὶ ὡς αἴτιον πάντα τὰ κατηγορούμενα κατὰ τῶν ὧν ἐστιν αἴτιον ἀπαθῶς ἀναδεχόμενον. Ἀνελεῖται τοῦτο

Dionys. Areopag. de Divinis Nominibus cap. 4., p. 365. tom. I. Opp. ed. Ven.

ζητήσας ὁ θεοφάντωρ καὶ μέγας Ἀρεοπαγίτης ἅγιος Διονύσιος ἐν οἷς φησι, Τί δήποτε τὸ θεῖον οἱ θεολόγοι ποτὲ μὲν ἔρωτα, ποτὲ δὲ ἀγάπην, ποτὲ δὲ ἐραστὸν καὶ ἀγαπητὸν ἀποκαλοῦσι; Συμπεραίνει τὸν λόγον οὕτωσὶ φάσκων, Ὅτι περ τῷ μὲν κινεῖται, τῷ δὲ κινεῖ· καὶ σαφέστερον εἰπεῖν, Ὡς μὲν

Cod. f. 204 a. ἔρως ὑπάρχον | τὸ θεῖον καὶ ἀγάπη κινεῖται, ὡς δὲ ἐραστὸν καὶ ἀγαπητὸν κινεῖ πρὸς ἑαυτὸ πάντα τὰ ἔρωτος καὶ ἀγάπης δεκτικά· καὶ τρανότερον αὖθις φάναι, Κινεῖται μὲν ὡς σχέσιν ἐμποιοῦν ἐνδιάθετον ἔρωτος καὶ ἀγάπης τοῖς τούτων δεκτικοῖς, κινεῖ δὲ ὡς ἑλκτικὸν φύσει τῆς τῶν ἐπ αὐτῷ κινουμένων ἐφέσεως· καὶ πάλιν, Κινεῖ καὶ κινεῖται, ὡς διψῶν τὸ διψᾶσθαι, καὶ ἐρῶν τὸ ἐρᾶσθαι, καὶ ἀγαπῶν τὸ ἀγαπᾶσθαι. Κατὰ τοῦτον τρόπον καὶ ὁ θεόφρων Γρηγόριός φησι, Μονὰς ἀπ' ἀρχῆς εἰς δυάδα κινηθεῖσα μέχρι τριάδος ἔστη. Κινεῖται γὰρ ἐν τῷ ταύτης δεκτικῷ νῷ, εἴ τε ἀγγελικῷ, εἴ τε ἀνθρωπίνῳ, δι' αὐτῆς καὶ ἐν αὐτῇ τὰς περὶ αὐτῆς ἐξετάσεις ποιουμένῳ, καὶ σαφέστερον εἰπεῖν, διδάσκει αὐτὸν ἀμερίστως ἐν τῇ πρώτῃ προσβολῇ τὸν περὶ μονάδος λόγον, ἵνα μὴ διαίρεσις τῷ πρώτῳ αἰτίῳ ἐπεισαχθῇ, προβιβάζει δὲ αὐτὸν καὶ τὴν θείαν καὶ ἀπόῤῥητον τούτου γονιμότητα δέξασθαι, λέγουσα μυστικῶς τε καὶ κρυφίως αὐτῷ μὴ δεῖν ἄγονον εἶναι πώποτε φρονεῖν τοῦτο τὸ ἀγαθὸν λόγου καὶ σοφίας, ἢ ἁγιαστικῆς δυνάμεως, ὁμοουσίων τε καὶ ἐννυποστάτων, ἵνα μὴ σύνθετον ἐκ τούτων ὑπολημφθῇ τὸ θεῖον ὡς συμβεβηκότων, καὶ οὐχὶ ταῦτα ὑπάρχον ἀεὶ πιστευθῇ. Κινεῖσθαι οὖν ἡ θεότης λέγεται ὡς αἰτία

Digitized by Google

cunque movetur et factum est per causam existit et movetur et factum est, sequitur ut nec effectum sit quodcunque existentiae causam habet nullam, nec mobile sit. Non enim movetur omnino quod existentiae causa caret. Si autem quod causa caret idem caret motione, sequitur ut divinum sit immobile, quod existentiae suae causam non habet rerumque quae sunt omnium causa est. Quomodo igitur, fortasse aliquis interrogabit, admirabilis hic doctor tanquam mobile introducit deum in praepositis? Cui respondebimus quod noverat procul dubio: Ratio cuiusque artis conservans, immobilis omnino ad se manens, ut exemplo utar, cum per singulas formas eorum quae ad eandem artem pertinent formatur, moveri dicitur potius, quod secundum se movet id quod arte efficitur, quam quod movendo appareat vel, ut lux quae ad videndum movet visum dicitur moveri, cum movens omnis visus proprie causa sit magis quam quod movetur, ita et divinum plane immobile existens pro essentia sua atque natura, utpote infinitum et non affectum et interminatum, tanquam aliquis conscia ratio rerum quae sunt essentias inhabitans moveri dicitur, providenter eorum quae sunt secundum suam unumquodque qua moveatur rationem movendo, et, ut causa, quaecunque de iis quorum est causa praedicantur, sine affectu recipiendo. Quod commendandum suscipiet qui in his quaerendis studium posuit divinus et magnus vates sanctus Dionysius Areopagita, ubi ait, ‚Quid tandem theologi significare volunt, cum divinum numen nunc amorem, nunc caritatem, nunc amabile et carum vocant?‘ Quaestionem absolvit his verbis: ‚Quod hic movetur, illic movet‘; atque ut luculentius dicam: Nunc amor divinum est atque caritas et movetur, nunc amabile est et carum et movet ad se quaecunque amorem atque caritatem capiunt; et ut rursus apertius dicam: Movetur dum affectum amoris et caritatis inserit eis quae horum capacia sunt, movet contra dum natura attrahit eorum quae ad se moveantur appetitum; et rursus: Movet et movetur quasi sitiens sitiri, et amans amari, et diligens diligi. Qua sententia etiam divinus Gregorius dixit, ‚Unitas principio in binarium mota in trinitate constitit.‘ Movetur enim in mente ipsius capace, sive angelica; sive humana, per ipsam et in ipsa de ipsa inquirente, et ut manifestius dicam, instruit eam indivise in primo impetu de unitatis ratione, ne separatio primae causae inferatur: impellit vero eam ad recipiendam etiam divinam atque inenarrabilem fecunditatem, mystice et occulte ei persuadens infecundum censendum nunquam esse hoc bonum sermonis et sapientiae, sive potestatis sanctificatoriae, coëssentialium et subsistentiam habentium, ne ex his tanquam congressis compositum esse divinum numen putetur, et non semper



Digitized by Google

τῆς καθ' ὃν ὑπάρχει τρόπον ἐξετάσεως. Ἄνευ γὰρ ἐλλάμψεως ἐπιβάλλειν θεότητι τῶν ἀμηχάνων ἐστί. Λέγεται δὲ κινεῖσθαι πάλιν καὶ διὰ τὴν κατὰ μέρος φανέρωσιν τοῦ περὶ αὐτῆς τελεωτέρου λόγου κατὰ τὴν ἁγίαν γραφήν, ἀπὸ τοῦ πατέρα ὁμολογεῖν ἀρχομένου, καὶ εἰς τὸ υἱὸν συνομολογεῖν πατρὶ προβαίνοντος, καὶ πατρὶ καὶ υἱῷ συμπαραδέχεσθαι
Cod. f. 204 b. τὸ πνεῦμα τὸ ἅγιον, καὶ συμπροσκυνεῖν | τοὺς διδασκομένους ἐνάγοντος τριάδα τελείαν μονάδι τελείᾳ, ἤγουν μίαν οὐσίαν καὶ θεότητα καὶ δύναμιν καὶ ἐνέργειαν ἐν τρισὶν ὑποστάσεσιν.

Idem ibid. cap. 6., p. 527. tom. 1. Opp. ed. Bened.

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ, Ἀλλ' ἕτερον, οἶμαι, θέλων καὶ θέλησις, γεννῶν καὶ γέννησις, λέγων καὶ λόγος, εἰ μὴ μεθύομεν· τὰ μὲν ὁ κινούμενος, τὰ δὲ οἷον ἡ κίνησις. Οὐκουν θελήσεως τὸ θεληθὲν, οὐδὲ τὸ γεννηθὲν γεννήσεως (οὐδὲ γὰρ ἔπεται πάντως), οὐ δὲ τὸ ἀκουσθὲν ἐκφωνήσεως, ἀλλὰ τοῦ θέλοντος καὶ τοῦ γεννῶντος καὶ τοῦ λέγοντος. Τὰ τοῦ θεοῦ δὲ καὶ ὑπὲρ πάντα ταῦτα, ᾧ γέννησίς ἐστιν ἴσως ἡ τοῦ γεννᾶν θέλησις.

Πρὸς τοὺς Ἀρειανοὺς πάντα κινοῦντας τρόπον, πρὸς τὸ εὐεπίβατον αὐτοῖς εἶναι τὴν κατὰ τοῦ μονογενοῦς βλασφημίαν, καὶ λέγοντας θελήσεως, ἀλλ' οὐ πατρὸς υἱὸν εἶναι τὸν μονογενῆ υἱὸν, ταῦτά φησιν ὁ σοφὸς διδάσκαλος, εὐδιάλυτον οὖσαν δεικνὺς πᾶσαν αὐτῶν ἐντεῦθεν τὴν κατὰ τῆς ἀληθείας μηχανήν. Εἰ γὰρ τὰς τῆς ψυχῆς δυνάμεις, ἃς ἴσως φαίη τις εἶναι συμπληρωτικὰς τῆς οὐσίας αὐτῆς, δύνασθαι μὲν ταύτας ἐνεργεῖν λέγομεν ἐν ᾗ σύνεισιν οὐσίᾳ, μὴ μέντοι καὶ κινεῖσθαι πάντως κατ' ἐνέργειαν ἀποτελεσματικὴν χωρὶς τῆς τοῦ θέλοντος ἐπινεύσεως δύνασθαι. Εἰ δὲ καὶ δοθείη καθ' ὑπόθεσιν τὸ ἴδιον ἐθέλειν αὐτὰς ἐνεργεῖν ἐκ τῆς φυσικῆς κινήσεως, χωρὶς τῆς τοῦ ταύτας, ἵν' οὕτως εἴπω, κεκτημένου ῥοπῆς μηδὲν ἰσχεῖν αὐτὰς καθάπαξ ἀποτελεσματικῶς ἐνεργεῖν τῆς ἰδίας ὁρμῆς. Οὐ γὰρ ἀκολούθει πάντως τῇ δυνάμει τὸ ἔργον, μὴ ἐχούσῃ τὴν τοῦ οὗ ἐστι δύναμις ῥοπὴν, συνεισφέρουσαν αὐτῇ τὸ κατ' ἐνέργειαν ἐν πράγματι τέλος,
Cod. f. 205 a. καθ' ἑαυτὴν οὖσῃ ἀνυποστάτῳ. | Μάτην τὴν θέλησιν προεβάλοντο, μὴ οὐσάν τινος ἀποτελεστικὴν, χωρὶς τοῦ αὐτὴν ἔχοντός τε καὶ θέλοντος. Καὶ τοῦτό ἐστιν ὃ φησιν ὁ διδάσκαλος. Οὐδὲ γὰρ ἕπεται πάντως δηλονότι τῇ θελήσει τὸ θεληθὲν, καὶ ταῖς λοιπαῖς ὡσαύτως τὰ λοιπὰ, χωρὶς τῆς τοῦ ταύταις ὑποκειμένου ἐν ᾧ καὶ εἰσὶ συνεισφορᾶς. Εἰ τοίνυν ἐκ τῶν καθ' ἡμᾶς παραδειγμάτων τεκμαίρεσθε τὰ θεῖα, ὦ οὗτοι, δέξασθε ταῖς ὑμῶν γοῦν αὐτῶν στοιχοῦντες ὑποθέσεσι τῶν ἅμα πάντως εἶναι τὰ κατὰ τὴν μέσην σχέσιν ἀλλήλοις

Digitized by Google

haec esse credatur. Moveri igitur deus dicitur ut causa quaestionis de modo quo ipse existat. Etenim sine illuminatione aggredi deitatem nunquam poteris. Rursus autem moveri dicitur etiam propter vicissitudinem manifestationis perfectioris circa ipsum rationis per sacram scripturam, quae initium facit patrem profitendo, et procedit in profitendum una cum patre filium, et ad recipiendum una cum patre filio spiritum sanctum, et ad trinitatem perfectam perfecta unitate, hoc est unam essentiam et deitatem et potestatem et actionem in tribus substantiis coniunctim et unâ venerandas instruit atque deducit.

Ex eodem sermone, in illud, ‚Verum aliud, ni fallor, est volens, aliud voluntas, aliud gignens, aliud generatio, aliud qui loquitur, aliud sermo, nisi forte temulenti simus: horum enim alterum est is qui movet, alterum velut motus ipse. Non ergo voluntatis est volitum, nec generationis quod genitum est (neque enim hoc prorsus sequitur), nec locutionis quod auditum est, sed volentis et gignentis et loquentis. At quae in deo considerantur, supra haec quoque omnia sunt, utpote cui generatio fortasse sit ipsa gignendi voluntas.‘

Ad Arianos omnia perturbantes, quo unigenitum blasphemandi opportunitatem sibi facerent, atque filium voluntatis, non autem patris esse unigenitum filium statuentes, haec sapiens doctor dicit, facile esse demonstrans inde ad dissolvendum omne artificium contra veritatem structum. Nam si animae facultates, quas aliquis dixerit essentiae huius completorias esse, has quidem in qua simul insunt essentia agere statuamus, haud tamen item moveri per actionem effectum praestantem nisi per volentis nutum posse. Si autem etiam daretur sub condicione privatum et proprium velle eas agere ex naturali motu, tamen praeter eius qui eas possidet, ut ita dicam, libramento nihil eas ita ut perfectam administrent efficaciam proprii impetus posse. Neque enim omnino facultatem sequitur opus, quae eius cuius est facultas libramento caret, quod activam in facto consummationem ei adferat, dum ipsa per se est sine substantia. Frustra voluntatem proposuerunt, quae nihil perficit praeter eum qui ipsam habet et vult. Atque hoc est quod dicit magister. Nequaquam enim, ut apparet, voluntatem sequitur volitum, nec magis reliquas reliqua, sine eius quod his subiacet, in quo et insunt, collatione. Quod si de humanis nostris, o isti, exemplis divina



Digitized by Google

συνόντα, λέγω δὴ τὸν θέλοντα καὶ τὸ θεληθὲν, τὸν γεννῶντα καὶ τὸ γεννηθὲν, κατὰ τὴν σχέσιν, φημὶ δὲ τὴν θέλησιν καὶ τὴν γέννησιν, ἀλλήλοις συνόντα. Ὡς γὰρ τοῦ ὁρῶντος καὶ τοῦ ὁρωμένου χωρὶς οὐκ ἔστιν ὅρασις, οὔτε τοῦ νοοῦντος καὶ τοῦ νοουμένου νόησις, οὕτως οὐδὲ τοῦ γεννῶντος καὶ τοῦ γεννωμένου γέννησις, οὐδὲ τοῦ θέλοντος καὶ τοῦ θελομένου θέλησις, ὅτι μηδὲ ἔπεται θελήσει τὸ θεληθὲν, ὡς ἐδείχθη, χωρὶς τῆς τοῦ θέλοντος συνειςφορᾶς. Εἰ δὲ τῶν ἅμα ταῦτά ἐστι κατὰ τὴν σχέσιν, ἀκίνητος γὰρ ἡ ἐπ' ἀμφοῖν σχέσις, ἅμα ἦν ἄρα τῷ γεννῶντι πατρὶ, ἀεὶ ὄντι πατρὶ, διὰ γεννήσεως καὶ καθ' ὑμᾶς ὁ γεννώμενος υἱὸς, μὴ παραδεχόμενος καθ' οἱονδήποτε τρόπον μεταξὺ αὐτοῦ καὶ τοῦ γεννῶντος πατρὸς παρενθήκην χρόνου, καὶ οὐκ ἔτι θελήσεώς ἐστιν υἱὸς ὁ υἱὸς, ἀλλὰ τοῦ γεννῶντος πατρός. Καὶ ταῦτα, φησὶν, ἐκ τῶν καθ' ἡμᾶς παραδειγμάτων εἰρήσθω, τὰ δὲ τοῦ θεοῦ καὶ ὑπὲρ πάντα ταῦτα, ᾧ γέννησις ἴσως ἐστὶν ἡ τοῦ γεννᾶν θέλησις. Ἀμφέβαλε δὲ τοῦτο διὰ τοῦ Ἴσως ἐπιρρήματος διὰ τὸ καὶ ὑπὲρ θέλησιν εἶναι τὴν ἐκ τοῦ πατρὸς τοῦ υἱοῦ γέν-
Cod. f. 205 b. νησιν. Οὐ γὰρ μεσάζεται θελήσει ἐκ τοῦ | πατρὸς ὁ υἱὸς, οὐδὲ προεπινοεῖται τοῦ υἱοῦ καθ' ὁτιοῦν ἡ τοῦ πατρὸς θέλησις, ὅτι μηδὲ προϋπῆν ὁ πατὴρ τοῦ υἱοῦ, ὥςπερ οὐδὲ νοῦς λόγου τοῦ ἐξ αὐτοῦ, οὔτε φῶς τοῦ ἀπαυγάσματος. Ἅμα γὰρ τὸ εἶναι ἔχοντες καὶ θέλησιν μίαν ἔχουσιν ὅ τε πατὴρ καὶ ὁ ἐξ αὐτοῦ ἀνάρχως γεννηθεὶς υἱὸς, ἁπλῆν τε καὶ ἀδιαίρετον, ὥςπερ οὖν καὶ οὐσίαν μίαν καὶ φύσιν.

Idem ibid. cap. 15., p. 534. tom. I. Opp. edit. Bened.

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ, Ἐπεὶ τί κωλύει κἀμὲ ταύτην πρότασιν ποιησάμενον τὴν ὅτι, Ὁ πατὴρ μείζων τῇ φύσει, ἔπειτα προσλαβόντα τὸ, Φύσει δὲ οὐ πάντως μεῖζον, οὐδὲ πατὴρ, συναγαγεῖν, Τὸ μεῖζον οὐ πάντως μεῖζον, ἦ, Ὁ πατὴρ οὐ πάντως πατήρ.

Ἐπειδήπερ μείζονα τῷ αἰτίῳ τοῦ υἱοῦ τὸν πατέρα σοφῶς ὁ διδάσκαλος, ὡς ἐκ τοῦ πατρὸς ὄντος τοῦ υἱοῦ, ἀλλ' οὐκ ἐκ τοῦ υἱοῦ τοῦ πατρὸς ὑπάρχοντος, διωρίζετο, προσλαβόντες οἱ Ἀρειανοὶ τὴν τὸ αἴτιον φύσει πρότασιν συνῆγον αὐτῷ κακούργως τὸ φύσει μεῖζον. Πρῶτον μὲν ἐπιλύεται γενναίως τὸ παραλελογισμένως ὑπ' αὐτῶν συναχθὲν εἰπών, Οὐκ οἶδα πότερον ἑαυτοὺς παραλογίζονται, ἢ τοὺς πρὸς οὓς ὁ λόγος. Οὐ γὰρ ἁπλῶς ὅσα κατά τινος λέγεται, ταῦτα καὶ κατὰ τοῦ ὑποκειμένου τούτῳ ῥηθήσεται· ἀλλὰ δῆλον κατὰ τίνος καὶ τίνα τοῦτ' ἔστιν. Οὐ γὰρ ὅσα κατὰ τοῦ αἰτίου ὡς αἰτίου, φησὶ, λέγεται, ταῦτα καὶ κατὰ τοῦ φύσει ῥηθήσεται. Οὐκ ἔστι γὰρ λόγου τὰ κατά τινος φέρε εἰπεῖν σοφοῦ ἢ βασιλέως ὡς σοφοῦ ἢ ὡς βασιλέως λεγόμενα καὶ κατὰ τοῦ

Digitized by Google

aestimatis, vestris saltem ipsis condicionibus innisi necesse esse concedite ut quae secundum medium affectum sive relationem sese comitantur simul sint, volentem inquam et volitum, generantem et generatum, quae secundum affectum sive relationem, id est voluntatem et generationem, se invicem comitantur. Quemadmodum enim extra videntem et visum non est visus, neque cogitatio extra cogitantem et cogitatum, ita nec extra generantem et generatum generatio, nec extra volentem et volitum voluntas, quia, ut demonstratum est, nec volitum sequitur voluntatem sine eius qui vult collatione. Quod si simul sunt haec secundum affectum, immobilis enim amborum affectus, — contemporabat ergo generanti patri, patri qui semper erat, per generationem etiam secundum vos generatus filius, cum inter semet ipsum et patrem generantem nullo modo admittat intervallum temporis, neque est amplius voluntatis filius filius, sed patris generantis. Atque haec, inquit, ex humanis nostris dicta sint exemplis, at quae in deo considerantur, supra haec quoque omnia sunt, cui generatio fortasse est gignendi voluntas. In dubium vero id adduxit per ‚Fortasse' adverbium, propterea quod filii ex patre generatio etiam voluntatem superat. Neque enim separatur voluntate a patre filius, neque ullo modo patris voluntas cogitantibus nobis anticipat filium, quia nec pater antecedebat filium, non magis quam intellectus ante sermonem ex ipso, aut lux ante splendorem. Nam simul habentes existentiam unam pater et qui ex eo sine initio generatus est filius, et voluntatem habent simplicem atque individuam, ut etiam essentiam unam et naturam.

Ex eodem sermone, in illud, ‚Alioqui quid prohibet quominus ipse quoque allata hac propositione, Pater maior natura est, ac deinde assumpta altera, Natura autem non omnino maior, nec pater, ita postremo concludam, Maius igitur omnino non maius, vel, Pater omnino non pater?'

Cum de causa maiorem filio patrem, quia ex patre sit filius, at non ex filio pater existat, doctor sapienter definiret, Ariani quod de natura causa sit propositione adsumpta ei maligne quod de natura maius sit collegerunt. Atque primum strenue quod isti prava ratiocinatione collegerunt diluit dicens, ‚Haud scio se ipsosne potius an eos ad quos dirigunt sermonem captiosa hac argumentatione circumveniant. Neque enim simpliciter quaecunque de aliquo dicuntur, etiam de isto dicentur quod ipsi subiacet: sed patet de quo, et quaenam dicantur. Nimirum quaecunque de causa tanquam

Digitized by Google

ὑποκειμένου τούτοις ῥηθῆναι, ὡς ἀνθρώπων, καὶ συμπαραλαμβάνειν ἀθέσμως τῷ τῆς οὐσίας ὅρῳ τῶν ὑποκειμένων τὰ κατὰ τῆς σοφίας ὡς σοφίας, καὶ τὰ κατὰ τῆς βασιλείας ὡς βασιλείας λεγόμενα, τὰ μηδὲν καθόλου τῷ λόγῳ τῆς οὐσίας|
Cod. f. 206 a. ἐπικοινωνοῦντα ὡς συστατικὰς διαφορὰς αὐτῆς καὶ συμπληρωτικὰς τοῦ κατ' αὐτὴν ὅρου παραλαμβάνειν. Ἔπειτα σοφώτερον συμπλέξας αὐτοῖς ἐκ τῆς αὐτῶν προτάσεως συλλογισμὸν περιτρέπει αὐτοὺς ἑαυτοῖς. Ἔχει δὲ οὕτως· Ἐπεὶ τί κωλύει κἀμὲ ταύτην πρότασιν ποιησάμενον τὴν ὅτι, Ὁ πατὴρ μείζων τῇ φύσει, ἔπειτα προσλαβόντα τὸ, Φύσει δὲ οὐ πάντως μεῖζον, οὐδὲ πατὴρ, ἐντεῦθεν συναγαγεῖν, Τὸ μεῖζον οὐ πάντως μεῖζον, ἤ, Ὁ πατὴρ οὐ πάντως πατήρ. Πρὸς δὲ τὸ σαφέστερον ἡμῖν γενέσθαι καὶ συνεκτικώτερον διαγράψωμεν, εἰ δοκεῖ, σχήματι τὸ λεγόμενον, ἐκ μὲν τῆς τῶν ἐναντίων ἐπιχειρήσεως ἀρχόμενοι, εἰς δὲ τὴν τοῦ πατρὸς καταπαύοντες διδασκαλίαν.

Πρότασις Ἀρειανῶν, ἤγουν Εὐνομιανῶν, Εἰ φύσει αἴτιος ὁ πατὴρ τοῦ υἱοῦ, μείζων δὲ ὁ πατὴρ τοῦ υἱοῦ, μείζων ἄρα τῇ φύσει ὁ πατὴρ τοῦ υἱοῦ. Ἐπίλυσις τοῦ ἁγίου πατρὸς ἡμῶν Γρηγορίου διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς περιτρέποντος τοὺς ἐναντίους, Εἰ φύσει μείζων καθ' ὑμᾶς ὁ πατὴρ τοῦ υἱοῦ, τὸ δὲ φύσει οὐ πάντως μείζων ἢ πατὴρ, τὸ μεῖζον ἄρα οὐ πάντως μεῖζον, ἢ ὁ πατὴρ οὐ πάντως πατήρ.

Οὕτω περιτρέπονται τοῖς οἰκείοις ἑαλωκότες μηχανήμασιν οἱ τὴν ἀλήθειαν ἀπαναινόμενοι, κενοὶ κενῶς τῆς εὐσεβείας ἐκτιναχθέντες. Ἐπὶ γὰρ τῶν τοιούτων λόγων τὰ συμπεράσματα τῶν προτάσεών εἰσι συστατικὰ, τῶν δὲ συμπερασμάτων αἱ προτάσεις ὑπάρχουσιν ὁριστικαὶ, οἷς περιπεπτώκασιν ἐκ πολλῆς ἀμαθίας οἱ ἑαυτοὺς οἰόμενοι σοφούς.

Idem ibid. cap. 16., p. 535. tom. I. Opp. ed. Bened. Ἔστω δὲ καὶ ἐνεργείας, εἰ δοκεῖ, οὐδὲ οὕτως ἡμᾶς αἱρήσετε. Αὐτὸ δὲ τοῦτο ἐνεργηκὼς ἂν εἴη τὸ ὁμοούσιον, εἰ καὶ ἄτοπος ἄλλως ἡ τῆς περὶ τοῦτο ἐνεργείας ὑπόληψις.

Ἐπειδὴ οἱ τὴν γλῶσσαν ὥρει ξυρὸν κατὰ τῆς ἀληθείας ἠκονημένην ἔχοντες ἔλεγον δῆθεν ἐρωτῶντες, Ὁ πατὴρ οὐσίας
Cod. f. 206 b. ἐστὶν, ἢ ἐνεργείας ὄνομα; | ἵνα εἰ μὲν εἴπωμεν οὐσίας ὄνομα εἶναι τὸ πατὴρ, ἐντεῦθεν συναγάγωσι τὸ ἑτεροούσιον εἶναι τῷ πατρὶ τὸν υἱὸν, ὡς τῆς αὐτῆς οὐσίας δύο μὴ ἐπιδεχομένης καὶ διάφορα κυρίως ὀνόματα (εἰ γὰρ τὸ πατὴρ οὐσίας ἐστὶν ὄνομα, οὐκ ἂν ποτε τῆς αὐτῆς ὄνομα εἴη τὸ υἱὸς), εἰ δὲ ἐνεργείας, σαφῶς τοῦ πατρὸς ποίημα τὸν υἱὸν ὁμολογοῦντας δείξωσιν, ὡς ἐνέργημα, μετὰ τὸ τὴν κυριολεξίαν ἀντιθετικῶς διεξελθεῖν εὐθέως πρὸς αὐτοὺς τὸν διδάσκαλον εἰρηκότα οὔτε οὐσίας εἶναι τὸ πατὴρ ὄνομα, οὔτε ἐνεργείας,

Digitized by Google

causa, inquit, dicuntur, ea etiam de eo quod de natura est dicentur. Neque enim rationis est ea quae, ut exemplo hoc utar, de sapiente vel rege ut sapiente vel ut rege dicuntur etiam de eo quod his subiacet dicere, ut hominibus, et praeter legem essentiae definitione eorum quae subiacent una comprehendere quae de sapientia ut sapientia, quaeque de regno ut regno dicuntur, id est quae nihil omnino communicant cum ratione essentiae, ut differentias ipsam constituentes et complentes eius definitionem admittere. Deinde sapientius adiuncto eis ex propositione ipsorum syllogismo suo ipsorum eos gladio iugulat. Quae ita se habent: ‚Alioqui quid prohibet quominus ipse quoque allata hac propositione, Pater maior natura est, ac deinde assumpta altera, Natura autem omnino non maior, nec pater, ita postremo concludam: Maius igitur omnino non maius, vel, Pater omnino non pater.‘ Verum quo magis nobis fiat perspicuum et consummatum, age in formulam, si placet, redigamus quod dicitur, ab adversariorum conamine incipientes, et in patris doctrinam desinentes:

Propositio Arianorum, sive Eunomianorum: ‚Si pater natura filii causa est, et maior pater filio est, sequitur ut pater natura filio maior sit.‘ Solutio sancti nostri patris Gregorii ad absurdum deducentis et confutantis adversarios ita: ‚Si natura secundum vos pater maior est filio, id vero quod natura est nequaquam maius est patre, sequitur ut maius omnino non sit maius, aut ut pater omnino non pater sit.‘

Ita confutantur suis ipsorum artificiis capti veritatis renegatores, et leves pietate leviter excutiuntur. De talibus enim dictis conclusiones constituunt propositiones, conclusiones autem definiunt propositiones, quibus se induerunt pro magna sua ignorantia illi qui sibi sapientes ipsis videntur esse.

‚Sit etiam actionis, si ita videtur, nec sic quidem causam obtinebitis. Eodem enim modo dicemus hoc ipsum egisse patrem, ut consubstantialis ipsi filius esset; etsi alioquin absurditate non caret huiusmodi actionis opinio.‘

Qui linguam tanquam novaculam contra veritatem acutam habent cum dicerent, interrogantes nimirum, Pater essentiaene est, an actionis nomen? ut, si essentiae quidem nomen esse ‚pater‘ statuerimus, inde alienae a patre substantiae filium esse colligant, quod eadem substantia duo et diversa proprie haud capiat nomina (nam si pater essentiae est nomen, nequaquam eiusdem sit ‚filius‘ nomen), sin actionis, ut clare atque aperte filium patris conditionem statuere nos, velut actione conflatum, ostendere habeant, postquam

Digitized by Google

ἀλλὰ σχέσεως, καὶ τοῦ πῶς ἔχει πρὸς τὸν υἱὸν ὁ πατηρ, η ὁ υἱὸς πρὸς τὸν πατέρα, συμπεριφορικῶς ἐνήγαγεν εἰπών, Ἔστω καὶ ἐνεργείας, εἰ τοῦτο δοκεῖ, καὶ ἐπιφέρει, Αὐτὸ δὲ τοῦτο ἐνηργηκὼς ἂν εἴη τὸ ὁμοούσιον. Πῶς οὖν ἐνεργεῖ τὸ ὁμοούσιον; ζητήσαι τις ἂν τυχὸν τῶν ἄγαν ἐξεταστικῶν καὶ μηδὲν τῶν συμφερόντων ἀγνοεῖν ἀνεχομένων. Τοῦτο δὲ κατὰ τοιόνδε τρόπον ὁμαλισθήσεται. Δύο καθόλου τὰς ἐνεργείας εἶναί φασιν ἐν τοῖς οὖσι, μίαν μὲν τὴν προάγουσαν ἐκ τῶν ὄντων φυσικῶς τὰ ὁμογενῆ καὶ ὁμοούσια καὶ ἑαυτοῖς πάντη ταὐτά. Καθ' ἣν συμπεριενεχθεὶς τοῖς λογολέσχαις ἐπιεικῶς πρὸς τὸ μικρὸν γοῦν ἐπισχεῖν αὐτοὺς τοῦ βλασφημεῖν φησιν ὁ διδάσκαλος, Ἔστω δὲ καθ' ὑμᾶς, κατὰ τὸν ἀποδοθέντα σκοπὸν τοῦ λόγου, καὶ ἐνεργείας ὄνομα ὁ πατήρ. Οἷς ἐπάγει, Αὐτὸ δὲ τοῦτο ἐνηργηκὼς ἂν εἴη ὁ πατὴρ, δηλονότι τὸ ὁμοούσιον, ὡς ἐνέργειαν οὐσιωδῶς ὑφεστῶσαν καὶ ζῶσαν, ὥσπερ οὖν ἀμέλει καὶ λόγον ζῶντα καὶ δύναμιν καὶ σοφίαν αὐθυπόστατον τὸν μονογενῆ θεοῦ λόγον καὶ υἱὸν τοῦ πατρὸς εἰρήκασιν οἱ θεόφρονες τῆς ἀληθείας διδάσκαλοι. Τὴν δὲ ἑτέραν ἐνέργειάν φασιν εἶναι τῶν ἐκτὸς ἀπεργαστικὴν, καθ'

Cod. f. 207 a. ἣν περί τι τῶν ἔξωθεν | καὶ ἑτεροουσίων ἐνεργῶν τις ἕτερόν τι τῆς ἰδίας οὐσίας ἀλλότριον ἐκ προϋποκειμένης ὕλης τινὸς κατασκευάζει. Ταύτην δὲ τὴν ἐνέργειαν ταῖς τέχναις ἐπιστημονικῶς συγκεῖσθαί φασι. Περὶ ἧς ὁ θεόφρων διδάσκαλός φησι, Εἰ καὶ ἄτοπος ἄλλως, παρ' ὃν ἐλήφθη δηλονότι τρόπον, ἡ τῆς περὶ τοῦτο ἐνεργείας ὑπόληψις, καὶ μάλιστα ἐπὶ πατρὸς καὶ υἱοῦ λαμβανομένης, ἐφ' ὧν οὐδὲ τὴν πρώτην κυρίως δέξασθαι ὁ εὐσεβὴς ἀνέχεται νοῦς, διὰ τὸ καὶ ὑπὲρ ταύτην εἶναι τὴν ἐκ τοῦ πατρὸς καὶ ἅμα τῷ πατρὶ καὶ ἐν τῷ πατρὶ ἄφραστον καὶ ἀπερινόητον ὕπαρξιν τοῦ μονογενοῦς.

Greg. Nazianz. Orat. Theol. IV, de Filio, cap. 8., p. 545. tom. I. Opp. edit. Bened.

Ἐκ τοῦ β' περὶ Υἱοῦ λόγου, εἰς τὸ, Θεὸς δὲ λέγοιτο ἂν οὐ τοῦ λόγου, τοῦ ὁρωμένου δέ. Πῶς γὰρ εἴη τοῦ κυρίως θεοῦ θεός; ὥσπερ καὶ πατὴρ οὐ τοῦ ὁρωμένου, τοῦ λόγου δέ. Καὶ γὰρ ἦν διπλοῦς, ὥστε τὸ μὲν κυρίως ἐπ' ἀμφοῖν, τὸ δὲ οὐ κυρίως· ἐναντίως δὲ ἐφ' ἡμῶν ἔχει. Ἡμῶν γὰρ κυρίως Θεὸς ὁ Θεὸς, οὐ κυρίως δὲ πατήρ.

Τὸ μὲν κυρίως ἐπ' ἀμφοῖν θετέον, τοῦ πατὴρ καὶ τοῦ θεὸς, ὡς ἀμφοῖν ἐπὶ Χριστοῦ κυρίως λέγεσθαι δυναμένων διὰ τὴν μίαν ὑπόστασιν. Χριστοῦ γὰρ πατὴρ κυρίως ἐστὶν ὁ θεὸς, ὡς υἱοῦ καὶ θεοῦ λόγου καὶ ἑνὸς τῆς ἁγίας τριάδος ὑπάρχοντος καὶ μετὰ τὴν σάρκωσιν, καὶ θεοῦ τοῦ αὐτοῦ Χριστοῦ πάλιν κυρίως ἐστὶν, ὡς ἀνθρώπου κατὰ ἀλήθειαν ὄντος διὰ τὴν σάρκα, καὶ ἑνὸς τῶν ἀνθρώπων χρηματίζοντος·

Digitized by Google

de propriis nominibus contra disputavit magister statimque dixit neque essentiae patris nomen esse, neque actionis, sed relationis, et quomodo ad filium se pater, aut filius ad patrem se habeat, comiter infert dicens, ‚Sit etiam actionis, si ita videtur', et addit, ‚Eodem enim modo dicemus hoc ipsum egisse patrem ut consubstantialis ipsi filius esset.' Quomodo igitur, quaeret fortasse aliquis curiosior et nihil quod utile sit ignorare sustinens, quomodo agit ut consubstantialis filius sit? Quod hoc fere modo explanabitur. Duas in universum actiones in rebus statuunt, quarum una est quae ex iis quae sunt naturaliter procreat quae sint eiusdem et generis et essentiae, sibique ipsis eadem ubique et constantia. De qua veluti morigerans argutulis illis recte magister, quo paullisper saltem a blasphemando eos prohibeat, dicit, ‚Esto vero secundum vos', secundum disputationis propositum, ‚esto etiam actionis nomen pater'; et his subiungit, ‚Eodem enim modo dicemus hoc ipsum egisse patrem', id est ut consubstantialis ipsi filius esset, tanquam efficeret actionem essentialiter substantem et viventem, quemadmodum et sermonem profecto vivum et potestatem et sapientiam per se ipsam substantem unigenitum dei sermonem et filium patris divini veritatis doctores dixerunt. Alteram autem actionem ad externa efficienda pertinere statuunt, qua quis circa externum aliquid et alienae essentiae agens alienum quid a propria essentia atque diversum ex materia iam prius existente instituit. Hanc autem actionem cum artibus secundum scientiam communicari et compositam esse aiunt. De qua divinus doctor, ‚Etsi', inquit, ‚alioquin absurditate non caret', iuxta quam videlicet rationem accepta est, ‚huiusmodi actionis opinio', praesertim si de patre et filio accipitur, de quibus ne priorem quidem proprie actionem statuere nos pius sensus patitur, propterea quod etiam hanc superat ineffabilis et incomprehensibilis unigeniti substantia, qua ex patre et cum patre et in patre est.

Ex secundo de Filio sermone, in illud, ‚Deus vero dicatur non ratione verbi, sed partis quae in oculorum sensum cadit. Quo enim modo illius, qui proprie deus est deus dici queat? Quemadmodum pater non humanitatis, sed verbi respectu. Duplici quippe natura constabat; quo fit ut alterum de utroque proprie dicatur, alterum improprie, contra quam in nobis se res habet. Deus enim proprie noster deus est, non autem proprie pater.'

‚Alterum proprie de utroque' est ponendum, et de patre et de deo, ut quorum utrumque proprie potest de Christo

Digitized by Google

τὰ γὰρ τῶν μερῶν τοῦ ἐξ αὐτῶν ὅλου κυρίως κατηγορεῖται, ὡς ἐπιδεχομένου πάντα κυρίως τὰ φυσικῶς προσόντα τοῖς μέρεσιν, ἐξ ὧν καὶ ὑφέστηκε. Τὸ δὲ οὐ κυρίως ὡσαύτως ἐπ' ἀμφοῖν ληπτέον, τοῦ Θεὸς καὶ τοῦ πατὴρ, ὡς ἀμφοῖν ἐπὶ Χριστοῦ κυρίως λεχθῆναι μὴ δυναμένων, διὰ τὴν φυσικὴν διαφορὰν τῶν ἐξ ὧν καὶ ἐν αἷς συνέστηκε φύσεων. Τὰ γὰρ τῷ κατὰ σύνθεσιν ὅλῳ προσόντα θατέρου τῶν ἑαυτοῦ μερῶν οὐδέποτε κυρίως κατηγορηθήσεται. Ἐναντίως δὲ ἢ
Cod. f. 207 b. ἐφ' ἡμῶν | ἔχει, τουτέστιν ἐμπάλιν καθὼς ἐφ' ἡμῶν ἔχει. Ἡνίκα γὰρ τὴν διαφορὰν θεωρῶ τῶν φύσεων, καὶ τὴν αὐτῶν κατ' ἐπίνοιαν ποιοῦμαι διάκρισιν, οὐ δύναμαι τὸ ἐπ' ἀμφοῖν κυρίως τιθέναι, τοῦ πατήρ φημι καὶ τοῦ Θεός. Οὐ γὰρ κυρίως τοῦ λόγου Θεός ἐστιν ὁ πατὴρ, οὐ δὲ κυρίως πατὴρ τῆς σαρκός ἐστιν ὁ Θεός. Ἐναντίως δὲ, τουτέστιν ἐμπαλιν δὲ, ἢ ἀντιστρόφως δὲ, τοῦ τε κυρίως δηλονότι καὶ οὐ κυρίως, ἐπί τε τῆς ἑνώσεως καὶ τῆς μίας ὑποστάσεως, ἐπί τε τῆς διαφορᾶς τῶν φύσεων καὶ τῆς κατ' ἐπίνοιαν αὐτῶν διακρίσεως λαμβανομένων, ὡς τῆς μὲν μίας ὑποστάσεως κυρίως Θεὸν καὶ πατέρα λεγόμενον, ὡς ἑνὸς Χριστοῦ, τὸν Θεὸν ἐπιδεχομένης κατὰ τὴν ἀποδοθεῖσαν αἰτίαν, τῆς δὲ κατ' οὐσίαν διαφορᾶς τῶν φύσεων ἐμπαλιν τὸ μὴ κυρίως ἐπιδεχομένης, καθὼς ἐφ' ἡμῶν ἔχει. Ἡμῶν γὰρ κυρίως μὲν Θεὸς ὁ Θεὸς, ὥσπερ καὶ τῆς τοῦ λόγου σαρκὸς, οὐ κυρίως δὲ πατὴρ, ὥσπερ οὐδὲ τῆς τοῦ λόγου σαρκός. Ἐνηλλαγμένως οὖν τὰ τοῦ ὅλου τοῖς μέρεσι, καὶ τῷ ὅλῳ τὰ τῶν οἰκείων μερῶν ἐκφωνητέον, καὶ ἔσται ῥᾳδία καὶ σαφὴς ἡ τοῦ προκειμένου κατάληψις. Καὶ ἵνα σαφέστερον γένηται τὸ λεγόμενον, ἡνίκα μὲν ὡς ὑπόστασις ὁ Χριστὸς θεωρεῖται, τὸ κυρίως ἐπ' ἀμφοῖν, τοῦ Θεὸς λέγω καὶ τοῦ πατὴρ, θετέον, ἡνίκα δὲ διὰ τὴν ἀσύγχυτον ὕπαρξιν τῶν ἐν οἷς καὶ ἐξ ὧν ἐστιν αἱ τοῦ Χριστοῦ φύσεις θεωροῦνται, τὸ ἐμπαλιν θετέον, ὅπερ ἐστὶ τὸ μὴ κυρίως, καθὼς ἐφ' ἡμῶν ἔχει. Καὶ δηλοῖ τοῦτο σαφῶς λέγων ὁ διδάσκαλος διὰ τοῦ ἐπαγαγεῖν, Καὶ τοῦτο ποιεῖ τοῖς αἱρετικοῖς τὴν πλάνην, ἡ τῶν ὀνομάτων ἐπίζευξις, ἐπαλλαττομένων τῶν ὀνομάτων διὰ τὴν
Cod. f. 208 a. σύγκρασιν. Σημεῖον δὲ, ἡνίκα αἱ | φύσεις διίστανται ταῖς ἐπινοίαις, συνδιήρηνται καὶ τὰ ὀνόματα. Τουτέστιν, ἕως ὑπόστασιν μίαν σκοπεῖς τὸν Χριστὸν, ἡ κατ' ἐπαλλαγὴν τῶν ὀνομάτων ἐπίζευξίς ἐστιν ἀδιαίρετος, ἐπειδὰν δὲ ταῖς ἐπινοίαις διαστήσῃς τὰς συμπληρούσας τὴν μίαν ὑπόστασιν τοῦ Χριστοῦ φύσεις, συνδιεῖλες ταῖς φύσεσι καὶ τὰ ὀνόματα· ἢ πάλιν, ἐπείπερ τὴν φύσιν διπλοῦς ὁ Χριστὸς, ἄμφω κατηγορεῖται αὐτοῦ, τὸ Θεὸς καὶ πατὴρ, κυρίως μὲν ἡνίκα συνεκφωνεῖται καταλλήλως ταῖς φύσεσι τὰ ὀνόματα, οὐ κυρίως δὲ ὅταν ἡ κατὰ φύσιν ἑκατέρου τῶν ἐξ ὧν ἐν οἷς τε καὶ ἅπερ ἐστὶ θατέρῳ διὰ τὴν μίαν ὑπόστασιν ἐπηλλαγμένως ἀντιδίδοται κτῆσις. Ὅπερ ποιεῖν μὴ γινώσκοντες, ἢ

Digitized by Google

dici propter substantiae unitatem. Christi enim pater proprie est deus, quia filius et deus sermo et unus sanctae trinitatis existit vel post carnificationem, ut etiam dei eiusdem Christi rursus est proprie, quia homo revera est propter carnem, et unus hominum appellabatur; quae enim partium sunt, ea de toto, quod inde consistit, proprie praedicantur, quia proprie recipit quaecunque naturaliter inhaerent partibus, unde etiam constant. ‚Alterum improprie de utroque' aeque capiendum est, et de deo et de patre, quia utrumque vocabulum de Christo proprie dici nequit, propter naturalem earum ex quibus et in quibus consistit naturarum differentiam. Quae enim ei quod de compositione totum est adhaerent de una alterave partium suarum, ea nunquam proprie praedicabuntur. ‚Contra' autem ‚quam in nobis se res habet', hoc est rursus ut de nobis se habet res. Quando enim naturarum specto differentiam, easque cogitatione discerno, de utroque proprie ponere non possum, de patre inquam et de deo. Haud enim proprie sermonis deus est pater, neque proprie pater carnis est deus. ‚Contra quam', hoc est rursus vero, vel contrario modo, quod nimirum pertinet ad illud ‚proprie' et ‚improprie', ad unitionem et substantiae unitatem, ad differentiam naturarum et ad discrimen quo mente percipimus, cum substantiae unitas proprie dici deum et patrem, ut unius Christi, de causa praedicta deum admittat cumque rursus essentialis naturarum differentia improprie dici recipiat, quemadmodum in nobis se res habet. Noster enim proprie deus est deus, ut etiam sermonis carnis, sed non proprie, pater, ut nec sermonis carnis. Invicem enim atque mutuo quae totius sunt debemus partibus, quaeque propriarum est partium toti debemus tribuere, atque facilis erit et perspicua eorum quae tractantur comprehensio. Et quo magis perspicuum fiat quod dico, quando ut substantiam contemplamur Christum illud ‚proprie de utroque', de deo inquam et patre, ponendum, quando autem per existentiam inconfusam eorum in quibus et ex quibus constant Christi naturae, illud ‚rursus' ponendum, quod est non proprie, quemadmodum in nobis se res habet. Et hoc significat manifesta magistri oratio, cum subiciat, ‚Atque hoc est quod haereticos in errorem inducit, nempe nominum horum coniunctio, permutatis videlicet inter se nominibus propter naturae utriusque connexionem.' Argumento est quod cum naturae animo et cogitatione distinguuntur, simul quoque nomina dividuntur. Hoc est, quamdiu Christum unam contemplaris substantiam, nominum secundum permutationem coniunctio individua est, ubi autem intellectu discriminaveris naturas quae Christi substantiae unitatem consummant, una cum naturis nomina quoque discriminabis; aut rursus, cum Christus duplex natura sit, utrumque de eo

Digitized by Google

κυριώτερον εἰπεῖν μὴ ἀνεχόμενοι, οἱ τότε καὶ οἱ νῦν αἱρετικοὶ τὸν μονογενῆ θεὸν λόγον βλασφημεῖν οὐ παραιτοῦνται, οἱ μὲν εἰς κτίσμα κατάγοντες διὰ τὰ ἀνθρώπινα, οἱ δὲ τὴν οἰκονομίαν συγχέοντες διὰ τὴν ἄρνησιν τῶν ἐξ ὧν ἐστι φύσεων. Ἄλλος δὲ πάνυ τὰ θεῖα σοφὸς τοῦτον ἐρωτηθεὶς παρ' ἐμοῦ τὸν τόπον ἔφη, Τὸ μὲν κυρίως, τὸ δὲ οὐ κυρίως ἐπ' ἀμφοῖν, τῆς αὐτῆς ἐστι κατηγορίας τῆς σχετικῆς, εἴτε τῆς παιτὴρ, εἴτε τῆς θεὸς, ἢ καὶ ἑκατέρας, ὡς ἐφ' ἑνὸς Χριστοῦ τιθεμένης, τοῦ συνεστῶτος ἐκ δυοῖν τῶν ἐναντίων, κυρίως καὶ οὐ κυρίως. Εἰ μὲν θεὸς ὁ πατὴρ τοῦ Χριστοῦ λεχθείη κατὰ τὴν ἐπίνοιαν τῶν δύο φύσεων, κυρίως μὲν τοῦ κτίσματος ἂν λέγοιτο, οὐ κυρίως δὲ τοῦ θεοῦ λόγου. Ὁμοίως δὲ καὶ ἐκ τῶν ἐναντίων πατὴρ κυρίως τοῦ λόγου, τοῦ δὲ κτίσματος οὐ κυρίως, καθὰ καὶ ἐφ' ἡμῶν ἔχει ταῦτα λεγόμενα. Ἡμῶν γὰρ κυρίως μὲν θεὸς, οὐ κυρίως δὲ πατήρ. Ταύτην ἀποδεξάμενος ἐγὼ τοῦ σοφοῦ τὴν ἐπιβολὴν ὡς καλῶς ἔχουσαν συνεῖδον ἐνταγῆναι τῷ γράμματι.

Idem ibid. cap. 9., p. 545 tom. I. Opp. ed. Bened. Cod. f. 208 b.

*Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ, Λαμβάνειν αὐτὸν, δηλαδὴ τὸν Χριστὸν, ζωὴν, | ἢ κρίσιν, ἢ κληρονομίαν ἐθνῶν, ἢ ἐξουσίαν πάσης σαρκὸς, ἢ δόξαν, ἢ μαθητὰς, ἢ ὅσα λέγεται, καὶ τούτοις ἐπαγαγεῖν τὸν διδάσκαλον ὅτι, Καὶ τοῦτο τῆς ἀνθρωπότητος, εἶτα προσεπαγαγεῖν, Εἰ δὲ καὶ τῷ θεῷ δοίης, οὐκ ἄτοπον. Οὐ γὰρ ὡς ἐπίκτητα δώσεις, ἀλλ' ὡς ἐξαρχῆς συνυπάρχοντα, καὶ λόγῳ φύσεως, ἀλλ' οὐ χάριτος.*

*Πρὸς ἐμαυτὸν περὶ τούτου πολλάκις διαπορήσας, πῶς καὶ τίνι λόγῳ, καθὼς φησιν ὁ διδάσκαλος, ὃ κατὰ φύσιν ἔχει λαμβάνειν ὁ θεὸς λέγεται, καὶ μὴ δυνηθεὶς ἐμαυτὸν πληροφορῆσαι, τέλος καλῶς ἔχειν ἔρεσθαι γέροντα σοφὸν διέγνων, ὅστις τὸν περὶ τούτου λόγον ἐπιστημόνως μάλα διϊθυνεν οὕτωσὶ λέγων, ὅτιπερ καθ' ὑπόθεσιν εἰδῶμέν τινα σαφηνίζοντά τισι τὰς τῶν ὄντων φύσεις, ἐρεῖν πρὸς αὐτοὺς, Λῶμεν τῷ θεῷ τὸ παντοδύναμον, τὸ σοφὸν, τὸ ἀγαθὸν, τὸ δίκαιον, ὡςαύτως τῇ κτίσει τὸ δοῦλον, τὸ ὑπήκοον, τὸ περιγραπτὸν, τὸ ἐκ μὴ ὄντων ὑποστῆναι, καὶ τὰ τούτοις ἀκόλουθα, ὡς τῆς φύσεως ἑκάστου ἐν ταῖς κοιναῖς ἐννοίαις ἀπαιτούσης τὰ ἴδια. Φάσκων οὖν ὁ τυχὼν τὸ, Λῶμεν τῷ θεῷ, οὐχὶ τὸ μὴ προσὸν αὐτῷ παρεῖχεν, ἀλλ' ὅπερ ἡ φύσις ἔχει. Τοῦτο γὰρ τὸ Λῶμεν σημαίνει οἷον τὸ διορίζειν τὴν φύσιν διὰ τῶν αὐτῇ προσόντων ἀπὸ τῶν μὴ τοιούτων. Τὸν αὐτὸν τρόπον κἀνταῦθα λέγοντα τὸν διδάσκαλον εὐσεβῶς ἐκδέχου, Εἰ δὲ καὶ τῷ θεῷ δῶμεν, τουτέστι τῆς φύσεως*

Digitized by Google

praedicatur, et deus et pater, proprie quidem quando naturis convenienter nomina simul pronuntiantur, improprie autem quando naturalis utriusque possessio eorum unde et in quibus existit quod existit alterutri propter substantiae unitatem invicem attribuitur. Quod cum facere nesciant, aut, ut magis proprie dicam, non sustineant et refragentur, veteres et hodie qui extant haeretici unigenitum deum Sermonem blasphemare non detrectant, nunc ad creaturam eum deprimendo propter humana, nunc dispensationem confundendo per earum unde constat naturarum renegationem. Alius vero divinarum rerum peritissimus a me consultus in hunc fere modum interpretatus est: Hoc ‚proprie' et illud ‚improprie de utraque' eiusdem est praedicationis relativae, sive patris, sive dei, sive etiam utriusque nominis, ut de uno Christo usurpatae, qui ex duobus contrariis constat, id est ex eo quod ‚proprie' et ex eo quod ‚non proprie.' Itaque si deus Christi pater duarum naturarum respectu dicetur, ‚proprie' sane ad creaturam pertinebit, ‚improprie' autem ad deum sermonem. Item ex adverso pater pertinebit ‚proprie' ad sermonem ad creaturam contra ‚improprie', prout etiam apud nos haec uti dicuntur se habent. Noster enim ‚proprie' quidem deus est, ‚improprie' autem pater. Quam observationem a sapiente illo acceptam, cum elegans sit, libro inserendam esse putavi.

Ex eodem sermone, in illud, ‚Accipere eum, id est Christum, vitam aut iudicium aut gentium haereditatem aut omnis carnis potestatem aut gloriam aut discipulos, aut cetera eius generis quae dicuntur', quodque magister hisce subiungat, ‚Hoc quoque ad humanitatem spectat', et deinceps, ‚Quamquam ut haec etiam deo tribuamus, nulla inde absurditas consequetur. Non enim velut asciticia ei tribues, sed quae velut a principio una cum ipso extiterint, et ratione naturae, non gratiae.'

De hoc mecum saepenumero cum haesitassem, quomodo et qua ratione, ut ait magister, deus quod natura habet accipere dicatur, cumque mihi satisfacere non potuissem, denique senem sapientem adire satius visum est, qui eam quaestionem quam perite expedivit ita locutus: Si quem rerum naturae aliquibus interpretem se praestare velle fingamus, ille suis auditoribus dicet, Demus deo omnipotentiam, sapientiam, bonitatem, iustitiam, aeque conditioni servitium, oboedientiam, circumscriptionem, de nihilo existentiam, et quae ex his consequuntur, prout natura utriusque in com-

Digitized by Google

τὸ προσὸν αὐτῇ πρὸς τῶν διευκρινούντων τὰ πράγματα λαμβανούσης.

Idem ibid. cap. 11., p. 546. tom. I. Opp. ed. Bened.

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ, Ὡς γὰρ ἀδύνατον εἶναι λέγομεν πονηρὸν εἶναι θεὸν, ἢ μὴ εἶναι.

Καὶ τοῦτο τὸν προλεχθέντα σοφὸν ἐρωτήσας γέροντα ἔφη μὴ ἠρτῆσθαι τὸ μὴ εἶναι τῷ προλεχθέντι, ἵνα μὴ συναχθῇ τὸ εἶναι τὸ εἶναι τὸν θεὸν πονηρὸν, Ὡς γὰρ ἀδύνα-
Cod. f. 209 a. τον εἶναι λέγομεν πονηρὸν εἶναι θεὸν, ἢ μὴ | εἶναι πονηρὸν, ἀλλ' εἶναι πονηρὸν, κατὰ κοινοῦ τοῦ πονηρὸν κειμένου. Δύο γὰρ ἀρνήσεις μίαν συγκατάθεσιν ἐπάγουσιν. Ἔστιν οὖν ἀρνητικὸν τὸ ἀδύνατον, συμπλεκόμενον δὲ τῷ μὴ εἶναι πονηρὸν, συνάγει τὸ πονηρὸν εἶναι. Ὅπερ οὐχ οὕτως ἔχει, μὴ γένοιτο. Ἀλλ' ἕκαστον ἀπὸ ἰδίας ἀρχῆς ἔχει τὸν εἰρμὸν, ἵνα ᾖ τὸ κῶλον οὕτως ὁμαλιζόμενον, Ὡς γὰρ ἀδύνατον εἶναι λέγομεν πονηρὸν εἶναι θεὸν, καὶ στίξαι καὶ πάλιν ἄρξασθαι νοήματος ἑτέρου καὶ προσεπαγαγεῖν, Ἢ μὴ εἶναι, ἀντὶ τοῦ ἀνύπαρκτον εἶναι.

Idem ibid. cap. 21., p. 556. tom. I. Opp. ed. Bened.

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ, Ἔχεις τὰς τοῦ υἱοῦ προσηγορίας, βάδιζε δι' αὐτῶν, ὅσαι ὑψηλαὶ, θεϊκῶς, καὶ ὅσαι σωματικαὶ, συμπαθῶς, μᾶλλον δὲ ὅλον θεϊκῶς, ἵνα γένῃ θεὸς κάτωθεν ἀνελθὼν διὰ τὸν κατελθόντα δι' ἡμᾶς ἄνωθεν.

Ὁ τὸν νοῦν διὰ τῆς ὑψηλῆς θεωρίας κατὰ τὴν ἑκάστου τῶν θείων ὀνομάτων ἐπίνοιαν καταφωτίσας καὶ πρὸς τὸν ἀρχικὸν ἑκάστου καὶ πνευματικὸν λόγον ἀναγαγών τε καὶ μεταποιήσας, καὶ τοῖς ὑπὲρ ἀρετῆς πόνοις τὸ φρόνημα τῆς σαρκὸς καθυποτάξας τῷ πνεύματι, ὑπήκοός τε μέχρι θανάτου γενόμενος, οὗτος ἀληθῶς βάδιζε διὰ τῶν θείων προσηγοριῶν ἀμέμπτως κατά τε πνεῦμα καὶ σάρκα, τὴν θείαν καὶ πρὸς θεὸν ἄγουσαν πορείαν ποιούμενος, ὑψηλῶς μὲν κατὰ τὴν μυστικὴν θεωρίαν διὰ τῶν ὑψηλῶν ὀνομάτων, συμπαθῶς δὲ κατὰ τὴν πρακτικὴν φιλοσοφίαν, διὰ τῶν σωματικῶν πρὸς τὴν ἄνω λῆξιν ἐπειγόμενος, μᾶλλον δὲ τὸ ὅλον θεϊκῶς, ὡς θεωρετικῆς οὔσης καὶ τῆς πράξεως καὶ λογικῆς χάριτος μὴ ἀμοιρούσης· ἀλλ' ὅτου χάριν τὴν πρὸς τὴν σάρκα γνωμικὴν ἀλλοτρίωσιν διὰ τῆς τελείας περιτομῆς τῶν αὐτῆς φυσικῶν κινημάτων εἵλετο σαφῶς ὑπαγορεύων ὅτιπερ, ἵνα γένηται καὶ αὐτὸς χάριτι θεὸς, [1] ὑπὲρ τὴν ὕλην κατὰ σάρκα διὰ τῆς πράξεως, καὶ κατὰ νοῦν διὰ θεωρίας ὑπὲρ τὸ

1. In apographo extat ὑπὲρ τὴν ὑλικὴν κατὰ σάρκα τῆς πράξεως, quae supplevi et emendavi.

Digitized by Google

munibus notionibus sua propria sibi quaeque vindicat. His igitur ille verbis, ‚Demus deo', ei quod non adhaerebat non tribuit, sed quod naturae peculiare est. Hoc enim ‚demus' significat veluti definire naturam per ea quae ipsi adhaerent ab eis quae non sunt eiusmodi. Pari modo hic quoque doctorem nostrum pie accipe dicentem, ‚Quamquam ut haec etiam deo tribuamus', hoc est dum natura quae sibi adhaerent ab rerum gnaris examinatoribus attributa accipit.

Ex eodem sermone, in illud, ‚Ut enim impossibile esse dicimus deum malum esse, aut omnino non esse.'

Etiam hoc quaesivi a sapiente sene supra memorato, qui respondit non pertinere illud ‚non esse' ad ea quae praecesserunt, ne scilicet illud ‚esse' suspicemur significare esse deum malum: ‚Ut enim impossibile esse dicimus deum malum esse, aut non esse' malum, sed esse malum, illo ‚malum' ex communi posito. Duae enim negationes unam efficiunt affirmationem. Quo fit ut illud negativum ‚impossibile' cum illo ‚non esse malum' coniunctum efficiat ut malus sit. Quod ita non est. Absit. Sed suum unumquodque a suo proprio principio nexum habet, ut membrum orationis illud ita complanetur: ‚Quemadmodum enim impossibile esse dicimus malum esse deum', post quae incidendum est, ut rursus alterum enuntiatum inde additum incipiat, ‚Aut non esse', id est existentia carere.

Ex eodem sermone, in illud, ‚Habes filii appellationes, per eas incede, per eas, inquam omnes quae sublimes sunt, divine, per corporeas autem humane, immo vero prorsus divine, ut ex imis hisce ascendens fias deus propter eum qui propter nos de supernis descendit.'

Qui mentem sublimi contemplatione per uniuscuiusque divinarum appellationum interpretationem illustravit et ad principalem cuiusque et spiritualem rationem subduxit atque transformavit, ac laboribus pro virtute susceptis prudentiam carnis spiritui subiecit, ad mortem usque oboediens factus, is vere incede ‚per divinas appellationes' et spiritu inreprehensibiliter et carne, divinum iter et quod ad deum ducit ingrediens, ‚sublimis' quidem secundum mysticam contemplationem per sublimes appellationes, ‚eademque patiens' secundum practicam philosophiam, dum per corporalia ad supernam properas quietem, ‚immo vero prorsus divine', cum contemplativa tua etiam sit actio et rationali gratia non indigeat; sed

Digitized by Google

Cod. f. 209 b. εἶδος, | ἐξ ὧν ἡ τῶν ὄντων ὕπαρξις ὑφέστηκεν, ἑαυτὸν καταστήσας, καὶ τὸ ὅλον εἰπεῖν, κατὰ τὴν ἕξιν τῆς ἀρετῆς καὶ τῆς γνώσεως ἄϋλος καὶ ἀνείδεος πάντη γενόμενος, διὰ τὸν δι' ἡμᾶς ἐν ὕλῃ καὶ εἴδει καθ' ἡμᾶς ἀληθῶς ἐξ ἡμῶν γενόμενον θεὸν λόγον, τὸν κατὰ φύσιν κυρίως ἄϋλον καὶ ἀνείδεον. Ἢ καὶ πάλιν τὸ Μᾶλλον δὲ ὅλον θεϊκῶς, διὰ τὴν ἐγγενομένην αὐτῷ κατορθώσαντι τὴν ἐφικτὴν ἀνθρώποις ἀρετὴν καὶ γνῶσιν, ἐκ τῆς πρὸς τὸν θεὸν καὶ τὸν πλησίον συμπαθείας, ἀπάθειαν, ὑπὲρ τῆς τῶν ἄλλων ὀφειλῆς πάσχειν καὶ τὴν ψυχὴν ἑτοίμως προϊέσθαι, ὡς κηλίδων παντάπασιν ὑπάρχων ἐλεύθερος.

Greg. Naz. Or. in Theophan. cap. 2., p. 664. tom. I. Opp. ed. Bened. Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τὰ Γενέθλια λόγου, εἰς τὸ, Νόμοι φύσεως καταλύονται· πληρωθῆναι δεῖ τὸν ἄνω κόσμον. Χριστὸς κελεύει· μὴ ἀντιτείνωμεν.

Κατὰ ἀλήθειαν οἱ νόμοι τῆς φύσεως καταλυθέντες τὴν τοῦ ἄνω κόσμου πλήρωσιν εἰργάσαντο. Δηλονότι μὴ [1]καταλυθέντων ἐλλιπὴς ἂν ὁ ἄνω κόσμος διέμεινε καὶ ἀπλήρωτος. Τίνες δὲ οἱ καταλυόμενοι νόμοι τῆς φύσεώς εἰσιν; Ἡ διὰ σπορᾶς σύλληψις καὶ ἡ διὰ φθορᾶς ἐστιν, ὡς οἶμαι, γέννησις, ὧν οὐδέτερον τὴν ἀληθινὴν τοῦ θεοῦ σάρκωσιν καὶ τελείαν ἐνανθρώπησιν παντελῶς ἐχαρακτήρισε. Σπορᾶς γὰρ ἀληθῶς ἡ σύλληψις, καὶ φθορᾶς γέγονε πάμπαν ἡ γέννησις, καθαρὰ καὶ ἀνέπαφος, καὶ διὰ τοῦτο παρθένος καὶ μετὰ τὸν τόκον τοῦ γεννηθέντος ἡ μήτηρ, διὰ τοῦ τοκετοῦ μᾶλλον ἀπαθὴς διαμείνασα, ὃ καὶ παράδοξον καὶ πάντα φύσεως νόμον τε λόγον ἐκβεβηκὸς, καὶ θεὸς ὁ ἐξ αὐτῆς σαρκὶ γεννηθῆναι καταξιώσας, διασφίγξας αὐτῇ μᾶλλον ὡς μητρὶ τὰ
Cod. f. 210 a. τῆς παρθενίας | δεσμὰ διὰ τῆς γεννήσεως. Τὸ θαυμαστὸν ὄντως καὶ πρᾶγμα καὶ ἄκουσμα, γέννησιν γενέσθαι βρέφους καὶ πρόοδον, τῶν γεννητικῶν κλείθρων τῆς τεκούσης μὴ ἀνοιγέντων. Ἔδει γὰρ ὄντως, ἔδει τὸν ποιητὴν τῆς φύσεως δι' ἑαυτοῦ τὴν φύσιν ἐπανορθούμενον πρώτους καταλύσαι τοὺς νόμους τῆς φύσεως, οἷς ἡ ἁμαρτία διὰ τῆς παρακοῆς τὴν αὐτὴν τοῖς ἀλόγοις ζώοις τοὺς ἀνθρώπους ἔχειν τῆς ἐξ ἀλλήλων διαδοχῆς ἰδιότητα κατεδίκασε, καὶ οὕτω τῆς πρώτης καὶ ὄντως θείας δημιουργίας τοὺς νόμους ἀνανεώσασθαι, ἵνα ὅπερ ὁ ἄνθρωπος ἐξ ἀπροσεξίας ὡς ἀσθενὴς ἠφάνισε, τοῦτο διὰ φιλανθρωπίαν ὁ θεὸς ὡς δυνατὸς ἐπανορθώσηται. Εἰ τοίνυν οἱ διὰ τὴν ἁμαρτίαν νόμοι τῆς φύσεως ἐν Χριστῷ κατελύθησαν, καὶ πᾶσα δουλοπρεπὴς τῶν παθῶν ἐπανάστασις διὰ τῆς παρουσίας τοῦ λόγου παντελῶς ἀπεγένετο, πληρωθῆναι δεῖ πάντως τὸν ἄνω κόσμον, ὡς φησιν ὁ διδάσκα-

1. Apographum καταλυθέντες.

Digitized by Google

cuius gratia voluntatis a carne alienationem perfecta eius naturalium motionum circumcisione ceperit aperte indicat, nimirum ut etiam ipse gratia deus fieret, super materiam in carne per actionem, inque mente per contemplationem super formam, ex quibus rerum natura constat, sese constituens, et ut totum edicam, secundum habitum virtutis et cognitionis immaterialis et formae expers plane factus per deum Sermonem qui propter nos in materia et forma revera ad nos de nobis pervenit, qui natura sua proprie est immaterialis formaeque expers. Vel etiam rursus, illud ‚Immo vero prorsus divine', dixit propter eius, qui virtutem ac cognitionem quantas hominibus liceret exercuit, ex dei et proximi amore, liberum ab affectu statum, quo de aliorum debito patiatur animamque libenter proiciat, utpote ab omnibus omnino naevis et maculis liber.

## Eiusdem ex sermone in Nativitatem, in illud, ‚Leges naturae solvuntur; impleri oportet et consummari mundum supernum. Christus iubet: ne obsistamus.'

Leges naturae revera solutae superni mundi consummationem effecerunt. Nimirum non solutis eis supernus mundus imperfectus mansisset atque inconsummatus. Quaenam sunt autem istae quae solvuntur leges naturae? Est conceptio per sationem, et per interitum, ut puto, generatio, quarum neutra veram dei incarnationem perfectamque humani corporis assumptionem plene designavit. Sationis enim vere fuit conceptio, et interitus omnino generatio, pura atque immaculata, proptereaque vel post generati partum virgo mater, cum per id quod peperit potius sine passione permaneret, id quod etiam mirum et praeter omnem naturae legem atque rationem factum est, uti deus qui ex illa in carne nasci dignatus est, qui virginitatis vincula illi, ut matri, potius adstrinxit per generationem. Id quod factu non minus quam auditu vere admirandum est, generari nimirum infantem et partu edi, genitalibus claustris matris non apertis. Necesse erat enim revera, necesse erat ut naturae conditor per semet ipsum naturam emendans primas naturae leges dissolveret, quibus peccatum propter inoboedientiam parem cum irrationalibus animalibus homines damnaverat habere ex semet ipsis successionem continuandae stirpis, et primae adeo ac revera divinae creationis leges innovaret, ut quod homo ex neglegentia, ut infirmus, perdidisset, hoc deus de clementia sua, ut potens, restauraret. Si igitur leges naturae de peccato impositae in Christo solutae sunt, et omnis affectuum servilis insurrectio de Sermonis adventu penitus remota est, necesse est omnino ut supernus mundus consummetur, ut



Digitized by Google

λος. Καὶ πρὸς τοῦτο μὴ ἀντιτείνωμεν. Εἰ γὰρ ὁ παλαιὸς ὑπὸ [2] τὴν ἁμαρτίαν Ἀδὰμ φιλὸς ἄνθρωπος ὢν τοὺς πρώτους ἐν πνεύματι νόμους τῆς φύσεως διὰ τῆς παρακοῆς καταλύσας τὸν κάτω κόσμον ἐπλήρωσε τῶν κατ' αὐτὸν σαρκὶ γεννηθέντων εἰς φθοράν, τῷ ὁμοιώματι τῆς αὐτοῦ παραβάσεως γενόμενος ἀρχηγός, καὶ οὐδεὶς ἀντερεῖ, πόλλῳ μᾶλλον ὁ ἀναμάρτητος νέος, ὁ Ἀδὰμ Χριστὸς ὁ θεὸς τοὺς διὰ τὴν ἁμαρτίαν ἐπεισαχθέντας τῇ φύσει νόμους τῆς ἀλογίας καταλύσας, ὡς λόγος, τὸν ἄνω κόσμον πληρωσείην ἂν δικαίως τῶν κατ' αὐτὸν εἰς ἀφθαρσίαν πνεύματι γεννωμένων, τῷ ὁμοιώματι τῆς αὐτοῦ ὑπακοῆς γενόμενος ἀρχηγός. Καὶ ἀπιστείτω μηδεὶς τῶν κἂν μικρὸς ἐπῃσθημένων τῆς τοῦ θεοῦ δυναστείας καὶ τὸ μέγεθος αὐτῆς μὴ ἀγνοούντων. Οὕτω μὲν οὖν ὁ ἄνω
Cod. f. 210 b. κόσμος πληροῦται | τῶν κατὰ Χριστὸν ἐν πνεύματι γεννωμένων, καὶ οὕτω πέρας δέχεται πρόσφορον ὁ κατὰ σάρκα νόμος καὶ τῆς κάτω γεννήσεως, καὶ πρὸς τὸν ἄνω κόσμον πάντα ἀναῤῥυθμίζεται.

## Ἄλλη ἐπιβολὴ εἰς τὸ αὐτό.

Ἐπειδὴ δὲ καὶ ἄλλον νοῦν πρὸς τούτοις ὁ τοῦ διδασκάλου λόγος ἔχων μοι φαίνεται, λεκτέον καὶ τοῦτον ὡς καθ' ἡμᾶς ἐστι δυνατὸν, θεοῦ τὸν λόγον ἰθύνοντος ἐν τοῖς εὐαγγελίοις. Ἡ μόνη τῶν ὅλων αἰτία καὶ θεὸς Ἰησοῦς ὁ ἐμὸς ἐν παραβολαῖς κρυφίως διδάσκων πρόβατον θείας ἑκατοντάδος ἀποφοιτῆσαν, καὶ δραχμὴν θείας δεκάδος παραπολομένην, καὶ υἱὸν ἄσωτον [1] ἀφραδῶς τοῦ πατρὸς ἀποπηδήσαντα καὶ ἀδελφικῆς θείας δυάδος τὴν ὁμόνοιαν λύσαντα, τὸν ἄνθρωπον ἐκάλεσε πρόβατον μὲν ὡς προνοητὸν, οἶμαι, καὶ ἀγόμενον, καὶ ταττόμενον, καὶ τριῶν χρειωδῶν τῷ κεκτημένῳ παρεκτικὸν, μαλοῦ καὶ ἀμνοῦ καὶ γάλακτος, ὡς τρεφόμενόν τε καὶ τρέφοντα, τῷ λόγῳ τε καὶ τῷ τρόπῳ τῆς φυσικῆς θεωρίας, καὶ ἐνδυόμενον καὶ ἐνδύοντα τῷ τρόπῳ τῆς ἠθικῆς φιλοσοφίας, καὶ πλουτοῦντα καὶ πλουτίζοντα κατὰ τὴν τοῦ ὁμοίου γέννησιν τῷ μυστηρίῳ τῆς ἀληθοῦς ἐποψίας· δραχμὴν δὲ, ὡς λαμπρὸν καὶ βασιλικὸν, καὶ τῷ τῆς εἰκόνος λόγῳ χαρακτηριστικὸν τῆς θείας ἀρχετυπίας, καὶ ὅλης ὑπάρχοντα τῆς θείας ὡραιότητος ὡς ἐφικτὸν δεκτικόν· υἱὸν δὲ, ὡς κληρονόμον τῶν πατρικῶν ἀγαθῶν καὶ ἰσότιμον τῷ πατρὶ κατὰ τὴν ἐκ χάριτος δωρεάν. Τοῦτον δὲ τὸν ἄνθρωπον ὡς μὲν πρόβατον πλανηθέντα ὁ προνοητὴς θεὸς ζητήσας ὡς ποιμὴν εὗρε, καὶ τοῖς οἰκείοις ὤμοις ἐπιθεὶς πρὸς τὴν τῶν συννόμων ἐπανήγαγε μάνδραν· ὡς δὲ εἰκόνα συγχωσθεῖσαν |
Cod. f. 211 a. τοῖς πάθεσι καὶ τὸ ἀρχικὸν κάλλος ἀχρειώσαντα ὡς σοφία τὴν ἑαυτοῦ σάρκα λύχνου τρόπον ἐξάψας τῷ φωτὶ τῆς ἑαυτοῦ

2. A prima manu scriptum est τῆς ἁμαρτίας in cod. Gud.

Digitized by Google

ait magister. Et contra hoc ne obstrepamus. Nam si vetus, qui peccato subiacebat, Adam simplex et exilis homo, primas in spiritu leges naturae inoboedientia dissolvit inferioremque mundum prole replevit de suo semine et in carne sata in interitum, transgressionis suae similitudine princeps factus, et nemo obloquetur, multo magis qui sine peccato est novus Adam Christus deus leges irrationalitatis naturae de peccato inlatas dissolverit, ut ratio, superioremque mundum recte iis repleverit quos ex se in spiritu generat interitus expertes, oboedientiae suae similitudine princeps factus. Et nemo fidem deneget eorum qui vel paululum senserunt dei imperium eiusque magnitudinem agnoverunt. Sic igitur superior mundus repletur iis qui de Christo in spiritu generantur, et sic finem sortitur convenientem carnalis et inferioris huius generationis lex, et ad superiorem mundum aequabili omnia ordine dispunguntur.

## Alia in idem observatio.

Cum vero aliam quoque magistri sermo interpretationem admittere mihi videatur, haec quoque pro viribus meis erit proponenda, deo in evangeliis ipso sermonem dirigente. Sola et unica rerum universarum causa atque deus meus Iesus in parabolis occulte docens de ove quae de divino centum numero aberravit, et de drachma quae de divina decade amissa est, et de filio prodigo qui et patrem inconsiderate dereliquit et fraternae divinae dyadis concordiam solvit, hominem appellavit ovem quidem, ut cuius cura habetur, puto, quique agitur et in ordinem redigitur possessorique suo tria necessaria praestat, lanam et agnum et lac, ut qui alitur et alit, ratione et modo naturalis contemplationis, et qui vestitur et vestit modo moralis philosophiae, et qui ditatur et ditat secundum paris generationem mysterio verae intuitionis. Item drachmam, utpote nitidam et regalem imaginisque verbo divinam originem exprimentem, et omnis divinae pulchritudinis quam potest fieri capacem. Item filium, ut paternorum bonorum haeredem et pari cum patre honore fruentem de gratiae munere. Hunc vero hominem tanquam ovem errantem deus providentia sua vestigatam ut pastor invenit, suisque humeris iniectam ad consortium ovile reduxit. Ut imaginem vero affectibus conspurcatam et regali forma orbatam Sermo, ut sapientia sui ipsius carnem in lucernae modum incensam luce divinitatis suae invenit, et magni gaudii occasionem hanc inventionem facit, qua divinae decadis defectum supple-

1. Apographum ἀφ᾽ἁδῶς.



Digitized by Google

θεότητος ὁ λόγος εὗρε, καὶ χαρᾶς ὑπόθεσιν μεγάλης ποιεῖται τὴν εὕρεσιν, δι' ἧς τῆς θείας δεκάδος τὴν ἔλλειψιν ἀνεπλήρωσεν· ὡς δὲ υἱὸν νεκρωθέντα τῇ ἁμαρτίᾳ καὶ ἀπολόμενον τῇ περὶ τὸν θεὸν ἀγνωσίᾳ ὡς πατὴρ ἀγαθὸς ἐπιστρέφοντα προσήκατο, καὶ τῆς προτέρας ἀξίας ἐπιτίθησι πάλιν ἀνελλιπῶς τὰ γνωρίσματα, καὶ τὸ δὴ μέγιστον πάντων καὶ μυστικώτατον, τὸν μόσχον θύει τὸν σιτευτὸν, ὅστις ποτὲ ἦν ὁ μόσχος οὗτος καὶ ἡ τούτου παράδοξος θυσία (οἶμαι δὲ ὅτι ὁ ἀκρότατός ἐστι τοῦ κατὰ τὴν θείαν καὶ ἄῤῥητον πρόνοιαν ἀπερινοήτου καὶ ἀγνώστου τρόπου κρυφιώτατός τε καὶ ἀγνωστότατος λόγος, καὶ ἡ τούτου θεοπρεπὴς τοῖς οὖσι μετάδοσις), καὶ χαρᾶς ἀῤῥήτου ποιεῖται κεφάλαιον τοῦ υἱοῦ τὴν ἐπάνοδον, πληρώσασαν μεγαλοφυῶς τῶν υἱῶν τὴν δυάδα, ἥτις ποτέ ἐστιν αὕτη, καὶ ἡ πρὸ αὐτῆς δεκὰς τῶν δραχμῶν, καὶ ἡ πρὸ ἐκείνης τῶν προβάτων ἑκατοντάς. Περὶ ὧν νῦν λέγειν, εἰ δοκεῖ, παραλείψωμεν, εὐκαιρότερον ἐν ἄλλοις μετ' ἐμμελοῦς ἐξεργασίας τὸν ἐφ' ἑκάστῳ ἀριθμῷ μυστικῶς θεοῦ διδόντος συνοψόμενοι λόγον. Εἰ τοίνυν ὡς μὲν πρόβατον ὁ καλὸς ποιμὴν τοῖς ὤμοις ἐπιθεὶς πρὸς τὰ σύννομα τὸν ἄνθρωπον ἐπανήγαγε, καὶ ὡς δραχμὴν διὰ τῆς εἰκόνος τὴν βασιλικὴν ἐκτύπωσιν ἔχοντα τὸν ἄνθρωπον ὡς σοφία τοῦ θεοῦ καὶ πατρὸς καὶ δύναμις διὰ τῆς σαρκώσεως εὗρεν ὁ κύριος καὶ σωτὴρ, καὶ ὡς υἱὸν ἐπιστρέφοντα προσήκατο ὁ ἀγαθὸς καὶ πανοικτίρμων πατὴρ, καὶ ταῖς κατ' οὐρανὸν δυνάμεσι συναριθμήσας ἐγκατέταξεν, ἑκάστου τῶν ἐν τοῖς οὐρανοῖς ἀριθμοῦ πληρώσας τὴν ἔλλειψιν διὰ τοῦ σωθέντος ἀνθρώπου, δῆλον ὡς τὸν ἄνω κόσμον ἐπλήρωσε Χριστὸς ὁ θεὸς, τὴν πάντων ἐν ἑαυτῷ θεοπρεπῶς αὐτουργήσας σωτηρίαν.

## Ἄλλη θεωρία εἰς τὸ αὐτό.

Καὶ ἄλλως δὲ, εἰ δοκεῖ, θεωρήσωμεν τὸ προκείμενον
Cod. f. 211 b. ἄπορον. Φασὶν οἱ τῶν | ὄντων τὴν φύσιν ἀκριβῶς διαθρήσαντες νόμον εἶναι φύσεως ἑκάστης τὴν τοῦ καθ' ὃν ἐστι καὶ γεγένηται λόγου ἀῤῥεπῆ καὶ ἀναλλοίωτον μονιμότητα, καὶ καλῶς ἂν ἔχειν οὕτω τὸν ὅρον τοῦ νόμου τῆς φύσεως, ὡς οἶμαι, πᾶς λόγου μετειληφὼς ἀκούων συνθήσεται. Εἰ δὲ τοῦτό ἐστιν ἀληθὲς, δηλονότι ὁ νόμος τῆς φύσεως ἐξ ἀνάγκης ὥςπερ τὸν λόγον ἀπαράβατον φυλάττει τῆς φύσεως, οὕτω καὶ τὸν αὐτῆς κατὰ τὴν θέσιν πάντως διατηρεῖ τόπον ἀμετάθετον. Ἀλλ' ὁ νόμῳ καὶ λόγῳ καὶ φύσει σοφῶς διορίσας καθ' ἕκαστον εἶδος τὴν τῶν ὄντων ὑπόστασιν, ὑπὲρ φύσιν καὶ νόμον καὶ νοῦν καὶ λόγον καὶ τόπον καὶ κίνησιν ὑπάρχων, κατ' οὐδὲν τῶν κατὰ φύσιν ἐνεργεῖ τοῖς ὑπὸ φύσιν, ἀλλ' ἑαυτῷ προσφυῶς ὑπὲρ φύσιν τὰ κατὰ φύσιν τῶν ὑπὸ φύσιν μετερχόμενος δρᾷ τε καὶ πάσχει, ἀμφοῖν φυλάττων ἑαυτῷ τε πάσχοντι καὶ τοῖς δρωμένοις παραδόξως κατὰ φύσιν ἀκραιφνὲς τὸ ἀμετάβολον. Οὕτω τε κάτω πρὸς ἡμᾶς αὐτὸς κινηθεὶς

Digitized by Google

vit. Ut filium vero peccato mortificatum et dei ignorantia perditum ut pater bonus reducem recepit, eique pristinae dignitatis insignia plene rursus indit, et quod maximum omnium sane est cuique summum inest mysterium, vitulum mactat saginatum, quisquis erat vitulus iste et mirificum eius sacrificium (erat vero, ut mihi videtur, summus de divina atque ineffabili providentia inperceptibilis et incogniti modi Sermo occultissimus atque plane incognitus, eiusque cum eis qui existunt divina communicatio), et pro gaudii ineffabilis summa filii reditum habet, qua filiorum dyas magnifice expleta et consummata est, quisquis est reditus iste, et drachmarum quae eum praegressa est decas, et ovium centum numerus ante hanc commemoratus. De quibus, si lubet, nunc dicere omittamus, opportunius in aliis cum accurato studio mystice in unoquoque quae insit numero, si deus dederit, observaturi rationem. Si igitur ut ovem bonus pastor humeris iniectam ad consortes hominem reportavit, et ut drachmam regalem in imagine effigiem habentem hominem ut sapientia dei ac patris et virtus per carnificationem dominus et salvator invenit, et ut filium reducem bonus et semper misericors pater receptum caelestibus potestatibus adnumeravit, uniuscuiusque caelestis numeri defectu per hominem salvatum suppleto, manifestum est quod Christus deus superiorem mundum complevit, divine in semet ipso ipse cunctorum salutem operatus.

## Alia in idem contemplatio.

Sed aliter quoque, si placet, hanc quaestionem pertractemus. Qui rerum accurate dispexerunt naturam, uniuscuiusque naturae legem rationis secundum quam sit et extiterit constantem et immutabilem soliditatem esse statuunt, et legis naturae definitionem sic bene se habere, ut mihi videtur, nemo rationis particeps ubi audierit non concedet. Quod si verum est, apparet lege naturae necessario tam rationem naturae custodiri inviolatam, quam eius secundum positionem omnino locum perservari immutatum. Verum qui lege et ratione et natura sapienter per singulas species rerum substantiam definiit, is natura et lege et intellectu et ratione et loco et motione superior secundum nullum naturalium agit eis quae naturae subiecta sunt, sed sibimet ipsi congruenter in iis quae subiacent naturae sectans supernaturaliter ea quae secundum naturam sunt et facit et patitur, utrisque, tam sibi patienti quam eis quae fiunt mirifice custodiens naturaliter inlibatam constantiam. Ita et ad nos ipse revera

2. Eadem manus correxit *μυστικὸν ὡς θεοῦ δίδοντος* cett.

Digitized by Google

ἀληθῶς τῇ καθ' ἡμᾶς ἐκφάνσει ἄνθρωπος γέγονε τέλειος, μὴ κινηθεὶς ἑαυτοῦ τὸ παράπαν καὶ τῆς ἐν τόπῳ περιγραφῆς μηδαμῶς πεῖραν λαβὼν, καὶ ἡμᾶς ἐθέωσε τελείως, μηδὲν ἡμῶν τῆς φύσεως παντάπασι κατ' ἀλλοίωσιν ὑφελόμενος, ὅλον τε δοὺς ἀνελλιπῶς ἑαυτὸν καὶ ὅλον κατὰ τὴν ἄφραστον καὶ ἀλώβητον ἕνωσιν πλήρη τὸν ἄνθρωπον εἰληφὼς οὐδὲν τῆς καθ' ἕτερον ἐμείωσε τελειότητος, καὶ ἔστιν ἀληθῶς ὅλος θεὸς ὁ αὐτὸς, καὶ ὅλος ἄνθρωπος ὁ αὐτὸς, τῇ κατ' ἄμφω τῶν ἐν οἷς ἀληθῶς ἐστι τελειότητι μαρτυρῶν ἑαυτῷ τὸ κατ' ἄμφω ἄτρεπόν τε καὶ ἀναλλοίωτον. Οὕτω λύει τοὺς νόμους τῆς φύσεως, ὑπὲρ φύσιν ἐν τοῖς κατὰ φύσιν τῇ φύσει χρώμενος, ὁ θεός.

*Ἄλλη θεωρία, εἰς τὸ, Πληρωθῆναι δεῖ τὸν ἄνω κόσμον.*

Εἰ τοίνυν ἀπαρχὴ τῆς καθ' ἡμᾶς φύσεως, ὡς ἄνθρωπος, ἐστὶν ὁ Χριστὸς πρὸς τὸν θεὸν καὶ πατέρα, καὶ οἷον ζύμη τοῦ ὅλου φυράματος, ἔστι δὲ πρὸς τὸν θεὸν καὶ πατέρα κατὰ τὴν ἐπίνοιαν τῆς ἀνθρωπότητος ὁ μηδέποτε τῆς ἐν τῷ πατρὶ
Cod. f. 212 a. ἐκστὰς μονιμότητος, ὡς λόγος, | μὴ ἀπιστήσωμεν ἔσεσθαι, κατὰ τὴν αὐτοῦ πρὸς τὸν πατέρα αἴτησιν, ἔνθα αὐτός ἐστιν ἡ ἀπαρχὴ τοῦ ἡμετέρου γένους. Ὡς γὰρ γέγονε κάτω δι' ἡμᾶς ἀναλλοιώτως καὶ ἄνθρωπος καθ' ἡμᾶς χωρὶς μόνης ἁμαρτίας, λύσας ὑπερφυῶς τοὺς νόμους τῆς φύσεως, οὕτω καὶ ἡμεῖς κατὰ τὸ ἀκόλουθον ἄνω δι' αὐτὸν γενησόμεθα, καὶ θεοὶ κατ' αὐτὸν τῷ τῆς χάριτος μυστηρίῳ, μηδὲν τὸ παράπαν ἀλλοιοῦντες τῆς φύσεως. Καὶ οὕτω πληροῦται πάλιν κατὰ τὸν σοφὸν διδάσκαλον ὁ ἄνω κόσμος, πρὸς τὴν κεφαλὴν τῶν μελῶν τοῦ σώματος κατ' ἀξίαν συναγομένων, ἑκάστου δηλονότι μέλους τῇ κατ' ἀρετὴν ἐγγύτητι τὴν πρέπουσαν αὐτῷ θέσιν διὰ τῆς ἀρχιτεκτονίας τοῦ πνεύματος ἐναρμονίως λαμβάνοντος καὶ συμπληροῦντος τοῦ τὰ πάντα ἐν πᾶσι πληρουμένου τὸ σῶμα τὸ πάντα πληροῦν καὶ ἐκ πάντων πληρούμενον. Εἴτε οὖν, ὡς εἴρηται, κατὰ τὴν πνευματικὴν ἀναγέννησιν τῶν κατὰ Χριστὸν γεννωμένων, εἴτε κατὰ τὴν ἐν Χριστῷ καὶ διὰ Χριστοῦ γεγενημένην τῶν ἐν τοῖς οὐρανοῖς μυστικῶν ἀριθμῶν ἀναπλήρωσιν, τῆς τε θείας φημὶ τῶν λογικῶν προβάτων ἑκατοντάδος, καὶ τῆς τῶν νοερῶν δραχμῶν μυστικῆς δεκάδος, καὶ τῆς τῶν υἱῶν τιμίας δυάδος, εἴτε κατὰ τὴν τῶν μελῶν τοῦ σώματος πρὸς τὴν οἰκείαν κεφαλὴν καὶ πρὸς τὴν ἰδίαν ἀπαρχὴν τοῦ φυράματος ἐπισυναγωγὴν, ὁ ἄνω κόσμος πληρωθήσεται πάντως κατὰ τὸν διδάσκαλον, πληρωθεὶς μὲν ἤδη ἐν Χριστῷ, πληρωθησόμενος δὲ ἐν τοῖς κατὰ Χριστὸν αὖθις ὕστερον, ἡνίκα σύμφυτοι γενήσονται καὶ τῆς ἀναστάσεως [1] αὐτοῦ οἵγε τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ διὰ τῶν αὐτῶν παθημάτων ἤδη γεγονότες.

1. Si schedae non fallunt, cod. Gud. habet αὐτῶν pro αὐτοῖ.

Digitized by Google

motus sua apud nos apparentia perfectus homo factus est, nullo tamen modo de semet ipso motus, nullumque plane localis circumscriptionis periculum expertus, atque nos perfecte deificavit, nihil omnino nostrae naturae de immutatione intercipiens, totumque ac plene se tradens et totum de ineffabili inviolataque unione plenum. hominem sumens nihil de altera perfectione diminuit, et revera est totus deus idem, et totus homo idem, dum utriusque eorum in quibus revera est consummatione sibimet testificatur utriusque immutabilitatem atque constantiam. Sic deus solvit leges naturae, dum supernaturaliter in naturalibus utitur natura.

## Alia contemplatio, in illud, ‚Consummari oportet mundum superiorem.'

Si igitur Christus, ut homo, delibatio nostrae naturae, et quasi fermentum totius massae apud deum ac patrem est, est vero apud deum ac patrem secundum humanitatis opinionem is qui nunquam de sua in patre soliditate excessit, ut sermo, ne ambigamus quin, secundum ipsius apud patrem petitionem, nos futuri simus ubi ipse est nostri generis delibatio. Quemadmodum enim propter nos descendit immutatus, et homo ad nostri instar factus est praeter ullum peccatum, postquam admirabiliter solvit leges naturae, ita nos quoque consequenter per eum ascendemus, dei futuri, ut ille, gratiae mysterio, nihilque naturam nostram omnino immutabimur. Atque ita, secundum sapientem magistrum, superior rursus repletur mundus, membris corporis ex dignitate atque merito ad caput congregatis, nimirum cum suum unumquodque membrum pro virtutis suae propinquitate convenientem sibi locum per spiritus architectoniam congruenter obtineat, atque eius qui per universa in universis completus et consummatus est corpus, quod universa explet et ex universis expletur compleat. Itaque sive, ut dictum est, secundum spiritualem eorum qui per Christum generantur regenerationem, sive secundum mysticam quae in Christo et per Christum facta est in caelo numerorum repletionem, id est divini rationalium ovium centuriam, et intellectualium drachmarum mysticae decadis, et filiorum honorificae dyadis, sive secundum membrorum corporis ad proprium caput et ad propriam delibationem massae congregationem, superior mundus complebitur plane secundum magistrum, completus iam quidem in Christo, complendus vero rursus postea in eis qui secundum Christum sunt, ubi coalescent cum eo et, qui mortis eius similitudine easdem passiones iam sunt experti, etiam resurrectionis eius fient participes.

Digitized by Google

Idem ibid. cap. 2. p. 664. tom. I. Opp. ed. Benedict.

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ, Παιδίον ἐγεννήθη ἡμῖν υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ· τῷ γὰρ σταυρῷ συνεπαίρεται.

Esai. 9, 10.

Ὅλος διὰ τοῦ λόγου τῷ πρώτῳ λόγῳ προσθέμενος κατὰ λόγον τὸν περὶ τοῦ λόγου λόγον ὃν ὁ μέγας προφήτης Ἡσαΐας ποιεῖται περὶ τοῦ σαρκωθέντος λόγου, μυστικῶς φήσας, Οὗ [1] ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ, συνοπτικῶς, ὡς ἔθος αὐτῷ ἐστι, τίνα τὴν ἀρχὴν ταύτην δεῖν οἴεσθαι θέμις διετράνωσεν

Cod. f. 212 b.

| ὁ μέγας οὗτος διδάσκαλος, εἰπών, Τῷ γὰρ σταυρῷ συνεπαίρεται. Ἀλλ' ἐπειδὴ πολλὰς ὁ σταυρὸς ταῖς περὶ αὐτὸν ἐπινοίαις ἐπιδέχεται θεωρίας, ἄξιόν ἐστι ζητῆσαι κατὰ ποίαν ἐπίνοιαν τὸν σταυρὸν ἐπὶ τοῦ παρόντος ἀρχὴν ὁ διδάσκαλος εἶπε. Θεωρεῖται γὰρ ὁ σταυρὸς κατὰ σχῆμα, κατὰ σύνθεσιν, κατὰ τὴν τῶν μερῶν ἰδιότητα, καὶ κατ' ἐνέργειαν καὶ κατ' ἄλλας πολλὰς ἐπινοίας, αἱ τοῖς τῶν θείων φιλοθεάμοσίν εἰσιν ὁραταί. Κατὰ σχῆμα μὲν, ὡς ὅταν τὴν τὰ ὅλα, τότε ἄνω καὶ τὰ κάτω καὶ τὰ ἐφ' ἑκάτερα, τοῖς καθ' αὐτὰ πέρασι διαλαμβάνουσαν ὁ σταυρὸς θεωρούμενος, ὑποσημαίνῃ δύναμιν· κατὰ σύνθεσιν δὲ, ὡς ὅταν οὐσίαν καὶ πρόνοιαν καὶ κρίσιν, ἤγουν τὰς τούτων ἐκφάνσεις, σοφίαν φημὶ καὶ γνῶσιν καὶ ἀρετὴν τῆς τὸ πᾶν διεπούσης ἐμφαίνῃ δυνάμεως, τὴν μὲν οὐσίαν καὶ τὴν σοφίαν ὡς ποιητικὴν διὰ τῆς ὑψιτενοῦς γραμμῆς, τὴν δὲ πρόνοιαν καὶ τὴν γνῶσιν ὡς περιποιητικὴν διὰ τῆς ἐγκαρσίας, τὴν δὲ κρίσιν καὶ τὴν ἀρετὴν ὡς κακίας ἀναιρετικὴν, καὶ τῆς τῶν πεποιημένων καὶ περιπεποιημένων πρὸς τὴν ἰδίαν ἀρχὴν καὶ αἰτίαν συνδετικὴν διὰ τοῦ ὅλου· κατὰ δὲ τὴν τῶν μερῶν ἰδιότητα, ὅταν διὰ μὲν τῆς ὑψιτενοῦς γραμμῆς τὸν ἀεὶ ὡσαύτως ἔχοντα καὶ τῆς οἰκείας μονιμότητος οὐδαμῶς ἐξιστάμενον διὰ τὴν σταθηρὰν καὶ ἀμετακίνητον ἵδρυσιν θεὸν ὁ σταυρὸς δηλοῖ, διὰ δὲ τῆς ἐγκαρσίας τὴν ἅπασαν κτίσιν θεοῦ παντελῶς ἠρτημένην ὑποφαίνῃ, ἄλλας ἀρχὰς τοῦ εἶναι θεοῦ χωρὶς ἢ βάσιν οὐκ ἔχουσαν· κατ' ἐνέργειαν δὲ, ὅταν τῶν ὑπ' αὐτῷ πηγνυμένων τὴν ἀπραξίαν δηλοῖ καὶ τὴν νέκρωσιν, καθ' ὅντινα τρόπον θεωρίας νῦν, ὡς οἶμαι, τὸν προφητικὸν ὁ διδάσκαλος ἐξείληφε λόγον. Ὥσπερ οὖν ἑκάστης ἀρχῆς (καλὸν γὰρ τοῖς καθ' ἡμᾶς παραδείγμασι τῶν ὑπὲρ ἡμᾶς πραγμάτων ἐνδείξασθαι τὴν ἀλήθειαν) εἰσὶ σήμαντρά τινα δι' ὧν οἱ λαμβάνοντες ἔκδηλοι πᾶσι γίνονται ὅτι ὁ μὲν τήνδε ἀρχὴν παρὰ τοῦ βασιλέως εἴληφεν, οἷον ὁ ἄρχων

Cod. f. 213 a.

| τοὺς λεγομένους κωδικίλλους, ὁ δὲ διὰ τοῦ ξίφους τὴν λεγομένην [2] δοκιανὴν, καὶ ἄλλος ἄλλην διά τινος ἑτέρου συνθήματος, καὶ παρὰ μὲν τοῦ βασιλέως αὐτοὶ δέχονται καὶ φέρουσι τοῦτο ταῖς ἰδίαις χερσὶν, ἐξελθόντες δὲ τοῖς οἰκείοις διδόασι τοῦτο κομίζειν, τοῦτον τὸν τρόπον καὶ ὁ δεσπότης

1. Articulus debetur secundis librarii curis.

Digitized by Google

## Ex eodem sermone, in illud, ‚Puer nobis natus est filius et datus est nobis, cuius principatus super humerum eius; cum cruce enim extollitur.'

Plane per sermonem sententiae priori adiungens secundum ordinem illud de Sermone dictum quod magnus propheta Esaias de Sermone qui caro factus est profert, mystice dicens, ‚Cuius principatus super humerum eius', perspicue, ut solet, hic magnus magister, quinam principatus intellegendus esset explicuit, dicens, ‚Cum cruce enim extollitur', Sed cum multas crux nobis cogitantibus contemplationes admittat, dignum operae pretium erit quaerere qua significatione magister in praesenti crucem principatum dixerit. Contemplamur enim crucem secundum formam, secundum compositionem, secundum partium proprietatem, secundum actionem, secundum alias multas cogitationum rationes, quas qui res divinas spectare amant percipere possunt. Atque primum quidem secundum formam, vel ut cum crux potestatem quae universa, tam quae supra quam quae infra et quae ad utraque latera suis quaeque terminis comprehendit significat: secundum compositionem vero, velut cum essentiam et providentiam et iudicium, id est manifestationes earum, sapientiam inquam et cognitionem et virtutem potestatis universitatem moderantis denotat, essentiam quidem et sapientiam ut factricem per erectam lineam, providentiam et cognitionem ut conservatricem per obliquitatem, iudicium denique et virtutem ut pravitatis et nequitiae expugnatricem, quae ea quae facta et conservata sunt ad ipsorum principium atque causam adstringat, per totum: secundum partium proprietatem, cum per erectam quidem lineam deum, qui semper sibi constat propriaque soliditate nunquam excidit, propter stabilem et inmutabilem collocationem, per obliquitatem vero totam dei conditionem ubique suspensam crux significat, quae alia existentiae principia aut fundamentum extra deum non habet: secundum actionem denique, cum eorum qui cruci suffixi sunt inactivitatem et mortificationem denotat; quo contemplationis modo, uti mihi videtur, prophetae nunc dictum magister excepit. Quemadmodum igitur uniuscuiusque principatus (convenit enim de nostris rebus petere exempla quibus veritatem rerum supernarum probemus) quaedam sunt insignia quibus qui accipiunt omnibus noscantur quod alter quidem nunc ab rege teneat magistratum, uti praesidi sunt quos dicimus codicilli, alter vero illum, uti duciano, quem dicimus, gladius insigne est, atque aliis alia sunt insignia, quae ipsi ab rege accipiunt propriisque manibus praeferunt,

2. Cf. Cod. Theod. VII, 4, 30. de erog. mil. annon., XV, 11, 2. de venat. ferar., XI, 25, 1. de quadrim. brev.

Digitized by Google

ἡμῶν Ἰησοῦς ὁ Χριστὸς κατὰ τὴν ἐπίνοιαν τῆς ἀνθρωπότητος τὰ σύμβολα τῆς ἰδίας ἀρχῆς τὸν αὐτοῦ σταυρὸν δεξάμενος ἐπὶ τῶν ὤμων ἐξῆλθεν ἔχων, πρῶτος αὐτὸς βαστάσας, ἔπειτα τοῦτον ἑτέρῳ δοὺς, διὰ τούτων ἐμφαίνων ὅτι δεῖ τὸν ἀρχὴν ἐγχειριζόμενον πρῶτον καθηγεῖσθαι τῶν δι' αὐτῆς ἀγομένων καὶ ἀντέχεσθαι τῶν ὑπ' αὐτῆς [3] ὑπαγορευομένων (οὕτω γὰρ ἂν εὐπαράδεκτος ἐν ταῖς ὑποθήκαις γενήσεται), καὶ τότε προστάσσειν τοῖς ἐγχειρισθεῖσιν αὐτῷ τὴν ταυτότητα δρᾶν. Εἰ δὲ τὸ σήμαντρον τῆς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀρχῆς ἐστιν ὁ σταυρὸς, ὃν ἐπὶ τῶν ὤμων φέρων ἐκόμισε, γνῶναι προσῆκε τί διὰ τούτων ἐμφῆναι βουλόμενος μυστικῶς οὕτω ταῦτα διέθηκέ τε καὶ ὑπέμεινεν. Φασὶν οἱ τῶν συμβόλων ἐπιστήμονες τὸν μὲν ὦμον πράξεως εἶναι τεκμήριον, τὸν δὲ σταυρὸν ἀπαθείας, οἷα νέκρωσιν ἐμποιοῦντα. Διὰ τούτων οὖν τῶν αἰνιγμάτων ὁ κύριος ἡμῶν καὶ θεὸς, ἀμφότερα διεξελθὼν τῶν ὧν εἰσι τὰ αἰνίγματα (πράξεώς τε φημὶ καὶ τελείας ἀπαθείας), ὥστε μὴ παραφθείρεσθαι διὰ κενοδοξίας τὴν πρᾶξιν, ἔδειξε δι' ὧν αὐτὸς κατεπράξατο, τοῖς
Matth 16, 24. ὑπηκόοις, μονονουχὶ διαπρυσίως βοῶν ὅτι, Τοῦτό σύμβολον ὑπάρχει τῆς ἀρχῆς μου· πᾶς οὖν ὅστις ἐξ ὑμῶν ἐπιθυμητικῶς ἔχει πρὸς ταύτην τὴν ἀρχὴν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθείτω μοι, τουτέστι τὴν νεκρωτικὴν τῶν παθῶν πρᾶξιν, τὴν ἀγαθότητα [4] καὶ τὸ τῆς ἀφθονίας καλὸν, διὰ τούτων ἐμφαίνων ὅτι γλίχεται πάντας ὁμοίως ἑαυτῷ ταύτην μεταχειρίζεσθαι τὴν ἀρχήν. Τὸ γὰρ εἰπεῖν τὸν θεοφόρον διδάσκαλον ὅτι τῷ σταυρῷ συνεπαίρεται, οἶμαι διὰ τούτων ἔμφασιν ἡμῖν τοιάνδε παρέχειν, ὅτι τῆς λογικῆς φύσεως τῶν ἀνθρώπων διὰ πράξεως καὶ τῆς αὐτῇ
Cod. f. 213 b. συνεζευγμένης ἀπαθείας ὑψουμένης | αὐτὸς ὁ Χριστὸς δηλονότι συνυψοῦσθαι λέγεται, τουτέστιν ἡ ἐν ἀνθρώποις Χριστοειδὴς κατάστασις, καθ' εἱρμὸν καὶ τάξιν ὑψουμένη, διὰ πράξεως ἀπαθοῦς εἰς θεωρίαν τῆς φύσεως γνωστικὴν καὶ ἀπὸ ταύτης εἰς θεολογικὴν μυσταγωγίαν κινουμένη. Ὅπερ μάλιστά
Dionys. Areopag. de Eccles. Hierarch. cap. 2., §. 4. p. 171. tom. I. Opp. ed. Ven. μοι φαίνεται δηλῶν ὁ ἅγιος Ἀρεοπαγίτης μέγας Διονύσιος ἐν οἷς φησιν, Ἀλλ' ἐπείπερ εὐταξίας ἐστὶν ἀρχὴ τὸ θεῖον ἱερᾶς, καθ' ἣν ἑαυτῶν ἐπιγνώμονες οἱ ἱεροὶ γίνονται νόες, ὁ πρὸς τὸ οἰκεῖον τῆς φύσεως ὁρατὸν ἀνατρέχων ἐν ἀρχῇ μὲν ὅστις ποτέ ἐστιν αὐτὸς ὄψεται, καὶ τοῦτο λήψεται πρῶτον ἐκ τῆς πρὸς τὸ φῶς ἀνανεύσεως ἱερὸν δῶρον· ὁ δὲ τὰ οἰκεῖα καλῶς ἀπροσπαθέσιν ὀφθαλμοῖς ἐπισκοπήσας, τῶν ἀλαμπῶν μὲν ἀποφοιτήσει τῆς ἀγνοίας μυχῶν, τῆς δὲ θεοῦ τελεωτάτης ἐλλάμψεως καὶ μεθέξεως ἀτελὴς ὢν αὐτὸς οὐκ αὐτόθεν ἐπιθυμήσει, κατὰ βραχὺ δὲ διὰ τῶν αὐτοῦ πρώτων ἐπὶ τὰ ἔτι πρότερα, καὶ τελειωθεὶς ἐπὶ τὴν ἀκροτάτην θεαρχικὴν ἐν τάξει καὶ ἱερῶς ἀναχθήσεται κοινωνίαν. Οὕτω μὲν οὖν συνε-

3. Fortasse ὑπαγομένων.

Digitized by Google

cum autem domo egrediuntur domesticis tradunt portanda servitiis, in hunc modum etiam dominus noster Iesus Christus humanitatis respectu proprii regni symbola crucem suam accepit et egressus in humeris portavit, primumque ipse baiulavit, deinde alteri dedit, hac re significans eum cui imperium mandetur debere primum praeire eis qui eo imperio ducantur atque tueri eos qui illi addicuntur (ita enim iussis eius et adhortationibus lubenter parebunt), ac deinceps eos qui sibi mandati sunt idem facere iubere. Quod si domini nostri Iesu Christi insigne imperii crux est, quam in humeris baiulavit, scire oportet quid per eos significasse cupiens tam mystice haec disposuerit atque sustinuerit. Symbolorum gnari humerum dicunt actionis esse documentum, crucem vero impassibilitatis, utpote mortificatione afficientem. His igitur aenigmatis dominus noster atque deus, utraque exsecutus quorum sunt aenigmata (actionis inquam et impassibilitatis), ne actio vana gloria perimeretur eas indicavit virtutes per quas munere suo perfunctus sit pro eis qui in obsequio sibi ac fide haberet, fere clara vociferans voce, ‚Hoc symbolum mei imperii est: quicunque igitur de vobis diligit hoc imperium, is se ipsum abneget, et tollat crucem suam et me sequatur', hoc est actionem passionum interfectricem, probitatem et animum honestum et ab omni invidia liberum quibus verbis significat se omnes sibi similiter cupere hoc imperio impertire. Quod enim, ‚Cum cruce contollitur', dicit magister, eo hoc nobis docere videtur, quod cum rationali hominum natura per actionem et quae ei coniuncta est impassibilitatem sublata ipse videlicet Christus una tollitur, hoc est status in hominibus Christo similis, secundum ordinem et legem exaltatus, ac per actionem impassibilem in gnosticam naturae contemplationem, et inde in theologicam mystagogiam promotus. Id quod maxime mihi significare videtur sanctus Areopagita magnus Dionysius ubi ait, ‚Sed cum sacrae disciplinae principium deus sit, qua sanctae mentes in sui deveniunt cognitionem, quisquis ad insitum naturae lumen recurrerit, principio quidem quis tandem ipse sit ipse videbit, et hoc primum accipiet sacrum de sua ad lucem accessione munus: qui autem oculis nullo affectu turbatis propria sua probe et recte considerarit, is obscuris ignorantiae latebris relictis, sed dei perfectissimae illuminationis atque communionis adhuc exsors, huius desiderio sponte non afficietur, sed sensim per prima sua ad priora etiam ac potiora, et absolutus ad summam demum divini imperii in ordine et sancte evehetur communionem.' Sic igitur secundum ma-

4. Eadem manus superscripsit κατὰ in cod. Gud.

Digitized by Google

παίρεται τῷ σταυρῷ κατὰ τὸν μέγαν καὶ θεόφρονα τοῦτον διδάσκαλον δι' ἡμῶν ἐν πνεύματι κατ' αὐτὸν ὑψουμένων ὁ μόνος ὕψιστος, διὰ πράξεως καὶ τῆς αὐτῇ συννημμένης ἀπαθείας εἰς γνῶσιν ἐναγομένων, καὶ δι' ἐκείνης ἐν ἀΰλῳ τῷ νῷ πρὸς τὴν μυστικὴν ὑψουμένων τῶν θείων θεωρίαν τε καὶ μύησιν, προσθήσω δὲ θαρρῶν ὅτι καὶ μετουσίαν.

Greg. Naz. Or. in Theophan. cap. 2., p. 664. tom. I. Opp. ed. Bened.

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ, Ὁ λόγος παχύνεται.

Παχύνεσθαι ὁ λόγος εἴρηται τῷ θεοφόρῳ διδασκάλῳ κατὰ τήνδε, ὡς οἶμαι, τὴν ἔννοιαν, ἢ ὅτι λόγος ὢν ἁπλοῦς τε καὶ ἀσώματος, καὶ πάσας καθεξῆς πνευματικῶς τρέφων τὰς ἐν οὐρανῷ θείας δυνάμεις, κατεξίωσε καὶ διὰ τῆς ἐνσάρκου αὐτοῦ παρουσίας ἐξ ἡμῶν δι' ἡμᾶς καθ' ἡμᾶς ἁμαρτίας χωρὶς παχυνθῆναι, καὶ ἡμῖν προσφυῶς φωναῖς τε καὶ | παρα-

Cod. f. 214 a.

δείγμασι τὴν περὶ τῶν ἀπορρήτων καὶ παντὸς λόγου δύναμιν ὑπερβαίνουσαν ἐκθέσθαι διδασκαλίαν (διὰ παραβολῶν

Idem ibid. cap. 7., p. 667. tom. I. Opp. edit. Bened.

γὰρ εἴρηται πάντα λελαλημένα, καὶ χωρὶς παραβολῆς μηδὲν διεξιέναι· φίλον γὰρ οὕτω τοῖς διδασκάλοις χρῆσθαι, ἐπὰν οἱ ἀκροαταὶ μὴ παρακολουθῶσι τοῖς πρωτοτύπως λεγομένοις, καὶ εἰς συναίσθησιν αὐτοὺς ἄγειν τῶν λεγομένων)· ἢ ὅτι τοῖς τῶν ὄντων ἑαυτὸν δι' ἡμᾶς ἀπορρήτως ἐγκρύψας λόγοις ἀναλόγως δι' ἑκάστου τῶν ὁρωμένων ὡς διά τινων γραμμάτων ὑποσημαίνεται, ὅλος ἐν ὅλοις ἅμα πληρέστατος, καὶ τὸ καθ' ἕκαστον ὁλόκληρος, ὅλος καὶ ἀνελάττωτος, ἐν τοῖς διαφόροις ὁ ἀδιάφορος καὶ ὡσαύτως ἀεὶ ἔχων, ἐν τοῖς συνθέτοις ὁ ἁπλοῦς καὶ ἀσύνθετος, καὶ ἐν τοῖς ὑπὸ ἀρχὴν ὁ ἄναρχος, καὶ ὁ ἀόρατος ἐν τοῖς ὁρωμένοις, καὶ ἐν τοῖς ἁπτοῖς ὁ ἀναφής· ἢ ὅτι δι' ἡμᾶς, τοὺς παχεῖς τὴν διάνοιαν, σωματωθῆναί τε δι' ἡμᾶς καὶ γράμμασι καὶ συλλαβαῖς καὶ φωναῖς τυπωθῆναι κατεδέξατο, ἵνα ἐκ πάντων τούτων ἡμᾶς ἑπομένους αὐτῷ κατὰ βραχὺ πρὸς ἑαυτὸν συναγάγῃ, ἑνοποιηθέντας τῷ πνεύματι, καὶ εἰς τὴν ἁπλῆν περὶ αὐτοῦ καὶ ἄσχετον ἔννοιαν ἀναγάγοι, τοσοῦτον ἡμᾶς δι' ἑαυτὸν πρὸς ἕνωσιν ἑαυτοῦ συστείλας, ὅσον αὐτὸς δι' ἡμᾶς ἑαυτὸν συγκαταβάσεως λόγῳ διέστειλεν.

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ, Οὐκ ἐκ τῶν κατ' αὐτὸν, ἀλλ' ἐκ τῶν περὶ αὐτὸν, ἄλλης ἐξ ἄλλου φαντασίας συλλεγομένης, εἰς ἕν τι τῆς ἀληθείας ἴνδαλμα.

Ἐκ τῶν κατὰ τὴν οὐσίαν, τουτέστι ἐκ τῆς οὐσίας αὐτῆς, ὁ θεὸς οὐδέποτέ τι ὑπάρχων γινώσκεται. Ἀμήχανος γὰρ καὶ παντελῶς ἄβατος πάσῃ τῇ κτίσει, ὁρατῇ τε καὶ ἀοράτῳ κατὰ τὸ ἴσον, ἡ περὶ τοῦ τί καθέστηκεν ἔννοια, ἀλλ' ἐκ τῶν περὶ τὴν οὐσίαν μόνον ὅτι ἔστι, καὶ ταῦτα καλῶς τε καὶ εὐσεβῶς

Digitized by Google

gnum atque divinum hunc magistrum contollitur cum cruce per nos in spiritu ad ipsius instar exaltatos solus summus, dum per actionem et quae ei adhaeret impassibilitatem nos in cognitionem introducimur, perque hanc in immateriali mentes ad mysticam exaltamur divinorum contemplationem atque initiationem, audeo addere etiam communionem.

## Ex eodem sermone, in illud, ‚Sermo crassatur.'

Quod sermo crassatur, divinus magister hac, ni fallor, dixit sententia, vel quod sermo, cum simplex atque incorporalis sit omnesque ex ordine spiritualiter divinas in caelo potestates nutriat, per suum quoque in carne adventum de nobis propter nos ut nos, sed sine peccato, crassari dignatus sit, nobisque congruenter et vocibus et exemplis exponere doctrinam de rebus infandis omnisque verbi vim superantem (parabolis enim traditur omnia enarrasse et extra parabolae figuram non quicquam explanasse; amasse enim ita discipulis suis uti, quando auditores originaliter dicta minus assequerentur, adeoque eos in sermonum intellegentiam ac sensum deducere): vel quod in rerum quae sunt rationibus ineffabili quodam modo propter nos sese ipsum occultans congruenter per unumquodque eorum quae oculis videntur tanquam per aliquas scripturas significatur, totus in totis simul plenissimus, et in singulis quibusque integer, totus et non deminutus, in diversis ipse qui non diversus eodemque semper existens modo, in compositis qui simplex ipse atque incompositus, et in eis quae principio sunt subiecta ipse qui sine principio, et invisibilis in visibilibus, et in eis quae tangi possunt ipse qui tactui non obnoxius: vel quod propter nos, qui crassi et pingues sumus intellectu, corpus fieri ac nostra gratia litteris et syllabis et vocibus exprimi passus est, ut ex omnibus his nos eum sequentes post paulo ad sese ipsum colligeret, unitos in spiritu, et in simplicem circa eum omnique affectu liberam cogitationem reduceret, in tantum nos propter se sibi coadunandos adtrahens, in quantum ipse propter nos clementiae ratione sese removit.

## Ex eodem sermone, in illud, ‚Non ex iis quae in ipso sunt, sed ex iis quae sunt circa ipsum, alia ex alio collecta specie, in unum quoddam veritatis simulacrum.'

Ex essentialibus, id est ex ipsa essentia, quod deus existat nequaquam cognoscitur. Est enim plane intractabilis et invia universae conditioni, ex pari tam visibili quam invisibili, cogitatio si quaeramus quid sit, sed ex iis quae circa essentiam sunt, si bene atque pie observantur, sese

Digitized by Google

θεωρουμένων, τοῖς ὁρῶσιν ὁ θεὸς ἑαυτὸν ὑπενδίδωσι. Πάντα δὲ τὰ περὶ τὴν οὐσίαν οὐ τὸ τί ἐστιν, ἀλλὰ τί οὐκ ἔστιν
Cod. f. 214 b. ὑποδηλοῖ, | οἷον τὸ ἀγένητον, τὸ ἄναρχον, τὸ ἄπειρον, τὸ ἀσώματον, καὶ ὅσα τοιαῦτα περὶ τὴν οὐσίαν εἰσὶ, καὶ τό τι μὴ εἶναι, οὐχ ὅτι δὲ τό τι εἶναι αὐτὴν παριστῶσιν· ἀλλὰ καὶ οἱ τῆς προνοίας καὶ τῆς κρίσεως λόγοι, καθ' οὓς τὸ πᾶν σοφῶς διεξάγεται, μεθ' ὧν καὶ ἡ ἐναρμόνιος τῆς φύσεως θεωρία περὶ θεοῦ εἶναι λέγεται, τὸν δημιουργὸν ἑαυτῆς ὅτι ἔστι μόνον ἀναλόγως δεικνύουσα. Ἐναντίως οὖν ταῖς καταφάσεσι κειμένων τῶν ἀποφάσεων, ἐναλλὰξ ἀλλήλαις περὶ θεὸν φιλικῶς συμπλέκονται καὶ ἀλλήλων ἀντιπαραλαμβάνονται· οἷον αἱ μὲν ἀποφάσεις τὸ μή τι εἶναι, ἀλλά τι μὴ εἶναι σημαίνουσαι τὸ θεῖον, περὶ τό τι εἶναι τὸ τοῦτο μὴ ὄν, ἐνοῦνται ταῖς καταφάσεσιν, αἱ δὲ καταφάσεις τὸ μόνον ὅτι ἔστι, τίποτε δὲ τοῦτό ἐστι μὴ δηλοῦσαι, περὶ τό τι μὴ εἶναι τὸ τοῦτο ὂν ἑνοῦνται ταῖς ἀποφάσεσι, πρὸς μὲν ἀλλήλας δεικνύουσαι τὴν ἐξ ἀντιθέσεως ἐναντιότητα, περὶ δὲ τὸν θεὸν τῷ εἰς ἄλληλα τῶν ἄκρων κατὰ περίπτωσιν τρόπῳ τὴν οἰκειότητα.

Idem ibid. cap. 9., p. 668. tom. I. Opp. edit. Bened.

Ἐκ τοῦ αὐτοῦ λόγου, Ἐπεὶ δὲ οὐκ ἤρκει τῇ ἀγαθότητι τοῦτο τὸ κινεῖσθαι μόνον τῇ ἑαυτῆς θεωρίᾳ, ἀλλ' ἔδει χεθῆναι τὸ ἀγαθὸν καὶ ὁδεῦσαι, ὡς πλέονα εἶναι τὰ εὐεργετούμενα.

Τὸν πολλάκις εἰρημένον ἐρωτήσας περὶ τούτου μέγαν καὶ σοφὸν γέροντα δηλοῦν ἔφη διὰ τούτων τὸν μέγαν καὶ θεοφόρον Γρηγόριον τὸ τὸν αὐτὸν Θεὸν ἐν ἑαυτῷ μόνον, οἷα δὴ ἕνα κυρίως ὄντα, μηδὲν ἑαυτῷ τὸ παράπαν συνεπινοούμενον ἔχοντα κατὰ τὴν φύσιν διάφορον, ἐν ἑαυτῷ τε μόνον ἔχοντα τὴν ἀπερινόητον ἄναρχόν τε καὶ ἄπειρον καὶ ἀκατάληπτον μονιμότητα, ἐξ ἧς κατὰ ἀπειρόδωρον χύσιν ἀγαθότητος τὰ ὄντα ἐκ τοῦ μὴ ὄντος παραγαγεῖν τε καὶ ὑποστήσασθαι, θελῆσαι καὶ ἑαυτὸν ἀναλόγως τοῖς ὅλοις καὶ τῷ καθ' ἕκαστον ἀχράντως μεταδοῦναι, τὴν πρὸς τὸ εἶναι καὶ διαμένειν ἑκάστῳ χαριζόμενον δύναμιν, κατὰ τὸν ἅγιον
Cod. f. 215 a. καὶ θεοείκελον | μέγαν Διονύσιον τὸν Ἀρεοπαγίτην φάσκοντα, τὸ ἓν ὑμνητέον ἐπὶ θεοῦ, τῷ πάντων ὑπεξαιρεῖσθαι, εἰς
Cf. Dionys. Areopag. de divin. Nomin. cap. 2. §. 11., p. 322 sq. tom. I. Opp. ed. Venet., et alibi. τὸ εἶναι ἀγαθότητι παραγαγόντα τήν τε τῶν νοητῶν πᾶσαν διακόσμησιν καὶ τὴν τῶν ὁρατῶν εὐπρέπειαν, ἀναλόγως ἑκάστῳ τῶν κτισμάτων κατά τινα λόγον ἀπόῤῥητον σοφίας ἀμειώτως ἐνυπάρχειν, καὶ μηδενὶ λόγῳ ἢ τρόπῳ τὸ σύνολον πάλιν κατέχεσθαι, τοῖς μὲν κατὰ περιττὴν ἀγαθόδωρον χύσιν, τοῖς δὲ μέσως, τοῖς δὲ τὸ κατά τι γοῦν ἐξεικονίζειν αὐτὸν δύνασθαι. Καὶ τοῦτο ἂν εἴη τυχὸν, κατὰ τὴν ἐμὴν ἀφροσύνην, τὸ χεῖσθαι τὸ ἀγαθὸν καὶ ὁδεύειν, τὸ τὸν ἕνα

Digitized by Google

deus solummodo quod sit intellegendum videntibus largitur. Quaecunque vero circa essentiam sunt non quid sit, sed quid non sit significant, veluti quod non factus est, quod principio caret, quod fine, quod corpore caret, quaeque alia eiusmodi circa essentiam sunt, et aliquid non esse, verum non aliquid eam esse probant; sed etiam providentiae et iudicii rationes, quibus universum sapienter regit, quarum socia congruens quoque naturae contemplatio circa deum esse dicitur, conditoris sui solummodo existentiam convenienter demonstrans. Dum igitur affirmationibus adversantur negationes, mutuo inter se circa deum et amice sibi conciliant sese et excipiunt: ut negationes non aliquid esse deum, sed aliquid non esse significantes circa hoc quod aliquid est quod hoc non est conciliantur affirmationibus, contra affirmationes solum quod est, quid vero tandem id sit non aperiens, circa hoc quod aliquid non est quod hoc est conciliantur negationibus, cum invicem contrarietatem ostendunt ex oppositione, circa deum autem familiaritatem de extremitatum mutua in se, prout res fert, conversione natam.

Ex eodem sermone, in illud, ‚Cum vero bonitati solum sua ipsius contemplatione moveri non sufficeret, sed diffundi bonum atque propagari oporteret, ut pluria essent quae beneficio afficerentur.‘

Quem saepe dixi senex ille magnus et sapiens, quem de hoc loco consului, magnum et divinum Gregorium his verbis significare respondit deum eundem in semet ipso unum, utpote qui unus proprie sit, ac nihil omnino quod una secum cogitari possit habeat natura diversum, sed in semet ipso habeat solum soliditatem imperceptibilem, initio ac fine carentem, et incomprehensibilem, ex qua de infinita bonitatis et gratiae abundantia ea quae existant ex non-existentia proferat atque subsistere faciat, voluisse se ipsum quoque universis convenienter et singulis inlibatum communicare, existentiae unicuique et perennitatis facultatem largiendo. Quod sanctus atque divinus ille magnus Dionysius Areopagita significare videtur, dicens, unitatem esse in deo praedicandam, inde quod de universis excipiatur, qui bonitate sua in existentiam produxerit omnem rerum quae intelleguntur ordinem quaeque videntur venustatem, ut unicuique creaturae secundum ineffabilem quandam sapientiae rationem indeminutus insit, et tamen nulla omnino ratione aut modo rursus comprehendatur, atque his quidem de larga bonorum suorum et effusa abundantia, alteris mediocriter, aliis in tantum ut aliquantulum certe ipsius imaginem referre possint. Atque hoc fortasse est, ut meae videtur ignorantiae, illud quod bonum

Digitized by Google

θεὸν ἀναλόγως πρὸς τὰ δεκτικὰ τῇ μεταδόσει τῶν ἀγαθῶν πληθύνεσθαι.

Greg. Naz. Or. in Theophan. cap. 13., p. 672. tom. I. Opp. ed. Bened.

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ, Δευτέραν κοινωνεῖ κοινωνίαν, πολὺ τῆς προτέρας παραδοξοτέραν.

Οὐκ ἦν θαυμαστὸν, ὡς οἶμαι, τοσοῦτον, καίπερ ὂν τηλικοῦτον, τὸ κατὰ τὴν πρώτην πλάσιν καθαρὰν οὖσαν τὴν φύσιν τῶν ἀνθρώπων, ἅτε δὴ χειρὶ θεοῦ τιμηθεῖσαν, πρὸς κοινωνίαν ἑαυτοῦ διὰ τῆς ἐμπνεύσεως ἀγαγεῖν τὸν θεὸν, τῷ ὁμοίῳ μεταδιδόντα τῆς κατ' εἰκόνα θείας ὡραιότητος, ὅσον τὸ ὑπωπτευθεῖσαν ταύτην καὶ θεοῦ δραπετεύσασαν, δι' ὧν ἀνεμάξατο παθῶν, ταύτῃ προσομιλῆσαι καταδέξασθαι, καὶ τοῦ χείρονος μετασχεῖν, καὶ τῷ πάντη τῶν πραγμάτων ἀμίκτῳ τῇ παραδόξῳ ἑνώσει προσεπιτεῖναι τὸ θαῦμα. Πρότερον μὲν γὰρ κατ' οὐδένα τρόπον ἡ λόγον οὐσίας ἢ ὑποστάσεως, τῶν ἐν οἷς τὰ ὄντα πάντα καθολικῶς θεωρεῖται, τὸ ἓν πρὸς τὸν θεὸν ἡ φύσις εἰλήφει, νῦν δὲ τὸ καθ' ὑπόστασιν ἓν πρὸς αὐτὸν διὰ τῆς ἀφράστου ἑνώσεως ἔλαβε, τὸν οἰκεῖον δηλαδὴ κατὰ τὴν οὐσίαν ἀναλλοιώτως πρὸς τὴν θείαν οὐσίαν διάφορον διαφυλάττουσα λόγον, πρὸς ἣν ἔχει διὰ τῆς ἑνώσεως τὸ καθ' ὑπόστασιν ἓν καὶ διάφορον, ἵνα τῷ μὲν τοῦ εἶναι λόγῳ, καθ' ὃν γεγένηται καὶ ἔστι, διαμένοι τὸ ἑαυτῆς ὂν κυρίως ἔχουσα κατὰ πάντα τρόπον ἀμείωτον, τῷ δὲ τοῦ πως|

Cod. f. 215 b.

εἶναι λόγῳ τὸ ὑφεστάναι θεϊκῶς λαβοῦσα τῆς περί τι ἄλλο κινήσεως τὴν ῥοπὴν παντελῶς μήτε γινώσκῃ, μήτε προσίηται. Ταύτῃ γοῦν πολὺ τῆς προτέρας παραδοξοτέραν τὴν πρὸς τὴν φύσιν τῶν ἀνθρώπων ὁ λόγος ἐποιήσατο κοινωνίαν, αὐτὴν τὴν φύσιν οὐσιωδῶς ἑαυτῷ καθ' ὑπόστασιν ἑνώσας.

Idem ibid. cap. 17., p. 674. tom. I. Opp. ed. Bened.

Ἐκ τοῦ αὐτοῦ, εἰς τὸ, Νυνὶ δέ μοι δέξαι τὴν κύησιν, καὶ προσκίρτησον, καὶ εἰ μὴ ὡς Ἰωάννης ἀπὸ γαστρὸς, ἀλλ' ὡς Δαβὶδ ἐπὶ τῇ καταπαύσει τῆς κιβωτοῦ.

Ἰωάννης ὁ μέγας οὐ μόνον μετανοίας καὶ τῆς κατὰ τὴν πρακτικὴν φιλοσοφίαν ἀπαθείας καὶ γνωστικῆς θεωρίας ἐστὶν εἰκὼν, τῆς μὲν ὡς κῆρυξ καὶ βαπτιστὴς, τῆς δὲ ὡς ἐρημίτης καὶ τοῦ κόσμου πάντη κεχωρισμένος, τῆς δὲ ὡς Λευίτης καὶ ἱερεὺς καὶ θεοῦ λόγου πρόδρομος, ἀλλὰ καὶ τῆς ἐν τούτοις κατὰ τὴν ἕξιν ἀτρεψίας σύμβολον, ὡς ἀπὸ γαστρὸς καὶ μέχρι θανάτου τὸν ἐν τούτοις τῆς ψυχῆς τόνον ἀμείλικτον διατηρήσας. Ὁ δὲ Δαβὶδ ἐξομολογήσεως πράξεώς τε καὶ θεωρίας καὶ αὐτός ἐστιν εἰκὼν, ὡς τῆς Ἰουδαϊκῆς φυλῆς καὶ ποιμὴν πρότερον καὶ ὕστερον βασιλεὺς, καὶ τῶν ἀλλοφύλων ἀναιρέτης, οὐ μὴν δὲ καὶ τῆς τούτων κατὰ τὴν ἕξιν ἀτρεψίας σύμβολον. Παρέπεσε γὰρ μετὰ τὴν ἐπίγνωσιν, ἀνθρώπινόν τι παθὼν, καὶ τὴν ἕξιν τῆς ἀρετῆς καὶ τῆς γνώσεως οὐκ

Digitized by Google

effunditur et progreditur, quod deus, qui unus est, prout quis capax est, bonorum multiplicatur communicatione.

Ex eodem sermone, in illud, ‚Alteram communicationem communicat, priore multo admirabiliorem.'

Non ita admirandum erat, ut puto, quantumvis magnum sit, quod deus humanam naturam de prima creatione puram, quippe quae dei manu honorata erat, ad sui communionem duxit inflato spiritu, parem divina imaginis pulchritudine impertiens, quam quod cum maculata hac deique fugitiva facta passionum conspurcatione natura versari indulsit, peiorisque communionem non aversavit, et in eum usque qui negotiorum ubique dispar atque alienus est admirabili unitione intendit miraculum. Prius enim nullo modo aut ratione essentiae substantiaeve, in quibus universa quae sunt generaliter conspiciuntur, unitatem cum deo natura cepit, nunc vero substantiae cum eo unitatem ineffabili unitione nacta est, ita ut propriam videlicet essentialiter immutatam et a divina essentia diversam custodiret rationem, cum qua divina essentia unita habet et unitatem et diversitatem, ut existentiae ratione, qua facta est et existit, quod peculiare sibi habet perservet nulla parte deminutum, nec qualitatis ratione divinam existentiam nacta motionis circa aliud quid librationem sentiat ullo modo aut admittat. Hoc quidem modo sermo communionem priore multo admirabiliorem cum hominum natura effecit, cum ipsam naturam essentialiter sibi secundum substantiam copularet.

Ex eodem, in illud, ‚Nunc autem conceptum accipe ac praesulta, et si non ut Iohannes ex utero, certe ut David ob arcae repositionem.'

Iohannes magnus non solum paenitentiae et practicae philosophiae impassibilitatis et gnosticae contemplationis imago est, huius ut praeco et baptista, alterius ut eremita et a mundo penitus segregatus, illius vero ut Levita et sacerdos et divini verbi praecursor, sed etiam eius quae in his deprehenditur habitualis constantiae ac stabilitatis symbolum, utpote qui ex utero vel usque ad mortem animae in his tenorem infractum conservavit. David autem confessionis, actionis atque contemplationis et ipse imago est, ut Iudaicae tribus et pastor primum et postea rex, et allophylorum confector, at non item habitualis illarum stabilitatis symbolum. Excidit enim post agnitionem, humanum aliquid passus, et virtutis atque cognitionis habitum non servavit immutatum. Quamobrem fortasse nec de verbi utero, quomodo magnus Iohan-



Digitized by Google

ἐφύλαξεν ἄτρεπτον. Διὸ τυχὸν οὐδὲ ἀπὸ γαστρὸς τοῦ λόγου προσκιρτῆσαι γέγραπται κατὰ τὸν μέγαν Ἰωάννης, ἀλλὰ μετὰ τὴν τῶν ἀλλοφύλων τελείαν ἀναίρεσιν καὶ τὴν τῆς κιβωτοῦ ἀποκατάστασιν, τουτέστι μετὰ τὴν τῶν παθῶν ὑποχώρησιν καὶ τὴν τῆς γνώσεως αὔξησιν ἐπάνοδον. Τύπος οὖν ἐστιν ὁ μὲν Ἰωάννης πάντων τῶν καθ' ἀρετὴν καὶ γνῶσιν διὰ μετανοίας ἐν πνεύματι γεννωμένων, καὶ μέχρι τέλους διὰ προκοπῆς τὴν ἐν τούτοις ἕξιν ἄτρεπτον διατηρούντων, ὁ δὲ Δαβὶδ πάντων τῶν μετὰ τὴν ἐπίγνωσιν παραπιπτόντων, καὶ πάλιν διὰ μετανοίας τὸ κατ' ἀρετὴν καὶ γνῶσιν ἐπαναγόντων τῆς
Cod. f. 216 a. ψυχῆς τῆς θείας χαρᾶς ἀγαλλίαμα. | Σύντομος οὖν ὑπάρχων, καὶ τῷ πνεύματι την εἰς πλάτος τοῦ λόγου δύναμιν νοερῶς συστείλας ὁ μέγας διδάσκαλος, Ἰωάννῃ καὶ Δαβὶδ τοῖς μεγάλοις παρείκασε διὰ τῆς καθ' ἑκάτερον ἕξεως τοὺς τῶν θείων λογίων ἀκροατὰς, ὡς ἐνὶ πάντως τούτων, καθάπερ οἶμαι, κατὰ τὸν ἐφ' ἑκάστῳ καλῶς ἀποδοθέντα τρόπον, ἑκάστου τῶν κατ' εὐσέβειαν ζώντων ἐνισχημένου, οἱονεὶ διαῤῥήδην [1] βοῶν ὅτιπερ, Πάντες ὅσοι τὸν θεῖον τῆς ἀρετῆς καὶ τῆς γνώσεως ἐν ἑαυτοῖς διὰ μετανοίας κνῖσκόμενον ἐδέξασθε λόγον, ἢ κατὰ τὸν μέγαν Ἰωάννην ἐξ ἀρχῆς μέχρι τέλους διὰ προκοπῆς τὸ ἐπ' αὐτῷ τῆς ψυχῆς κατὰ τὴν ἕξιν ἀτρέπτως θεῖον διατηρήσατε σκίρτημα, μηδενὶ τὸ παράπαν ὑπαγόμενοι κακίας εἴδει καὶ ἀγνωσίᾳ, ἢ κατὰ τὸν μακάριον Δαβὶδ, κἂν εἰ συμβέβηκέ τι κατὰ τὸν θεῖον δρόμον ὑμῖν ἀβούλητον, φιλοπόνως διὰ μετανοίας σπουδάζε τε πρὸς ἑαυτοὺς τὴν ἀρετὴν ἐπαναγαγεῖν καὶ τὴν γνῶσιν ὑπομονῆς τόνοις καὶ λόγων θείων ἀσκήμασι, καὶ μὴ τῇ ῥᾳθυμίᾳ τοῖς πάθεσιν ἔκδοτον ταύτην τὴν ἐν ὑμῖν θείαν, τῆς ἀρετῆς λέγω καὶ τῆς γνώσεως, ἐάσαντες κιβωτὸν τὸ τοῦ ἱερέως Ἤλει ὑπομένητε πάθος, καὶ ὀπισθίως πεσόντες περὶ τὰς πύλας τοῦ ναοῦ τοῦ ἐν Σηλὼμ ἀποθάνητε, τὸν ὦμον τῆς πράξεως συντριβέντες. Ὅπερ, ὡς οἶμαι, σαφέστερον διδάσκων ὁ μακάριος οὗτος πατὴρ ἐν τῷ
Greg. Naz Or. in Nov Domin. cap. 1., p. 835. tom. I. Opp. ed. Bened. εἰς τὴν Καινὴν Κυριακὴν λόγῳ φησὶν, Ἄιδειν δὲ τῷ κυρίῳ ᾄσμα καινὸν κελευόμεθα, εἴτε οἱ εἰς Βαβυλῶνα καὶ τὴν ποληρὰν σύγχυσιν κατασυρέντες ὑπὸ τῆς ἁμαρτίας, ἔπειτα πρὸς Ἱερουσαλὴμ ἀνασωθέντες, κἀκεῖ μὲν οὐ δυνάμενοι τὴν θείαν ᾄδειν ᾠδὴν ὡς ἐπὶ γῆς ἀλλοτρίας, ἐνταῦθα δὲ νέαν ᾠδὴν καὶ πολιτείαν ἱστάμενοι, εἴτε οἱ μείναντες ἐν τῷ καλῷ καὶ προκόπτοντες, καὶ τὸ μὲν κατωρθωκότες ἤδη, τὸ δὲ κατορθοῦν-
Cod. f. 216 b. τες παρὰ τοῦ καινοποιοῦ πνεύματος. Ταῦτα | στοχαστικῶς κατὰ τὴν ἐμὴν ἀφροσύνην νενοηκότα τὸν διδάσκαλον φάναι νομίζω, Νυνὶ δέ μοι δέξαι τὴν κύησιν καὶ προσκίρτησον, εἰ καὶ μὴ ὡς Ἰωάννης ἀπὸ γαστρὸς, ἀλλ' ὡς Δαβὶδ ἐπὶ τῇ καταπαύσει τῆς κιβωτοῦ, τῷ κατ' ἀξίαν καὶ γένος τῆς θεωρίας τρόπῳ συνῃρηκότα τὴν τῶν εἰρημένων θεωρίαν. Φασὶ γὰρ οἱ τῶν τοιούτων ἀκριβεῖς ἐπιμεληταὶ μυστηρίων καὶ τῶν ἐπ' αὐτοῖς πνευματικῶν λόγων ἐρασταὶ καὶ φιλοθεάμονες τὸν κα-

Digitized by Google

nes, exsultasse narratur, sed post perfectam allophylorum internecionem arcaeque restitutionem, hoc est post repressas passiones reversamque rursus cognitionem. Imago igitur Iohannis quidem est omnium virtute et cognitione per paenitentiam in spiritu generatorum habitumque in his immutatum ad finem usque per progressum perservantium, David vero omnium post agnitionem delinquentium, rursusque gaudii divini exsultationem de virtute et cognitione animae per paenitentiam reducentium. Itaque brevis esse studens magnus magister, et sermonis vim in latitudinem pronam spiritu restringere cupiens, cum Iohanne et Davide, magnis duumviris, per utriusque habitum comparavit divini eloquii auscultatores, tanquam alterutri horum omnino, uti videtur, eo qui luculenter de utroque demonstratus est modo, unusquisque eorum qui pie vivunt respondeat, quasi diserte clamans, Quicunque divinum virtutis et cognitionis in vobis per paenitentiam ingeneratum recepistis sermonem, sive in magni Iohannis modum ex principio usque ad finem per progressum firmiter conservastis habitualem animae de ipso exsultationem divinam, nulla omnino malignitatis specie et ignorantia subacti, sive in modum beati Davidis, etiam si secundum divinum cursum vobis quid grave acciderit, gnaviter per paenitentiam operam date ut virtutem et cognitionem constantiae nervis et divinorum sermonum exercitationibus ad vos reducatis, atque ne ignavia aut socordia divinam hanc in vobis, virtutis inquam et cognitionis, arcam destituentes ac dedentes Eli sacerdotis malo succumbatis, et humero actionis percussi retrorsus cadentes circa templi in Selom portas interficiamini. Id quod, ut mihi videtur, apertius demonstrans beatus hic pater in oratione in Novam Dominicam habita, ‚Canere vero', inquit, ‚domino novum iubemur cantum, sive qui in Babylonem malamque confusionem peccato sumus detracti, deinde in Hierusalem rursus salvati, (atque illic quidem non potuimus divinum carmen, ut in terra aliena, canere, hic autem novum carmen novamque vitae rationem inchoamus), sive qui mansimus in honesto atque progressi sumus, partim iam re bene gesta, partim gerentes adhuc spiritus instauratoris ope.' Haec secundum meam ignorantiam suspicor magistrum in animo habuisse cum diceret, ‚Nunc autem conceptum accipe ac praesulta, et si non ut Iohannes de utero, tamen ut David ob repositionem arcae', et contemplationis secundum dignitatem atque genus modo dictorum contemplationem una comprehendisse. Qui enim cum studio et cura in huiusmodi mysteriis versantur, spiritualiumque in eis rationum amatores et spectatores, genera-

1 Cod. Gud., si schedae non fallunt, habet νοεῖν.



Digitized by Google

θόλου τῆς γραφικῆς θεωρίας λόγον, ἕνα τυγχάνοντα, δεκαχῶς πλατυνόμενον θεωρεῖσθαι, τόπῳ, χρόνῳ, γένει, προσώπῳ, ἀξίᾳ, ἤγουν ἐπιτηδεύματι, πρακτικῇ, φυσικῇ, θεολογικῇ φιλοσοφίᾳ, ἐνεστῶτι, καὶ μέλλοντι, ἤγουν τύπῳ καὶ ἀληθείᾳ, καὶ αὖθις συναγόμενον τοὺς πέντε τρισὶ περιγράφειν τρόποις, καὶ πάλιν δυσὶ τοὺς τρεῖς, καὶ τοὺς δύο ἑνὶ συγκλείειν παντελῶς μὴ ἀριθμουμένῳ λόγῳ· οἷον τοὺς κατὰ χρόνον καὶ τόπον καὶ γένος καὶ πρόσωπον καὶ ἀξίαν, πέντε τυγχάνοντες, εἰς τρεῖς συνάγειν τοὺς τῆς πρακτικῆς καὶ φυσικῆς καὶ θεολογικῆς, τούτους δὲ πάλιν τρεῖς ὄντας, εἰς δύο, τοὺς τὸ παρόν τε καὶ τὸ μέλλον σημαίνοντας, καὶ τούτους εἰς τὸν τελεστικὸν καὶ ἁπλοῦν, ὥς φασι, καὶ πάντων περιεκτικὸν ἄῤῥητον λόγον, ἐξ οὗ κατὰ πρόοδον γέγονεν ἡ καθολικὴ τῶν ὑπὸ θεωρίαν τῆς γραφῆς τρόπων δεκάς, καὶ εἰς ὃν ὡς ἀρχὴν κατὰ περιγραφὴν ἡ αὐτὴ δεκὰς ἀνατατικῶς εἰς μονάδα πάλιν συνάγεται. Καὶ κατὰ μὲν χρόνον ὅ τῆς γραφῆς θεωρεῖται λόγος, ἡνίκα τὸ ποτὲ, τὸ ἦν, τὸ ἔστι, τὸ ἔσται, τὸ πρὸ τοῦδε, τὸ παρὸν, τὸ μετὰ τόδε, καὶ ἐπὶ τοῦδε, καὶ ἀπ' ἀρχῆς, τὸ παρελθὸν, τὸ μέλλον, ἐνιαυτούς τε καὶ καιροὺς καὶ μῆνας καὶ ἑβδομάδας καὶ ἡμέρας καὶ νύκτας καὶ τὰ τούτων
Cod. f. 217 a. μέρη, καὶ ἁπλῶς ὅσα ἐμφαντικὰ | χρόνου, δηλοῖ· κατὰ δὲ τόπον, ὅταν οὐρανὸν καὶ γῆν καὶ ἀέρα καὶ θάλασσαν, οἰκουμένην, πέρατα, χώρας, νήσους, πόλεις, ναοὺς, κώμας, ἀγροὺς, ὄρη, φάραγγας, ὁδοὺς, ποταμοὺς, ἐρήμους, ληνοὺς, ἄλωνας, ἀμπελῶνας, καὶ ἁπλῶς ὅσα τόπον χαρακτηρίζειν δύναται, σημαίνῃ· κατὰ γένος δὲ, καθολικῶς μὲν ὁπόταν ἀγγέλους, ἤ ὅσα τῆς ἐν οὐρανοῖς ἔστι τῶν νοερῶν οὐσιῶν διακοσμήσεως, πρὸς δὲ καὶ ἥλιον καὶ σελήνην, ἀστέρας, πῦρ, καὶ ὅσα ἐν ἀέρι, ἐν γῇ, ἐν θαλάσσῃ τυγχάνει ὄντα, ἢ ζῶα, ἢ ζωόφυτα, ἢ φυτὰ, καὶ ὅσα ἐκ γῆς μεταλλεύεται καὶ τέχνας ἀνθρώπων ὑποπίπτει, καὶ ὅσα ἕτερα τοιαῦτα, δηλοῖ, ἰδιοτρόπως δὲ πάλιν, ὅταν ἀνθρώπους, ἔθνη, λαοὺς, γλώσσας, φυλὰς, πατριὰς, καὶ ὅσα τοιαῦτα, σὺν ἀριθμῷ ἢ ἀριθμοῦ χωρὶς ὀνομάζῃ· κατὰ πρόσωπον δὲ, ὅταν τόνδε τὸν ἄγγελον, ἢ τόνδε τὸν ἀρχάγγελον, ἢ Σεραφὶμ, ἢ· ὅσα τῶν ἐν οὐρανοῖς διαιτωμένων νοερῶν οὐσιῶν, ἐξ ὀνόματος καλῇ, ἢ Ἀβραὰμ, ἢ Ἰσαὰκ, ἢ Ἰακὼβ, ἢ ἕτερόν τινα τῶν ἐν ἐπαίνῳ ἢ ψόγῳ τῇ γραφῇ κειμένων, δι' ὀνόματος παραδηλοῖ· κατ' ἀξίαν δὲ, ἡνίκα βασιλείαν, ἢ βασιλέα, ἢ ποιμένα, ἢ ποίμνην, ἢ ἱερέα, ἢ ἱερωσύνην, ἢ γεωργὸν, ἢ στρατηγὸν, ἢ ἀρχιτέκτονα, καὶ ἁπλῶς εἴ τι ἄλλο τῶν οἷς διῄρηται τὸ ἀνθρώπινον γένος ἐπιτηδεύμασι. Ταῦτα γὰρ πάντα ὅσα τοῖς πέντε περιεχόμενα τρόποις ἔδειξεν ὁ λόγος οὐσίᾳ καὶ δυνάμει καὶ ἐνεργείᾳ, ταῖς περὶ αὐτὰ πρώταις διαιρέσεσι, συνιστάμενα, ἢ κινεῖ πάντως ἢ κινεῖται, ἢ ἐνεργεῖται ἢ ἐνεργεῖ, ἢ θεωρεῖ ἢ θεωρεῖται, ἢ λαλεῖ ἢ λαλεῖται, ἢ διδάσκει ἢ διδάσκεται, ἢ ἐπιτροπὴν ἢ ἀποτροπὴν δέχεται, καὶ ἁπλῶς ἵνα συνελὼν εἴπω, ἢ ποιοῦντα

Digitized by Google

lem tradunt scripturae contemplandae rationem, cum una sit, decemplici modo diffusam spectari, loco, tempore, genere, persona, dignitate, sive studio, activa, naturali, theologica philosophia, praesentia ac futuro, sive figura et veritate, et rursus collectam quinque tribus comprehendere modis, rursusque duabus tres et duas unâ includere omnino ratione, quae non numeretur: sic temporis, loci, generis, personae, dignitatis, cum quinque sint, in tres colligere activae et naturalis et theologicae, has vero rursus, cum tres sint, in duas quae ad praesentiam atque futurum spectant, et has demum in consummatoriam et simplicem, ut aiunt, omniaque comprehendentem ineffabilem rationem, unde per progressionem generalis modorum sub contemplatione scripturae decas facta erat, et in quam, ut principium, circumscriptione eadem decas reversa in unionem rursus colligitur. Atque secundum tempus scripturae ratio spectatur, cum Aliquando, Erat, Est, Erit, Ante hoc, Praesens, Post hoc, et Sub hoc, et Ab initio, Praeteritum, Futurum, annos et tempestates et menses et hebdomades et dies et noctes horumque partes, et quodcunque simpliciter tempus denotat, significat: secundum locum, cum caelum et tellurem et aerem et mare, terram, terminos, regiones, insulas, urbes, fana, vicos, agros, montes, valles, vias, fluvios, deserta, lacus, areas, vineta, et simpliciter quodcunque locum exprimat, significat: secundum genus vero, generaliter primum cum angelos vel quicquid caelestis est intellectualium essentiarum ordinis, deinde vero etiam solem et lunam, stellas, ignem, et quodcunque in aere, in terra, in mari extat, sive animalia, sive zoophyta, sive plantae, et quodcunque ex terra effoditur artibusque hominum subicitur, et quaecunque alia eiusmodi, ostendit, specialiter vero rursus, cum homines, nationes, populos, linguas, tribus, gentes, et quae sunt generis huiusmodi, cum numero aut sine numero appellat: secundum personam vero, cum hunc angelum, vel hunc archangelum, vel Seraphim, vel quaecunque intellectualium in caelo essentiarum, nomine appellat, vel Abraham, vel Isaac, vel Iacob, vel alium quempiam eorum qui in scriptura aut laudantur aut vituperantur, nomine denotat: secundum dignitatem autem, quando regnum, aut regem, aut pastorem, aut gregem, aut sacerdotem, aut sacerdotium, aut agricolam, aut praetorem, aut architectum, et simpliciter si quid aliud eorum quibus humanum genus dividitur studiorum et professionum. Quaecunque enim quinque illis modis comprehensa ratio ostendit, essentia et potestate et actione, primariis circa ea distinctionibus, consistentia, ea movent omnino aut moventur, agunt aut aguntur, spectant aut spectantur, dicunt aut dicuntur, docent aut docentur, advertunt aut avertunt, et

Digitized by Google

Cod. f. 217 b. ἢ πάσχοντα τὴν πρακτικὴν | καὶ τὴν φυσικὴν καὶ τὴν θεολογικὴν κατὰ συμπλοκὴν δι' ἀλλήλων ποικίλως ἡμῖν εἰσηγοῦνται φιλοσοφίαν, ἑκάστου δηλαδὴ τῶν ὠνομασμένων πολυτρόπως ταῖς περὶ αὐτὸ κατὰ τὴν θεωρίαν ἐπινοίαις ἐπαινετῶς ἢ ψεκτῶς λαμβανομένου, καὶ τοὺς ἐπ' αὐτῷ ποιητέους ἢ οὐ ποιητέους, ἢ φυσικοὺς ἢ ἀφυσίκους, ἢ νοητοὺς ἢ ἀνοήτους λόγους ἐκφαίνοντος. Διττὸς γὰρ, ὡς ἔφην, ὁ ἐφ' ἑκάστῳ λόγῳ τρόπος ἐστὶ, κατὰ τὸ δυνατὸν τῷ ποιουμένῳ τὴν ἐπ' αὐτοῖς συνετῶς τῆς θεωρίας ἐξέτασιν, ἵνα ἔκ τε τῆς τῶν ποιητέων καὶ φυσικῶν καὶ νοητῶν λόγων θέσεως, καὶ ἐκ τῆς τῶν οὐ ποιητέων καὶ ἀφυσίκων καὶ ἀνοήτων φαντασιῶν ἀφαιρέσεως, ἡ πρακτικὴ καὶ ἡ φυσικὴ καὶ ἡ θεολογικὴ περιποιηθῇ τοῖς εὐσεβέσι φιλοσοφία, ταὐτὸν δέ ἐστιν εἰπεῖν, φιλοθεΐα. Καὶ αὗται δὲ πάλιν τῷ τε παρόντι καὶ τῷ μέλλοντι διαιροῦνται, ὡς σκιὰν ἔχουσαι καὶ ἀλήθειαν, καὶ τύπον καὶ ἀρχετυπίαν. Ὡς δ' ἂν ὑπερφυῶς τε καὶ ὑψηλῶς δυνατόν ἐστι κατὰ τὸν αἰῶνα τοῦτον τῷ ἀνθρώπῳ τὸ ἀκρότατον φθάσαντες μέτρον τῆς ἀρετῆς καὶ τῆς γνώσεως καὶ τῆς σοφίας περιγενέσθαι τὴν τῶν θείων ἐπιστήμην, ἐν τύπῳ καὶ εἰκόνι τῶν ἀρχετύπων ἐστί. Τύπος γάρ ἐστιν ὡς ἀληθῶς πᾶσα παρ' ἡμῶν νῦν εἶναι νομιζομένη ἀλήθεια, καὶ σκιὰ τοῦ μείζονος λόγου καὶ εἰκών. Ὁ ἐν ὅλοις κατὰ τὸ παρὸν πρὸς τὸ μέλλον καὶ τῶν ὅλων ποιητικὸς λόγος κατανοούμενός ἐστιν ὡς ἐν τύπῳ καὶ ἀληθείᾳ, καὶ ὢν καὶ φαινόμενος, ὡς ὑπὲρ τὸ παρὸν καὶ τὸ μέλλον ὤν, καὶ ὑπὲρ τύπον καὶ ἀλήθειαν, τῷ μηδὲν ἔχειν ἀντικείμενον συνθεωρούμενον. Ἀν-
Cod. f. 218 a. τίκειται δὲ τῇ ἀληθείᾳ τὸ ψεῦδος. | Ὑπὲρ ἀλήθειαν ἄρα ὁ πρὸς ὃν τὰ πάντα συνάγεται λόγος, καὶ αὖθις, ὡς ἄνθρωπος καὶ θεὸς ὑπάρχων, καὶ ὑπὲρ πᾶσαν ὢν ἀληθῶς ἀνθρωπότητά τε καὶ θεότητα. Συνάγονται τοίνυν οἱ μὲν πρότεροι πέντε τρόποι κατὰ τὴν ἐπ' αὐτοῖς πολύτροπον θεωρίαν εἰς πρακτικὴν καὶ φυσικὴν καὶ θεολογικὴν φιλοσοφίαν, αὗται δὲ πάλιν εἰς τὸ παρὸν καὶ εἰς τὸ μέλλον, ἤτοι τύπον καὶ ἀλήθειαν, τὸ παρὸν δὲ καὶ τὸ μέλλον εἰς τὸ ἀρχικὸν, ἤγουν τὸν ἐν ἀρχῇ λόγον, τὸν ποιοῦντα παθεῖν αὐτὸν καὶ ἰδεῖν τοὺς ἀξίους αὐτοῦ γενομένους, καὶ διὰ τῶν εἰρημένων φιλοπόνως τὴν πρὸς αὐτὸν ποιησαμένους πορείαν, καὶ τὴν δι' αὐτοὺς γενομένην δεκάδα δι' αὐτὸν ποιησαμένους μονάδα, τὴν αὐτοὺς ἐκτινάξαν παντὸς ἐμπαθοῦς τε καὶ φυσικοῦ καὶ νοητοῦ κινήματος, καὶ τὴν ἐν χάριτι θείαν αὐτοῖς κατὰ τὴν ὁλόκληρον ἕξιν ἐμμορφώσασαν τῆς κατὰ φύσιν θείας ἁπλότητος ἰδιότητα. Ἰστέον δὲ καὶ τοῦτο, ὅτι τῆς μὲν προνοίας ὁ λόγος τῇ φυσικῇ, καὶ ὁ τῆς κρίσεως λόγος τῇ πρακτικῇ κατέσπαρται φιλοσοφίᾳ· κατὰ τοὺς αὐτοῖς πρέποντας τρόπους, οἷς διὰ τῆς θεωρίας τῶν ὄντων τε καὶ γινομένων ἐμφαίνονται. Ταῦτα, καθὼς εἴρηται, νενοηκότα τὸν θεόφρονα τοῦτον διδάσκαλον οἶμαι πρόσφορος τοὺς ὀνομασθέντας ἁγίους

Digitized by Google

simpliciter ut paucis dicam, dum faciunt aut patiuntur, activam et naturalem et theologicam de mutuo earum inter se nexu varie nobis introducunt philosophiam, cum unumquodque eorum nimirum quae dicta sunt multifariam contemplationis circa se ipsum cogitationibus cum laude aut vituperio accipiatur, suasque rationes faciendas aut non faciendas, naturales aut innaturales, intellegibiles aut non intellegibiles ostendat. Duplex enim, uti dixi, uniuscuiusque rationis modus est, ad facultatem eius qui contemplationis in eis explorationem prudenter instituit, ut ex faciendorum et naturalium et intellegibilium rationum positione, et ex phantasiarum non faciendarum et innaturalium et non intellegibilium ademptione activa et naturalis et theologica pariatur piis philosophia, vel quod idem est, dei amor. Quae rursus dividuntur praesenti ac futuro, cum umbram et veritatem habeant, et typum et archetypiam. Quod si egregiam homo atque sublimem hoc saeculo habet facultatem summum adipiscendi virtutis et cognitionis et sapientiae modum excellendique scientia rerum divinarum, habet in typo et imagine archetyporum. Typus enim revera omnis nostra nunc quae censetur veritas est, et umbra maioris rationis atque imago est. Ratio ea quae in universis in praesentia ad usque futurum inest, universorum conditrix, cum tam in typo quam in veritate insit, tam existere intellegitur quam videri, cum tam praesentiam quam futurum tam typum quam veritatem superet, eo quod nihil oppositum, quod secum una spectetur, habet. Oppositum autem veritati est mendacium. Itaque veritatem superat ea ad quam universa colliguntur ratio, pariterque rursus, ut homo et deus, etiam omnem revera humanitatem et divinitatem superat. Colliguntur igitur priores quidem quinque rationes de multifaria ipsarum contemplatione in activam et naturalem et theologicam philosophiam, hae vero rursus in praesentiam atque futurum, id est typum atque veritatem, praesentia vero et futurum in principale, sive in rationem, id est Sermonem, quae erat in principio, quae semet pati et videre facit eos qui sui digni facti fuerint, et per ea quae dicta sunt summo cum studio ad sese iter, et decadem per ipsos factam per ipsum effecerint monadem, de omni eos motione passioni obnoxia et naturali et intellectuali decussuram, divinamque in gratia eis secundum integrum habitum informaturam divinae naturaliter simplicitatis proprietatem. Sciendum autem hoc quoque est, providentiae rationem naturali, iudicii rationem activa esse philosophia satam, secundum modos convenientes, in quibus per eorum quae existunt et fiunt contemplationem manifestantur. Hoc, uti dixi, intel-

2. ὡς οἶμαι habet liber scriptus.

Digitized by Google

ἐκ τοῦ κατὰ γένος καὶ ἀξίαν τρόπου τῆς ἐπ' αὐτοῖς θεωρίας καλέσαι, τὸν δὲ μέγαν Ἰωάννην καὶ ἐκ τοῦ τόπου. Διόπερ ὁ μὲν ἅγιος Ἰωάννης, ὡς μὲν κῆρυξ μετανοίας, πράξεώς ἐστιν εἰκών, ὡς δὲ ἐρημίτης, ἀπαθείας, ὡς Λευΐτης δὲ καὶ ἱερεύς, γνωστικῆς θεωρίας, ὡς δὲ τοῦ λόγου προσκιρτήσας ἀπὸ γαστρὸς, ἀτρεψίας καὶ τῆς κατ' ἀρετὴν καὶ γνῶσιν ἕξεώς ἐστι σύμβολον· ὁ δὲ ἅγιος Δαβὶδ, ὡς μὲν Ἰουδαῖος |
Cod. f. 218 b. καὶ ποιμὴν, τὴν δι' ἐξομολογήσεως πρακτικὴν φιλοσοφίαν εἰκονίζεται, ὡς δὲ βασιλεὺς Ἰσραὴλ, τὴν θεωρητικὴν εἰσηγεῖται μυσταγωγίαν. Γένος οὖν τοῦ μὲν ἁγίου Ἰωάννου τὸ ἔθνος καὶ ἡ φυλὴ ἐξ ὧν ὑπῆρχε, ἀξία δὲ τὸ κήρυγμα καὶ ἱερωσύνη, καὶ τόπος ἡ ἔρημος ἐν ᾗ διῆγε· τοῦ δὲ ἁγίου Δαβὶδ ὡσαύτως, τὸ μὲν γένος τὸ ἔθνος ἐστὶ καὶ ἡ φυλὴ, τὸ δὲ ἐπιτήδευμα, ἦγουν ἡ ἀξία, ἡ ποιμαντικὴ καὶ ἡ βασιλεία. Αἷς ἑκάτερος, ἀναλόγως ἑαυτῷ κατὰ τὸν πρέποντα λόγον τῶν ἐπ' αὐτῷ λεγομένων τρόπων θεωρούμενος, τὸ δι' αὐτοῦ δηλούμενον ἀπταίστως μυστήριον δείκνυσιν.

Greg. Naz. Or. in Theophan. cap. 18., tom. I. Opp. p. 675. edit. Bened.

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ, Ἂν εἰς Αἴγυπτον φεύγῃ, προθύμως συμφυγαδεύθητι· καλὸν τῷ Χριστῷ συμφεύγειν διωκομένῳ. Ἂν ἐκ Αἰγύπτῳ βραδύνῃ, κάλεσον αὐτὸν ἐξ Αἰγύπτου, καλῶς ἐκεῖ προσκυνούμενον.

Δεῖ, καθάπερ οἶμαι, πρὸς τῷ γινώσκειν εἰς Αἴγυπτον φυγόντα τὸν κύριον καὶ ὑπὸ τίνος διωκόμενον κατὰ τὸ ἀκόλουθον εἰδέναι. Φεύγει τοίνυν ὁ κύριος οὐ μόνον ἁπλῶς εἰς Αἴγυπτον, ἀλλὰ καὶ ὑπὸ Ἡρώδου διωκόμενος, τοῦ τηνικαῦτα τῆς Ἰουδαίας γῆς βασιλεύοντος. Ἑρμηνεύεται δὲ ὁ Ἡρώδης, ὥς φασι, πάθος, καὶ δερμάτινος, καὶ φύσις, ἡ δὲ Αἴγυπτος καὶ αὐτὴ πολλαχῶς λαμβάνεται, κατὰ τὰς ἐπ' αὐτῇ τῶν θεωρητικῶν τρόπων ἐπινοίας, ποτὲ μὲν εἰς τὸν ἐνεστῶτα κόσμον, ποτὲ δὲ εἰς τὴν σάρκα, ποτὲ δὲ εἰς τὴν ἁμαρτίαν, ποτὲ δὲ εἰς τὴν ἄγνοιαν, ποτὲ δὲ εἰς τὴν κάκωσιν, καθ' ἣν μάλιστα νῦν ἐπιβολὴν πρέπον ἐστὶν ἐκδέξασθαι τὴν εἰς Αἴγυπτον τοῦ κυρίου φυγήν. Καλὸν οὖν ἐστι συμφεύγειν εἰς Αἴγυπτον τῷ Χριστῷ, τουτέστι τῷ ἐν ἡμῖν διαγνωστικῷ θείῳ λόγῳ, διὰ νηπιότητα τέως διωκομένῳ, δι' ἡμᾶς τοὺς κατ' αὐτὸν νηπιάζοντας, ὑπὸ τοῦ κρατοῦντος ἡμῶν ἔτι καὶ βασιλεύοντος διὰ τῶν ἐμπαθῶν τῆς σαρκὸς κινημά-
Cod. f. 219 a. των | χοϊκοῦ φρονήματος, εἰς τὴν διὰ τῆς πρακτικῆς κάκωσιν, ἕως οὗ θάνατος ἡμῖν μηνυθῇ διὰ τῆς ἀπαθείας τῶν ζητούντων τὴν ψυχὴν τοῦ ἐν ἡμῖν νηπιάζοντος θειοτάτου λόγου, τουτέστι τῶν τὴν ἡμῶν κατὰ τὸν λόγον θεοτελῆ ζωὴν νεκρῶσαι θελόντων, καὶ τὴν Χριστοειδῆ κατάστασιν, ἤγουν ἕξιν,

Digitized by Google

lectu atque consilio divinum hunc arbitror magistrum sanctos, quos appellavit, congruenter ex modo contemplationis eorum vocasse secundum genus et dignitatem, magnum vero Iohannem etiam de loci modo. Quare sanctus Iohannes, ut paenitentiae praeco, actionis est imago, ut eremita, impassibilitatis, ut Levita et sacerdos, gnosticae contemplationis, ut vero rationis ex utero exsultans, constantiae et habitus virtutis et cognitionis symbolum est: sanctus contra David, ut Iudaeus et pastor, activam per confessionem philosophiam figurat, ut rex Israel, contemplativam introducit mystagogiam. Genus igitur sancti Iohannis gens est et tribus unde originem ducebat, dignitas vero praeconium et sacerdotium, et locus desertum ubi versari solebat: sancti contra Davidis pari modo genus est gens et tribus, munus, id est dignitas, pastorale officium et regnum. Quibus, philosophia inquam activa et contemplativa mystagogia, si uterque sibi convenienter secundum congruentem modorum in eis indicatorum rationem spectatur, mysterium per semet manifestatum sine ‚ullius offensione' demonstrat.

Ex eodem sermone, in illud, ‚Si in Aegyptum profugiat, alacri animo te ipsi fugae comitem adiunge; praeclarum est cum Christo persecutionem patiente fugere. Si diuturniorem in Aegypto moram faciat, ex Aegypto eum voca, qui rite illic adoratur et colitur.'

Debemus, ut opinor, cum dominum in Aegyptum fugisse sciamus, nosse etiam consequenter quemnam persecutorem fugerit. Fugit igitur dominus non solum simpliciter in Aegyptum, sed etiam ab Herode, Iudaeae terrae tunc temporis rege petitus. Herodis vero, uti tradunt, interpretatio est passio, et pelliceus, et natura, Aegyptus autem ipsa multifariam refertur, secundum contemplativorum in ea modorum rationes, modo ad praesentem mundum, modo ad carnem, modo ad peccatum, modo ad ignorantiam, modo ad vexationem, qua potissimum interpretatione domini in Aegyptum fugam nunc accipere debemus. Praeclarum est igitur cum Christo in Aegyptum fugere, id est cum diiudicatore in nobis sermone divino, propter infantiam tamdiu persecutionem patiente, propter nos qui eo infantes sumus, persecutionem patiente a terrena quae in nobis adhuc per motus carnis affectibus obnoxios dominatur voluntate, in vexationem per activam, donec per impassibilitatem mors nobis indicata fuerit eorum qui divini in nobis infantis sermonis animae insidiantur, hoc est eorum qui nostram secundum sermonem in deo consummatum vitam mortificare student, constitutionem-

Digitized by Google

ἴχνος τῆς ποτε τυραννίδος εἰκότως ἀφεὶς, ὥστε βοᾶν διὰ Χριστοῦ δύνασθαι τοὺς τῆς ἐλευθερίας τετυχηκότας, καὶ πρὸ
Cod. f. 220 a. τῆς | γενικῆς ἀναστάσεως διὰ τὴν ἤδη γεγενημένην αὐτοῖς τῆς
1 Cor. 15, 55. προαιρέσεως ἐθελούσιον ἀνάστασιν, Ποῦ σου, θάνατε, τὸ κέντρον; ποῦ σου, ᾅδη, τὸ νῖκος; τὴν ἡδονὴν λέγοντες τῆς σαρκὸς καὶ τὴν συνημμένην αὐτῇ τῆς ψυχῆς ἐκ τῆς ἀγνοίας ἀπάτην, δι' ὧν ποτε πρὸ τοῦ Χριστοῦ κρατῶν τῆς ἀνθρωπίνης φύσεως ὁ παμμίαρος διάβολος ἀφειδῶς διετέτρα τῷ κέντρῳ τῆς ἡδονῆς τὴν τῶν ἀνθρώπων φύσιν, καὶ φιλονείκως τῷ ξίφει τῆς ἀπάτης πρὸς ἀπώλειαν αὐτὴν ὑπεσύρετο.

Greg. Naz. Or. in Sancta Lumina cap. 6., p. 680. tom. I. Opp. ed. Bened. Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τὰ Φῶτα λόγου, εἰς τὸ, Εἴπερ ἀσεβεῖν αὐτοὺς ἔδει πάντως, καὶ τῆς τοῦ θεοῦ δόξης ἀποπεσεῖν, εἰς εἴδωλα κατενεχθέντας καὶ τέχνης ἔργα καὶ χειρῶν πλάσματα, μὴ ἄλλο τι κατ' αὐτῶν εὔξασθαι τοὺς νοῦν ἔχοντας, ἢ τοιαῦτα σεβασθῆναι καὶ οὕτω τιμῆσαι.

Τούτων ἀναγνωσθέντων εἴπατε, Τινὲς τῶν ἀκροωμένων ἐπέσκηψαν τῷ διδασκάλῳ, φάσκοντες μὴ δίκαιον εἶναι τοὺς νοῦν ἔχοντας καὶ εὐαγγελικῶς ζῆν προθεμένους κατά τινος εὔξασθαι τοιαῦτα σεβασθῆναι καὶ οὕτω τιμῆσαι. Πρὸς οὓς ἐμὸν μὲν οὐδέν, ὃ δὲ παρά τινος γέροντος τὰ θεῖα σοφοῦ καὶ τὴν τῶν πατέρων περὶ πολλοῦ ποιουμένου διδασκαλίαν ἐδιδάχθην περὶ τούτου, φημί. Ὁ ἅγιος καὶ μακάριος πατὴρ ἡμῶν καὶ διδάσκαλος Γρηγόριος, ᾧ οὗτοι, (ὡς γὰρ παροῦσιν αὐτοῖς διαλεχθήσομαι), θεασάμενος τοὺς Ἕλληνας προηγουμένως οὕτως ἀλόγως πλανηθέντας, καὶ τῆς περὶ τοῦ κυρίως ὄντος θεοῦ πάμπαν ἐννοίας ἀπαχθέντας, συμπαθείας νόμῳ ταῦτα διέξεισιν, ἵνα ἐκ τῆς τῶν σεβασμάτων ἀλογίας τε καὶ εὐτελείας, μᾶλλον δὲ κυριώτερον εἰπεῖν βδελυρίας, πολλῇ τῶν ἐπιχειρηματικῶν λόγων αὐτοῖς γενομένῃ τῶν σεβασμάτων ἀνασκευῇ ῥᾴστη γένηται αὐτοῖς πρὸς ὀρθοτομίαν ἡ ἄνοδος,
Cod. f. 220 b. προσέτι γε μὴν | καὶ μηδέ τινα τούτων κακοδοξίᾳ κατασυρῆναι, διὰ τὸ τὴν ἀπάτην ἐκ τοῦ προχείρου πᾶσιν εὔδηλον εἶναι καὶ εὐφώρατον, μηδενὶ τιμίῳ δοκοῦντι συγκαλύπτουσαν τὸ λανθάνον κακόν.

Idem ibid. cap. 8., p. 682. tom. I. Opp. ed. Bened. Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ, Οὗ δὲ κάθαρσις, ἔλλαμψις, ἔλλαμψις δὲ πόθου πλήρωσις, τοῖς τῶν μεγίστων, ἢ τοῦ μεγίστου, ἢ ὑπὲρ τὸ μέγα ἐφιεμένοις.

Φασὶν οἱ τῶν θείων ἐπιστήμονες μυστηρίων ὅτι ἔνθα κάθαρσις ψυχῆς ἢ διὰ τῶν ἀρετῶν, ἐκεῖ καὶ ἔλλαμψις γνώσεως μετὰ τὴν εὐσεβῆ τῶν ὄντων διάσκεψιν ἀναφαίνεται, πρὸς τὴν τοῦ θείου κατανόησιν τὴν ψυχὴν ἀναβιβάζουσα, καὶ τὸν

Digitized by Google

minationis, ut par est, relinquat, ut liberati per Christum possint vel ante generalem resurrectionem propter ultroneam voluntatis quae ipsis iam contigit, resurrectionem exclamare, ‚Ubi est tuus, o mors, stimulus? ubi tua, o Orce, victoria?' carnis voluptatem et quae cum ea iuncta est animae de ignorantia fraudem dicentes, quibus olim ante Christum in humanam naturam dominatus nequissimus diabolus voluptatis stimulo hominum naturam nimium quantum convulnerabat, et contentiose gladio fraudis ad perniciem trahebat.

Eiusdem ex sermone in Lumina, in illud, ‚Si quidem omnino eos impietate constringi atque ad simulachra et artis opera manuumque figmenta prolapsos a dei gloria deici oportebat, nihil aliud ipsis cordati homines imprecari possent, quam ut talia venerarentur, talibusque honoribus afficerent.'

His perlectis, Quidam, inquitis, auditorum magistrum improbarunt, homines cordatos atque evangelice vivere cupientes talia alicui imprecari ut veneretur talibusque honoribus ut afficiat iustum esse negantes. Adversus quos ego quidem nihil; quod vero a sene quodam divinarum rerum sapiente patrumque doctrinam plurimi faciente de hoc doctus sum, dicam. Sanctus et beatus noster pater atque magister Gregorius, o isti, (colloquar enim cum eis tanquam si adsint) Graecos videns praecipue versari in tanta erroris stultitia, et a notione eius qui proprie est dei prorsus abductos, commiserationis lege talia persequitur, ut inde quod ea quae coluntur ratione carent, et ex vilitate, aut quod magis proprie est dicere, scurrilitate eorum, post crebram sermonum quibus is cultus expugnatus est refutationem, facillimus eis ad rectam viam fiat reditus, insuper vero etiam ne quis horum prava opinione trahatur, propterea quod fraus omnibus sit in promptu et facile ad deprehendendum, cum neminem honestum malum quod delitescat celet.

Ex eodem sermone, in illud, ‚Porro ubi purgatio, illic illuminatio, illuminatio autem desiderii summa est, iis utique qui maximarum rerum, vel potius maximae rei, atque adeo magnitudinem omnem superantis, cupiditate flagrant.'

Divinorum mysteriorum periti affirmant ubi purgatio animae sit per virtutes facta, ibi etiam illuminationem cognitionis post institutam piam rerum quae sunt considerationem apparere, quae mentem ad dei perceptionem adigat atque

Digitized by Google

πόθον αὐτῆς προσηλοῦσα τῷ ἐσχάτῳ τῶν ὀρεκτῶν, ὅπερ ἐστὶν ὁ θεὸς, ὁ ἐν τοῖς μεγίστοις καὶ ἐν τῷ μεγίστῳ καὶ ὑπὲρ τὸ μέγα κυρίως ὑπάρχων καὶ γινωσκόμενος· ἐν τοῖς μεγίστοις μὲν, ὡς ἐν τρισὶν ὑποστάσεσιν ὁμουσίοις καὶ ὁμοδυνάμοις, ἀσυγχύτοις τε τῇ ἀκριβεῖ καὶ ἀμεταβόλῳ περὶ ἑκάστην ἰδιότητι, ἀγεννησίᾳ λέγω καὶ γεννήσει καὶ ἐκπορεύσει· ἐν τῷ μεγίστῳ δὲ, διὰ τὸ κατ' οὐσίαν ἓν καὶ ταὐτὸν καὶ μοναδικὸν τῆς θεότητος· ὑπὲρ τὸ μέγα δὲ, διὰ τὸ μὴ ποσῷ τινι ἢ μεγέθει ἢ πηλικότητι περιγράφεσθαι καὶ πέρασί τισι διαλαμβάνεσθαι τὸ θεῖον. Πᾶν γὰρ μέγεθος πεπερασμένον ἐστὶ, τὸ δὲ θεῖον μόνον ἀπέραντον, ᾗ φησιν ὁ μέγας
Psalm. 48, 1. Δαβὶδ, Μέγας κύριος καὶ αἰνετὸς σφόδρα, καὶ τῆς μεγαλω-
Psalm. 145, 3. σύνης αὐτοῦ οὐκ ἔστι πέρας, ὡς οὐδενὶ περιορισμῷ περατούμενον, διὸ καὶ ἄπειρον, μὴ ἔχον φθάνουσαν αὐτὸ τὴν οἰανοῦν χρόνου καὶ φύσεως ἔννοιαν, καθ' ἣν ἡ τεχνικὴ τῶν λογικῶν ἐπιχειρημάτων μέθοδος τοῖς τὰ τοιαῦτα σπουδασταῖς ἐπενοήθη δι' ἣν μάλιστα καὶ μεθ' ἧς ἀδόκιμοι περὶ τὴν τῆς ἀληθείας εὕρεσιν ἀπεδείχθησαν, πᾶν ὃ τοῖς σφῶν αὐτῶν λο-
Cod. f. 221 a. γισμοῖς μὴ γέγονεν ἅλωτὸν, μήτε εἶναι τὸ παράπαν | πιστεῦσαντες. Δηλοῖ δὲ τὰ προειρημένα λέγων ὁ διδάσκαλος ἐκ τοῦ καὶ ἐν ἄλλοις·τοῖς αὐτοῖς χρήσασθαι λόγοις. Λέγει οὖν
Greg. Naz. Or. in Aegypt. Adv. cap. 8., p. 623. tom. I. Opp. ed. Bened. ἐν τῷ εἰς τὸν Καταπλοῦν τῶν ἀπὸ Αἰγύπτου λόγῳ, θεολογικῶς οὕτωσὶ διεξιὼν περὶ τῆς ἀκτίστου καὶ θείου οὐσίας, καὶ τῆς κτιστῆς καὶ ἀρχὴν τοῦ εἶναι λαβούσης φύσεως, Καλεῖται δὲ ἡ μὲν θεὸς, καὶ [1] ἐν τρισὶ τοῖς μεγίστοις ἵσταται, αἰτίῳ καὶ δημιουργῷ καὶ τελειοποιῷ τῷ πατρὶ λέγω καὶ τῷ
Idem Orat. in Sanct. Baptism. cap. 41., p. 724. tom. I Opp. edit. Bened υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι. Καὶ αὖθις ἐν τῷ περὶ Βαπτίσματος λόγῳ περὶ τῆς ἐν τρισὶν ἁγίαις ὑποστάσεσι μίας καὶ τῆς αὐτῆς ἁγίας θεότητος διαλαμβάνων φησὶ, Πάντοθεν ἴσην, τὴν αὐτὴν πάντοθεν, ὡς ἐν οὐρανοῦ κάλλος καὶ μέγεθος, τριῶν ἀπείρων ἄπειρον συμφωνίαν. Αὐτὸς οὖν ἑαυτοῦ καθέστηκεν ἑρμηνευτὴς ὁ διδάσκαλος τοῖς μὴ παρέργως ἐντυγχάνουσι τοῖς αὐτοῦ θεοφράστοις λόγοις.

Idem Orat. in Sanct. Lumina cap. 13., p. 685. tom. I. Opp. ed. Bened. Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ, Καινοτομοῦνται φύσεις, καὶ θεὸς ἄνθρωπος γίνεται.

Οἱ τὰ πολλὰ τῶν θείων μυστηρίων ἐκ τῶν ὀπαδῶν καὶ ὑπηρετῶν γενομένων τοῦ λόγου, καὶ αὐτόθεν ἀμέσως τὴν τῶν ὄντων μυηθέντων γνῶσιν, κατὰ διαδοχὴν διὰ τῶν πρὸ αὐτῶν εἰς αὐτοὺς διαδοθέντα λαβόντες ἁγιοί φασι πέντε διαιρέσεσι διειλῆφθαι τὴν πάντων τῶν γεγονότων ὑπόστασιν· ὧν πρώτην μέν φασιν εἶναι τὴν διαιροῦσαν τῆς ἀκτίστου φύσεως τὴν κτιστὴν καθόλου φύσιν, καὶ διὰ γενέσεως τὸ εἶναι λαβοῦσαν. Φασὶ γὰρ τὸν θεὸν ἀγαθότητι πεποιηκότα τῶν ὄντων ἁπάντων λαμπρὰν διακόσμησιν, μὴ αὐτόθεν αὐτῇ κατα-

1. Cod. Gud., ni fallor, habet καὶ εἰ ἐν τρισὶ cett.

Digitized by Google

desiderium eius extremo eorum quae appetuntur affigat, quod est deus, qui in summis, vel in summo vel in eo quod magnitudinem omnem superat proprie existit atque agnoscitur: atque ‚in summis', ut in tribus substantiis coëssentialibus et aeque potentibus, iisdemque non commiscendis de accurata et immutabili circa unamquamque proprietate, ingeneratione inquam et generatione et processione: ‚in summo' vero, propter dei secundum substantiam unitatem et identitatem et singularitatem: in eo denique ‚quod omnem magnitudinem superat', propterea quod quantitate nulla aut magnitudine vel multitudine circumscribatur deus, aut aliquibus finibus discernatur. Omnis enim magnitudo definita est, deitas sola indefinita, secundum magni Davidis verba, ‚Magnus est dominus et valde laudabilis, et magnitudinis eius nullus est finis', utpote quae nulla circumscriptione limitata est, ideoque etiam indefinita, cum temporis qualemcunque et naturae notionem antevertentem sese habeat nullam, secundum quam artificiosa rationalium argumentorum methodus studiosis talium excogitata est ea ob quam praesertim et cum qua circa veritatis indagationem reprobari ipsos videmus, cum quodcunque suis ratiocinationibus expugnari non potuisset, id nec verum omnino esse putarent. Quae probat magister etiam in aliis locis iisdem verbis usus. Quemadmodum in sermone in Adventum Aegyptiorum habito, theologice de essentia incondita atque divina deque condita natura spaeque existentiae principium sortita hoc modo enarrans, ‚Vocatur autem', inquit, ‚illa quidem deus, et in tribus maximis consistit, in causa, in opifice, in perfectore, hoc est in patre, filio, et spiritu sancto.' Et iterum in sermone de Baptismate de uno eodemque sancto in tribus sanctis substantiis deo disputans ait, ‚Undequaque aequalem, undequaque eandem, non secus ac una caeli pulchritudo et magnitudo, trium infinitorum infinitam coniunctionem.' Ipse igitur suimetipsius interpres magister stat eis qui non obiter divinos suos sermones perlegunt.

## Ex eodem sermone, in illud, ‚Innovantur naturae, et deus homo efficitur.'

Qui magnam divinorum mysteriorum partem ex eis qui asseclae et ministri Sermonis facti, indeque immediate erant rerum cognitione initiati, per successionem ab antiquioribus tradita acceperunt sancti quinque statuunt distinctionibus universorum quae facta sunt substantiam, discerni, harumque unam volunt esse quae dividat ab incondita natura conditam universam naturam, et existentiam generatione sortitam. Etenim deum, bonitate fabricatum clarum rerum universarum ordinem atque ornatum, inde quod aliquis et qualis esset

Digitized by Google

φανῆ γενέσθαι τινὰ καὶ ὁποῖον εἶναι, τὴν περὶ τοῦτο τὴν κτίσιν τοῦ θεοῦ διακρίνουσαν ἄγνοιαν διαίρεσιν λέγοντες.
Cod. f. 221 b. Τὴν γὰρ φυσικῶς | ἀλλήλων ταῦτα διαιροῦσαν, μηδέποτε δεχομένην εἰς μίαν οὐσίαν ἕνωσιν, ὡς τὸν ἕνα καὶ τὸν αὐτὸν μὴ δυναμένην ἐπιδέξασθαι λόγον, εἶασαν ἄῤῥητον. Δευτέραν δὲ, καθ' ἣν ἡ διὰ κτίσεως τὸ εἶναι λαβοῦσα σύμπασα φύσις ὑπὸ θεοῦ διαιρεῖται εἰς νοητὰ καὶ αἰσθητά. Τρίτην, καθ' ἣν ἡ αἰσθητὴ φύσις διαιρεῖται εἰς οὐρανὸν καὶ γῆν. Τετάρτην δὲ, καθ' ἣν ἡ γῆ διαιρεῖται εἰς παράδεισον καὶ οἰκουμένην, καὶ πέμπτην, καθ' ἣν ὁ ἐπὶ πᾶσιν, ὥςπερ τι τῶν ὅλων συνεκτικώτατον ἐργαστήριον, καὶ πᾶσι τοῖς κατὰ πᾶσαν διαίρεσιν ἄκροις δι' αὐτοῦ φυσικῶς μεσιτεύων ἀγαθοπρεπῶς κατὰ γένεσιν τοῖς οὖσιν ἐπεισαχθεὶς ἄνθρωπος διαιρεῖται εἰς ἄρσεν καὶ θῆλυ, πᾶσαν ἔχων δηλαδὴ φυσικῶς ταῖς τῶν ἄκρων πάντων μεσότησι διὰ τῆς πρὸς τὰ ἄκρα πάντα τῶν ἰδίων μερῶν σχετικῆς ἰδιότητος τὴν πρὸς ἕνωσιν δύναμιν, δι' ἧς ὁ κατὰ τὴν αἰτίαν τῆς τῶν διηρημένων γενέσεως συμπληρούμενος τρόπος ἐμελλε τοῦ θείου σκοποῦ τὸ μέγα μυστήριον ἐκδηλον δι' ἑαυτοῦ καταστῆσαι, τὴν πρὸς ἄλληλα τῶν ἐν τοῖς οὖσιν ἄκρων ἐναρμονίως ἀπὸ τῶν προσεχῶν ἐπὶ τὰ πόῤῥω, καὶ τῶν ἡττόνων ἐπὶ τὰ κρείττονα καθεξῆς ἀνατατικῶς προϊοῦσαν, εἰς θεὸν ἀποπερατώσας ἕνωσιν. Τούτου δὴ χάριν ἔσχατος ἐπεισάγεται τοῖς οὖσιν ὁ ἄνθρωπος, οἱονεὶ σύνδεσμός τις φυσικὸς τοῖς καθόλου διὰ τῶν οἰκείων μερῶν μεσιτεύων ἄκροις, καὶ εἰς ἓν ἄγων ἐν ἑαυτῷ τὰ πολλῷ κατὰ τὴν φύσιν ἀλλήλων διεστηκοτα τῷ διαστήματι, ἵνα τῆς πρὸς θεὸν,
Cod. f. 222 a. ὡς αἴτιον, τὰ πάντα συναγούσης ἑνώσεως, | ἐκ τῆς ἰδίας πρότερον ἀρξάμενος διαιρέσεως, καθεξῆς διὰ τῶν μέσων εἰρμῷ καὶ τάξει προβαίνων εἰς τὸν θεὸν λάβῃ τὸ πέρας τῆς διὰ πάντων κατὰ τὴν ἕνωσιν γινομένης ὑψηλῆς ἀναβάσεως, ἐν ᾧ οὐκ ἔστι διαίρεσις, τὴν μηδαμῶς ἠρτημένην δηλαδὴ κατὰ τὸν προηγούμενον λόγον τῆς περὶ τὴν γένεσιν τοῦ ἀνθρώπου θείας προθέσεως κατὰ τὸ θῆλυ καὶ τὸ ἄρσεν ἰδιότητα τῇ περὶ τὴν θείαν ἀρετὴν ἀπαθεστάτῃ σχέσει πάντη τῆς φύσεως ἐκτιναξάμενος, ὥςτε δειχθῆναί τε καὶ γενέσθαι κατὰ τὴν θείαν πρόθεσιν [2] ἄνθρωπον μόνον, τῇ κατὰ τὸ ἄρσεν καὶ τὸ θῆλυ προσηγορίᾳ μὴ διαιρούμενον, καθ' ὃν καὶ προηγουμένως γεγένηται λόγον τοῖς νῦν περὶ αὐτὸν οὖσι τμήμασι μὴ μεριζόμενον, διὰ τὴν τελείαν πρὸς τὸν ἴδιον, ὡς ἔφην, λόγον καθ' ὅν ἐστιν γνῶσιν· εἶτα τὸν παράδεισον καὶ τὴν οἰκουμένην διὰ τῆς οἰκείας ἁγιοπρεποῦς ἀγωγῆς ἑνώσας μίαν ποιήσειε γῆν, μὴ διαιρουμένην αὐτῷ κατὰ τὴν τῶν μερῶν αὐτῆς διαφοράν, ἀλλὰ μᾶλλον συναγομένην, ὡς μηδεμίαν πρὸς μηδὲν τῶν αὐτῆς ὑπαγωγὴν παθόντι μερῶν· εἶτα οὐρανὸν καὶ γῆν ἑνώσας διὰ τὴν πρὸς ἀγγέλους τῆς ζωῆς παντὶ τρόπῳ

2. In apographo meo invenī ἀνθρώπου.

Digitized by Google

ipsi manifestatum esse, negant, et ignorantiam eam qua hic conditio a deo discernitur distinctionem appellant. Quae enim naturaliter ea inter se secernit, ac nunquam in essentiam unam coire sinit, cum unam eandemque rationem recipere nequeat, eam indictam liquerunt. Alteram, qua universa quae per conditionem a deo existentiam accepit natura secernitur in intellegibilia et sensibilia. Tertiam, qua sensibilis natura secernitur in caelum ac terram. Quartam denique, qua terra secernitur in paradisum et orbem terrarum habitabilem, et quintam, qua homo in omnibus tanquam officina aliqua arctissimo sui vinculo universa continens, et omnibus secundum omnem distinctionem extremitatibus per se naturaliter interiectus convenienter secundum generationem rebus existentibus inlatus secernitur in masculinum et femininum, omni profecto extremitatum omnium medietatibus naturaliter de propriarum ad omnes extremitates partium suarum relativa facultate praeditus uniendi coeundique potestate, qua modus secundum causam generationis eorum quae distincta sunt completus divini magnum consilii mysterium per sese patefacturus erat, qui mutuam in rebus quae existunt extremitatum congruenter a proximis ad ulteriora, peiorumque ad meliora deinceps et per ascensionem progredientem in deum unitionem determinat. Idcirco videlicet homo in creaturas ultimus infertur, tanquam naturalis quaedam generalibus per partes suas extremitatibus copula, atque in semetipso coadunans ea quae naturaliter multum inter se distant, ut unitionis cum deo, tanquam causa, universa cogentis, de propria distinctione capto initio, deinceps serie et ordine per media progressus finem ascensionis in sublimitatem, quae unitionis gratia fit per universa, inveniat in deo, in quo nulla est distinctio, dum sexualem feminini et masculini proprietatem, quae ex principali ac primitiva ratione nequaquam suspensa est a dei circa generationem hominis proposito, habitu circa divinam virtutem plane impatibili ubique et natura excutit, adeo ut secundum divinum propositum homo solus ostendatur ac fiat, feminini et masculini appellatione non distinctus, non magis praesentibus circa eum sectionibus in partes divisus quam qua est antea ratione, propter perfectam ad propriam, uti dixi, rationem secundum quam est cognitionem: deinde paradisum cum terrae habitabilis orbe per castam conversationem unitum unam terram efficiat, quae secundum partium eius diversitatem sibi non sit distincta, sed potius congregata, ut qui ad nullam eius partium patiatur aliquam subductionem: deinde caelum et terram coadunans per vitae cum angelis similitudinem omni modo de virtute, pro hominum viribus, partam sensibilem conditionem unam et a se-



Digitized by Google

κατ' ἀρετὴν, ὡς ἐφικτὸν ἀνθρώποις, ταὐτότητα μίαν ποιήσειεν ἀδιαίρετον πάντη πρὸς ἑαυτὴν τὴν αἰσθητὴν κτίσιν, μὴ διαιρουμένην αὐτῷ τοπικῶς τὸ παράπαν τοῖς διαστήμασι, κούφῳ γενομένῳ τῷ πνεύματι καὶ μηδενὶ βάρει σωματικῷ κατεχομένῳ πρὸς γῆν, καὶ τῆς πρὸς οὐρανοὺς ἀναβάσεως εἰργομένῳ διὰ τὴν πρὸς ταῦτα τοῦ νοῦ τελείαν ἀορασίαν γνησίως πρὸς τὸν θεὸν ἐπειγομένου, καὶ σοφῶς ποιουμένου τῆς πρὸς αὐτὸν ἀνατάσεως ἐφεξῆς, ὡς ἐν ὁδῷ κοινῇ, φυσικῶς τοῦ [3]πρὸ αὐτοῦ τὸ φθάσαν ἐπίβασιν· εἶτα τὰ νοητὰ καὶ τὰ αἰσθητὰ πρὸς τούτοις ἑνώσας διὰ τὴν πρὸς ἀγγέλους
Cod. f. 222 b. κατὰ τὴν γνῶσιν ἰσότητα | μίαν ποιήσῃ κτίσιν τὴν ἅπασαν κτίσιν, μὴ διαιρουμένην αὐτῷ κατὰ τὴν γνῶσιν καὶ τὴν ἀγνωσίαν, ἴσης αὐτῷ πρὸς τοὺς ἀγγέλους ἀνελλιπῶς γενομένης τῶν ἐν τοῖς οὖσι λόγων γνωστικῆς ἐπιστήμης, καθ' ἣν ἡ τῆς ἀληθοῦς σοφίας ἀπειρόδωρος χύσις ἐπιγενομένη κατὰ τὸ θεμιτὸν ἀκραιφνῶς λοιπὸν τὴν περὶ θεοῦ καὶ ἀμεσιτεύτως παρέχεται τοῖς ἀξίοις ἀδιάγνωστον καὶ ἀνερμήνευτον ἔννοιαν· καὶ τέλος ἐπὶ πᾶσι τούτοις, καὶ κτιστὴν φύσιν τῇ ἀκτίστῳ δι' ἀγάπης ἑνώσας (ὢ τοῦ θαύματος τῆς περὶ ἡμᾶς τοῦ θεοῦ φιλανθρωπίας) ἓν καὶ ταὐτὸν δείξειε κατὰ τὴν ἕξιν τῆς χάριτος, ὅλος ὅλῳ περιχωρήσας ὁλικῶς τῷ θεῷ, καὶ γενόμενος πᾶν εἴ τί πέρ ἐστιν ὁ θεὸς, χωρὶς τῆς κατ' οὐσίαν ταὐτότητος, καὶ ὅλον αὐτὸν ἀντιλαβὼν ἑαυτοῦ τὸν θεὸν, καὶ τῆς ἐπ' αὐτὸν τὸν θεὸν ἀναβάσεως οἷον ἔπαθλον αὐτὸν μονώτατον κτησάμενος τὸν θεὸν, ὡς τέλος τῆς τῶν κινουμένων κινήσεως, καὶ στάσιν βάσιμόν τε καὶ ἀκίνητον τῶν ἐπ' αὐτὸν φερομένων, καὶ παντὸς ὅρου καὶ θεσμοῦ καὶ νόμου, λόγον τε καὶ νοῦ, καὶ φύσεως ὅρον καὶ πέρας ἀόριστόν τε καὶ ἄπειρον ὄντα. [2]Ἐπειδὴ τοίνυν φυσικῶς, ὡς δεδημιούργητο, περὶ μὲν τὸ ἀκίνητον, ὡς ἀρχὴν ἰδίαν (φημὶ δὲ τὸν θεὸν) ὁ ἄνθρωπος οὐ κεκίνητο, περὶ δὲ τὰ ὑπ' αὐτὸν, ὧν αὐτὸς θεόθεν ἄρχειν ἐπετάγη, παρὰ φύσιν ἐκὼν ἀνοήτως κεκίνηται, τῇ πρὸς ἕνωσιν τῶν διῃρημένων δοθείσῃ αὐτῷ φυσικῇ δυνάμει κατὰ τὴν γένεσιν εἰς τὸν τῶν ἡνομένων μᾶλλον διαίρεσιν παραχρησάμενος, καὶ ταύτῃ μικροῦ δεῖν ἐλεεινῶς εἰς τὸ μὴ ὂν πάλιν κινδυνεύσας μεταχωρῆσαι, διὰ τοῦτο καινοτομοῦνται φύσεις, καὶ παραδόξως ὑπὲρ φύσιν περὶ τὸ φύσει κινούμενον ἀκινήτως, ἵν' οὕτως εἴπω, κινεῖται τὸ πάντη κατὰ φύσιν ἀκίνητον, καὶ θεὸς ἄνθρωπος γίνεται, ἵνα σώσῃ τὸν [4]ἀπολόμενον ἄν-
Cod. f. 223 a. θρωπον, καὶ τῆς κατὰ τὸ πᾶν | καθόλου φύσεως δι' ἑαυτοῦ τὰ κατὰ φύσιν ἑνώσας ῥήγματα, καὶ τοὺς καθόλου τῶν ἐπὶ μέρους προφερομένους λόγους, οἷς ἡ τῶν διῃρημένων γίνεσθαι πέφυκεν ἕνωσις, δείξας τὴν μεγάλην βουλὴν πληρώσῃ τοῦ θεοῦ καὶ πατρὸς, εἰς ἑαυτὸν ἀνακεφαλαιώσας τὰ πάντα, τὰ ἐν τῷ οὐρανῷ καὶ τὰ ἐπὶ τῆς γῆς, ἐν ᾧ καὶ ἐκτίσθησαν. [5]Ἀμέλει τοι τῆς καθόλου τῶν πάντων πρὸς ἑαυτὸν ἑνώσεως ἐκ τῆς ἡμῶν ἀρξάμενος διαιρέσεως γίνεται τέλειος ἄνθρωπος,

Digitized by Google

metipsa nullibi secernendam efficiat, quae localiter plane ab illo non distet, qui spiritu levis factus est nullaque corporali gravitate ad terram detrahitur, aut ab ascensione in caelos prohibetur ob perfectam ad haec mentis gnaviter ad deum properantis invisibilitatem, et extensionis ad eum deinceps sapienter iter instituentis ita ut, quemadmodum in communi via, naturaliter de eo quod ante est ad id quod post est procedat: deinde intellegibilia et sensibilia ad haec coadunans per similitudinem de cognitione cum angelis unam efficiat totam conditionem, quam indistinctam sibi habeat secundum cognitionem et ignorantiam, cum pari cum angelis et plene imbutus sit rerum quae sunt rationum gnostica doctrina, qua verae sapientiae largissima effusio subsecuta, ut par est, de reliquo sincere eis qui digni sunt et immediate dei praebeat notionem ad pernoscendum difficilem atque ineffabilem: et denique ad haec omnia, conditam quoque naturam cum incondita per caritatem coadunans (o rem novam et admirandam divinae circa nos clementiae!) unum atque idem per gratiae habitum ostendat, dum totum in totum sese deum ac plene transfundit, et quicquid est deus iam ipse fit, praeter unam essentiae identitatem, et totum ipsum pro se ipso deum accipit, ascensionisque ad deum institutae tanquam praemium ipsum consequitur ac solum deum, ut rerum motarum motionis finem, ac firmam et stabilem eorum quae ad eum feruntur stationem, omnisque finis et regulae et legis, sermonis atque mentis et naturae finem, et infinitam interminatamque metam. Cum igitur naturaliter homo, postquam fabricatus est, circa immobile ut sui initium (deum inquam) non motus esset contra circa subiecta sibi, quorum imperium a deo ei mandatum erat, innaturaliter sponte sua et insipienter motus sit, cum naturali facultate, quae ei secundum nativitatem data erat ad discretorum unitionem in unitorum potius discretionem abuteretur, et in hoc negotio paene misere esset in non-existentiam relapsus, idcirco innovantur naturae, et incredibili modo ac supra naturam circa id quod natura movetur immobiliter, ut ita dicam, movetur id quod secundum naturam suam plane immobile est, et deus homo fit, ut hominem perditum salvum faciat, et generalis in universitate naturae per semetipsum naturales iungens rupturas, et generales particularium prolatas rationes, quibus discretorum unitio instituenda erat, manifestans magnum dei ac patris consilium impleret, in sese omnia recolligens, tam caelestia quam terrena, in quo etiam condita erant. Profecto igitur generalis qua cuncta in semetipsum congreget unitionis ex nostra discretione facto principio, perfectus homo

3. Hic mendum aliquod latet. 4. *ἀπολλόμενον* cod. Gud., nec semel ita.



Digitized by Google

ἐξ ἡμῶν δι' ἡμᾶς καθ' ἡμᾶς, πάντα τὰ ἡμῶν ἀνελλιπῶς ἔχων, ἁμαρτίας χωρὶς, τῆς κατὰ φύσιν ἀκολουθίας γαμικῆς οὐδόλως εἰς τοῦτο προςδεηθείς· ὁμοῦ τε καὶ κατὰ τὸ αὐτὸ δεικνὺς, ὡς οἶμαι, τυχὸν ὡς ἦν καὶ ἄλλος τρόπος τῆς εἰς πλῆθος τῶν ἀνθρώπων αὐξήσεως προεγνωσμένος θεῷ, εἰ τὴν ἐντολὴν ὁ πρῶτος ἐφύλαξεν ἄνθρωπος καὶ πρὸς κτηνωδίαν ἑαυτὸν τῷ κατὰ παράχρησιν τρόπῳ τῶν οἰκείων δυνάμεων μὴ κατέβαλε, καὶ τὴν κατὰ τὸ ἄῤῥεν καὶ θῆλυ διαφορὰν τε καὶ διαίρεσιν τῆς φύσεως ἐξωθούμενος, ἧς πρὸς τὸ γενέσθαι, καθάπερ ἔφην, ἄνθρωπος, οὐδόλως προςεδεήθη, ὧν δὲ ἄνευ εἶναι τυχόν ἐστι δυνατόν. Ταῦτα εἰς τὸ διηνεκὲς παραμεῖναι
Galat. 3, 28. οὐκ ἀνάγκη. Ἐν γὰρ Χριστῷ Ἰησοῦ, φησὶν ὁ θεῖος ἀπόστολος, οὔτε ἄῤῥεν οὔτε θῆλυ. Εἶτα τὴν καθ' ἡμᾶς ἀγιάσας οἰκουμένην διὰ τῆς οἰκείας ἀνθρωποπρεποῦς ἀναστροφῆς μετὰ θάνατον εἰς τὸν παράδεισον ἀπαραποδίστως χωρεῖ, κα-
Luc. 23, 43. θὼς τῷ λῃστῇ ἀψευδῶς ἐπηγγείλατο, Σήμερον, φήσας, ἔσῃ μετ' ἐμοῦ ἐν τῷ παραδείσῳ. Ἐντεῦθεν ὡς κατ' αὐτὸν λοιπὸν μὴ ἐχούσης πρὸς τὸν παράδεισον διαφορὰν τῆς καθ' ἡμᾶς οἰκουμένης πάλιν ἐπ' αὐτῆς ἐφάνη τοῖς μαθηταῖς συνδιαιτώμενος μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν, δεικνὺς ὡς ἡ γῆ μία οὖσα τυγχάνει πρὸς ἑαυτὴν ἀδιαίρετος, τὸν καθ' ὃν ἐστι λό-
Cod. f. 223 b. γον τῆς κατὰ | τὴν διαφορὰν διαιρέσεως ἐλεύθερον διασώζουσα. Εἶτα διὰ τῆς εἰς οὐρανὸν ἀναλήψεως τὸν οὐρανὸν ἥνωσε δηλονότι καὶ τὴν γῆν, καὶ μετὰ τούτου τοῦ γηΐνου σώματος τοῦ ἡμῖν ὁμοφυοῦς τε καὶ ὁμοουσίου χωρήσας εἰς οὐρανὸν μίαν οὖσαν τῷ κατ' αὐτὴν καθολικωτέρῳ λόγῳ πᾶσαν τὴν αἰσθητὸν φύσιν ἀπέδειξε, τῆς τεμνούσης αὐτὴν ἐν ἑαυτῷ διαιρέσεως ἀμαυρώσας τὴν ἰδιότητα. Ἔπειτα πρὸς τούτοις, τὰ αἰσθητὰ καὶ τὰ νοητὰ καθεξῆς διὰ πάντων τῶν κατ' οὐρανὸν θείων καὶ νοητῶν ταγμάτων διελθὼν μετὰ τῆς ψυχῆς καὶ τοῦ σώματος, τουτέστι τελείας τῆς ἡμετέρας φύσεως, ἥνωσε, τὴν πρὸς τὸ ἓν τῆς ὅλης κτίσεως κατὰ τὸν ἑαυτῆς ἀρχικώτατόν τε καὶ καθολικώτατον λόγον σύννευσιν δείξας ἐν ἑαυτῷ παντελῶς ἀδιαίρετόν τε καὶ ἀστασίαστον. Καὶ τέλος ἐπὶ πᾶσι τούτοις κατὰ τὴν ἐπίνοιαν τῆς ἀνθρωπότητος πρὸς αὐτὸν γίνεται τὸν θεὸν, ἐμφανισθεὶς ὑπὲρ ἡμῶν δηλονότι, καθὼς γέγραπται, τῷ προςώπῳ τοῦ θεοῦ καὶ πατρὸς ὡς ἄνθρωπος, ὁ καθ' οἱονδήποτε τρόπον μηδέποτε τοῦ πατρὸς ὡς λόγος χωρισθῆναι δυνάμενος, πληρώσας ὡς ἄνθρωπος ἔργῳ καὶ ἀληθείᾳ καθ' ὑπακοὴν ἀπαράβατον ὅσα προώρισεν αὐτὸς ὡς θεὸς γενέσθαι, καὶ τελειώσας πᾶσαν βουλὴν τοῦ θεοῦ καὶ πατρὸς ὑπὲρ ἡμῶν τῶν ἀχρειωσάντων τῇ παραχρήσει τὴν ἐξ ἀρχῆς ἡμῖν φυσικῶς πρὸς τοῦτο δοθεῖσαν δύναμιν, καὶ πρῶτον ἑνώσας ἡμῖν ἑαυτοὺς ἐν ἑαυτῷ διὰ τῆς ἀφαιρέσεως τῆς κατὰ τὸ ἄῤῥεν καὶ τὸ θῆλυ διαφορᾶς, καὶ ἀντὶ ἀνδρῶν καὶ γυναικῶν, οἷς ὁ τῆς διαιρέσεως ἐνθεωρεῖται μάλιστα τρόπος, ἀνθρώπους μόνον κυρίως τε

Digitized by Google

fit, ex nobis propter nos ad nos, qui omnia nostra plene habeat, peccati expers, naturalis coniugii convenientiam nequaquam in hoc necessariam habens: pariter et eodem modo ostendens fortasse, uti mihi videtur, alium quoque deo fuisse modum in multitudinem incrementi hominum antea constitutum, si primus homo praeceptum custodivisset neque ad brutorum animalium stoliditatem secundum abusionis facultatum suarum modum descendisset, et differentiam masculini ac feminini et distinctione naturae sustulisset, quam, uti dixi, homo ad generationem nequaquam necessariam habuisset quibusque egere fortasse possumus. Ea in perpetuum servari non necesse est. Nam in Christo Iesu, inquit divinus apostolus, neque masculinum neque femininum. Deinde nostro terrarum orbe sanctificato per suum post mortem, ut fert humana condicio, reditum in paradisum expedite ingreditur, quomodo latroni veraciter annuntiavit, ‚Hodie', dicens, ‚mecum eris in paradiso!' Inde cum de reliquo noster terrarum orbis a paradiso nihil illi distaret, rursus in hac terra apparuit et cum discipulis conversatus est, postquam de mortuis resuscitatus est, et terram unam esse eamque a se ipsa non discretam monstravit, quae eam secundum quam est rationem differentiali distinctione liberam servet. Deinde in caelum receptus adeo caelum, uti apparet, cum terra univit, cumque terreno, cuius et essentia et natura eadem est quae nostra, corpore in caelum ingressus sensibilem omnem naturam cum generaliori sua ratione unam et eandem esse demonstravit, distinctionis quae in semetipso eam dividebat proprietatem obtundens. Deinde ad haec, sensibilia et intellegibilia per omnes deinceps caeli divinos atque intellegibiles ordines transgressus cum anima et corpore, hoc est perfecta nostra natura univit, et universae conditionis secundum potentissimam suam et generalissimam rationem cum unitate conspirationem in semetipso plane indistinctam atque stabilem esse monstravit. Atque postremo ad haec omnia, secundum humanitatis cogitationem, ad ipsum deum accedit, dei et patris oculis nostri nimirum, ut scriptum est, gratia repraesentatus ut homo, qui nullo unquam modo, ut Sermo, de patre secerni potest, postquam ut homo opere et veritate, nunquam laeso obsequio quaecunque fieri ut deus praedestinaverat implevit, omnemque dei ac patris voluntatem nostri gratia exsecutus est, qui potestatem naturaliter nobis a principio in hoc datam abusione irritam reddideramus, atque primum nos cum nobis in semetipso univit, differentia feminini et masculini sublata, proque viris et feminis, in quibus maxime differentiae cernitur modus, homines solummodo pro-

5. Apographum meum praebet *μετὰ τοῦτο*. 6. Apographum habet *ἑαυτοῖς*.

Digitized by Google

καὶ ἀληθῶς [7] ἀποδείξας, κατ' αὐτὸν δὲ ὅλου μεμορφωμένους
Cod. f. 224 a. καὶ σώαν αὐτοῦ καὶ παντελῶς ἀκίβδηλον τὴν | εἰκόνα φέροντας, ἧς κατ' οὐδένα τρόπον οὐδὲν τῶν φθορᾶς γνωρισμάτων ἅπτεται, καὶ σὺν ἡμῖν καὶ δι' ἡμᾶς τὴν ἅπασαν κτίσιν διὰ τῶν μέσων ὡς μερῶν ἰδίων τὰ ἄκρα περιλαβὼν καὶ περὶ ἑαυτὸν ἀλύτως ἀλλήλοις διασφίγξας παράδεισον καὶ οἰκουμένην, οὐρανὸν καὶ γῆν, αἰσθητὰ καὶ νοητά, ὡς σῶμα καὶ αἴσθησιν καὶ ψυχὴν καθ' ἡμᾶς ἔχων καὶ νοῦν, οἷς ὡς μέρεσι καθ' ἕκαστον τὸ ἑκάστῳ καθόλου συγγενὲς οἰκειωσάμενος ἄκρον κατὰ τὸν προαποδοθέντα τρόπον θεοπρεπῶς τὰ πάντα εἰς ἑαυτὸν ἀνεκεφαλαιώσατο, μίαν ὑπάρχουσαν τὴν ἅπασαν κτίσιν δείξας, καθάπερ ἄνθρωπον ἄλλον, τῇ τῶν μερῶν ἑαυτῆς πρὸς ἄλληλα συνόδῳ συμπληρουμένην καὶ πρὸς ἑαυτὴν νεύουσαν τῇ ὁλότητι τῆς ὑπάρξεως, κατὰ τὴν μίαν καὶ ἁπλῆν καὶ ἀπροσδιόριστον, τῆς ἐκ τοῦ μὴ ὄντος παραγωγῆς καὶ ἀδιάφορον ἔννοιαν, καθ' ἣν ἕνα καὶ τὸν αὐτὸν πᾶσα ἡ κτίσις ἐπιδέξασθαι δύναται λόγον παντελῶς ἀδιάκριτον, τὸ οὐκ ἦν τοῦ εἶναι πρεσβύτερον ἔχουσα. Πάντα γὰρ κατὰ τὸν ἀληθῆ λόγον ἀλλήλοις συνεμπίπτει καθ' ὁτιοῦν πάντως, εἰ καὶ μὴ πάντη, τὰ μετὰ θεὸν ὄντα καὶ ἐκ θεοῦ τὸ εἶναι διὰ γενέσεως ἔχοντα, μηδενὸς καθόλου τῶν ὄντων, μηδὲ τῶν ἄγαν τιμίων καὶ ὑπερβεβηκότων τῆς πρὸς τὸ ἄγαν ἄσχετον γενικῆς σχέσεως, παντάπασι φυσικῶς ἀπολελυμένου, μήτε μὴν τοῦ ἐν τοῖς οὖσιν ἀτιμωτάτου τῆς πρὸς τὰ ἀτιμιώτατα κατὰ φύσιν γενικῆς παντελῶς ἀπολιμπανομένου καὶ ἀμοιροῦντος σχέσεως. Πάντα γὰρ τὰ ταῖς οἰκείαις ἰδίως διαφοραῖς ἀλλήλων διακεκριμμένα ταῖς καθόλου καὶ κοιναῖς γενικῶς ταὐτότησιν ἥνωνται, καὶ πρὸς τὸ ἓν καὶ ταὐτὸν ἀλλήλοις γενικῷ τινι λόγῳ φύσεως συνωθοῦνται, οἷον τὰ μὲν γένη κατὰ τὴν
Cod. f. 224 b. οὐσίαν ἀλλήλοις ἑνούμενα τὸ | ἓν ἔχει καὶ ταὐτὸν καὶ ἀδιαίρετον. Οὐδὲν γὰρ τῶν καθόλου καὶ περιεχόντων καὶ γενικῶν τοῖς ἐπὶ μέρους καὶ περιεχομένοις καὶ ἰδικοῖς παντελῶς συνδιαιρεῖται. Οὐ γὰρ ἔτι γενικὸν εἶναι δύναται τὸ μὴ συνάγον τὰ διηρημένα φυσικῶς, ἀλλὰ συνδιαιρούμενον αὐτοῖς, καὶ τῆς οἰκείας μοναδικῆς ἑνότητος ἐξιστάμενον. Πᾶν γὰρ γενικὸν κατὰ τὸν οἰκεῖον λόγον ὅλον ὅλοις ἀδιαιρέτως τοῖς ὑπ' αὐτὸ ἑνικῶς [8] ἐνυπάρχει, καὶ τὸ καθ' ἕκαστον ὅλον ἐνθεωρεῖται γενικῶς. Τὰ δὲ εἴδη κατὰ τὸ γένος ὡσαύτως τῆς ἐν τῇ διαφορᾷ ποικιλίας ἀπολυθέντα τὴν πρὸς ἄλληλα ταὐτότητα δέχεται. Τὰ ἄτομα δὲ κατὰ τὸ εἶδος τὴν πρὸς ἄλληλα δεχόμενα σύμβασιν ἓν καὶ ταὐτὸν ἀλλήλοις πάντη καθέστηκε, τῇ ὁμοφυΐᾳ τὸ ἀπαράλλακτον ἔχοντα καὶ διαφορᾶς πάσης ἐλεύθερον. Τὰ δὲ συμβεβηκότα κατὰ τὸ ὑποκείμενον

---

7. Cod. Gud. a. m. pr. habet ἀπέδειξε. 8. In cod. Gud. extat ἐννυπάρχει πραγματειωδῶς, καὶ τὸ cett. Delevi voc. πραγματειωδῶς, quod glossema videtur esse.

Digitized by Google

prie ac vere repraesentavit, ad sui instar ab omni parte figuratos salvamque eius ac prorsus sinceram imaginem ferentes, cui nullatenus ulla interitus nota adhaeret, cumque nobis propterque nos omnem conditionem per medias partes ut propriarum partium extremitates complexus circum sese indissolubiliter inter se innectens paradisum et orbem terrarum, caelum ac terram, sensibilia et intellegibilia, ut corpus et sensum et animam et mentem non aliter quam nos ipsi habens, quibus ut partibus extremitates singulis quibusque suas generaliter cognatas accommodans modo supra indicato cuncta deo convenienter in semetipsum recollegit, unam esse omnem ostendens conditionem, quemadmodum alium hominem, partium singularum mutuo inter se nexu consummatam, ac subsistentiae integritate atque plenitudine in se ipsam vergentem atque inclinantem, secundum unam atque simplicem atque indefinitam et indifferentem de non-existentia productionis cogitationem, qua unam eandemque potest omnis conditio recipere rationem plane indistinctam, quod ‚Non fuisse' prius quam ‚Esse' habens. Revera etenim sibi invicem secundum quicquid omnino, etiam si non ubique, coincidunt quaecunque post deum sunt existentiasque suas per generationem a deo habent, cum rerum quae existunt nulla omnino, ne iis quidem exceptis quae plurimi aestimandae sunt, quaeque superant, a generali ad summum gradum qui habitu caret relatione naturaliter libera sit, nec rerum utique existentium ne vilissima quidem ab generali et naturae consentanea ad ea quae vilissima sunt relatione destituatur omnino aut expers fiat. Quaecunque enim propriis peculiariter sunt discriminibus inter se distincta, ea generalibus atque communibus generaliter identitatibus sunt unita, adque unitatem et mutuam inter semet identitatem generali quadam ratione naturae compelluntur; sic genera essentialiter sibi invicem unita unitatem habent et identitatem et individuitatem. Nihil enim eorum quae universalia sunt et comprehendentia et generalia ullo simul cum eis modo discernitur quae particularia sunt et comprehensa et specialia. Non enim amplius id potest generale esse quod ea quae secernuntur naturaliter cogere nequeat, sed una cum ipsis secernitur, et de singularitate sua et unitate decedat. Omne enim generale secundum suam rationem totum indivisibiliter in totis sibi ipsi subiectis singulariter inest, et quod singulis privum est totum spectatur generaliter. Species autem secundum genus pariter differentiae varietate solutae mutuam capiunt identitatem. Individua vero secundum speciem mutuam secum ipsis congregationem capientia unum idemque cum ipsis inter sese ubique constant, naturae communitate immutabilitatem sortita et omni a diversitate libertatem. Accidentia vero secundum subie-

Digitized by Google

ἀλλήλοις συγκριθέντα τὸ ἐναΐσιον ἔχει, τῷ ὑποκειμένῳ παντελῶς μὴ σκεδαννύμενον. Καὶ μάρτυς τούτων ἀψευδὴς ὁ ἀληθὴς
Dionys. Areopag. de Divin. Nomin. cap 13. §. 2., p. 531. tom. I. Opp. ed. Ven.
θεήγορος, ὁ μέγας καὶ ἅγιος Διονύσιος ὁ Ἀρεοπαγίτης, ἐν τῷ περὶ τελείου καὶ ἑνὸς κεφαλαίῳ τῆς περὶ Θείων Ὀνομάτων πραγματείας οὕτωσὶ φάσκων· Οὐδὲ γάρ ἐστι πλῆθος ἀμέτοχόν πη τοῦ ἑνός, ἀλλὰ τὸ μὲν πολλὰ τοῖς μέρεσιν ἓν τῷ ὅλῳ, καὶ τὸ πολλὰ τοῖς συμβεβηκόσιν ἓν τῷ ὑποκειμένῳ, καὶ τὸ πολλὰ τῷ ἀριθμῷ ἢ ταῖς δυνάμεσιν ἓν τῷ εἴδει, καὶ τὸ πολλὰ τοῖς εἴδεσιν ἓν τῷ γένει, καὶ τὸ πολλὰ τοῖς προόδοις ἓν τῇ ἀρχῇ, καὶ οὐδέν ἐστι τῶν ὄντων ὃ μὴ μετέχει πη τοῦ ἑνός. Καὶ ἁπλῶς, ἵνα συνελὼν εἴπω, πάντων τῶν διῃρημένων καὶ μερικῶν οἱ λόγοι τοῖς τῶν καθόλου καὶ γενικῶν, ὥς φασι, περιέχονται λόγοις, καὶ τοὺς μὲν τῶν γενικωτέρων καὶ καθολικωτέρων λόγους ὑπὸ τῆς σοφίας συνέ-
Cod. f. 225 a. χεσθαι, τοὺς δὲ τῶν μερικῶν | ποικίλως τοῖς τῶν γενικῶν ἐνισχημένους ὑπὸ τῆς φρονήσεως περιέχεσθαι, καθ' ἣν ἁπλούμενοι πρότερον, καὶ τὴν ἐν τοῖς πράγμασι τοῖς ὑποκειμένοις ἀπολύοντες συμβολικὴν ποικιλίαν, ὑπὸ τῆς σοφίας ἑνίζονται, τὴν εἰς ταὐτότητα τοῖς γενικωτέροις συμφωνίαν δεξάμενοι. Σοφία δὲ τοῦ Θεοῦ καὶ πατρὸς καὶ φρόνησίς ἐστιν ὁ κύριος Ἰησοῦς Χριστὸς, ὁ καὶ τὰ καθόλου τῶν ὄντων συνέχων τῇ δυνάμει τῆς σοφίας, καὶ τὰ συμπληρωτικὰ τούτων μέρη περιέχων τῇ φρονήσει τῆς συνέσεως ὡς πάντων φύσει δημιουργὸς καὶ προνοητὴς, καὶ εἰς ἓν ἄγων τὰ διεστῶτα δι' ἑαυτοῦ, καὶ τὸν ἐν τοῖς οὖσι καταλύων πόλεμον, καὶ πρὸς εἰρηνικὴν φιλίαν τὰ πάντα καὶ ἀδιαίρετον συνδέων ὁμόνοιαν,
Coloss. 1, 20. τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, καθώς φησιν ὁ θεῖος ἀπόστολος.

## Ἄλλη εἰς τὸ αὐτὸ ἄπορον θεωρία.

Καινοτομοῦνται πάλιν αἱ φύσεις, τῆς μὲν θείας δι' ἀγαθότητα καὶ φιλανθρωπίαν ἄμετρον τῆς καθ' ἡμᾶς κατὰ θέλησιν ἑκούσιον σαρκικῆς ὑπερφυῶς [1] ἀνεχομένης γεννήσεως, τῆς ἡμετέρας δὲ παραδόξως ἄσπορον τῷ σαρκωθέντι θεῷ ξένῳ παρὰ τὴν φύσιν θεσμῷ τὴν λογικῶς ἐψυχωμένην γεωργούσης σάρκα, κατὰ πάντα τὴν αὐτὴν ἡμῖν οὖσαν καὶ ἀπαράλλακτον χωρὶς ἁμαρτίας, καὶ τὸ δὴ παραδοξότερον, μηδὲν τοῦ νόμου τῆς παρθενίας τῆς γενομένης μητρὸς διὰ τῆς γεννήσεως τὸ σύνολον μειωθέντος. Καινοτομία δὲ κυρίως οὐ μόνον τὸ γεννηθῆναι χρονικῶς κατὰ σάρκα τὸν ἀνάρχως ἤδη γεγεννημένον ἀφράστως ἐκ τοῦ θεοῦ καὶ πατρὸς θεὸν λόγον, ἀλλὰ καὶ τὸ δοῦναι σάρκα τὴν ἡμετέραν φύσιν ἄνευ σπορᾶς, καὶ τὸ τεκεῖν παρθένον ἄνευ φθορᾶς. Τούτων γὰρ ἕκαστον
Cod. f. 225 b. φανερὰν ἔχον τὴν καινοτομίαν τὸν καθ' ὃν γέγονεν | ἄῤῥητόν τε καὶ ἄγνωστον λόγον παντελῶς ἀποκρύπτεται κατὰ ταὐτὸν

1. In apographo extat ἀνεχόμενος.

Digitized by Google

ctum invicem sibi concreta singulare quoddam habent quod subiecto minime dissipetur. Atque testis horum locuples verax ac divinus vates magnus ille et sanctus Dionysius adest Areopagita, in capite de perfecto et uno operis de Divinis Nominibus conscripti sic disputans: ‚Neque enim multitudo unitatis quidem expers est, immo quod multa est partibus unum est in toto, quodque multa est accidentibus, unum est in subiecto, quodque multa numero sive potestatibus, unum est in specie, quodque multa est speciebus unum est in genere, quodque multa est incrementis, unum est in principio, nullumque eorum quae existunt usquam aut unquam unitatis est expers.‘ Atque simpliciter, ut breviter dicam, omnium distinctarum et particularium rationes universalium et generalium, ut dicunt, rationibus comprehenduntur, ita quidem ut generaliorum magisque universalium rationes a sapientia, particularium contra rationibus generalium varie inhaerentium rationes a prudentia comprehendantur, qua explicitae prius symbolicaque in actionibus subiectis varietate soluta a sapientia in unum coguntur, in identitatem cum generalioribus cognationem adeptae. Sapientia autem dei ac patris et prudentia est dominus Iesus Christus, qui etiam universalia eorum quae sunt sapientiae potestate continet, et completivas horum partes intellegentiae prudentia comprehendit, ut cunctorum naturaliter artifex atque provisor, inque unum congregans per semetipsum ea quae distant, ac bellum in eis quae existunt profligans, et ad pacificum amorem inseparabilemque concordiam cuncta connectens, tam quae in caelis quam quae in terra, ut ait divinus apostolus.

## Altera in eandem quaestionem contemplatio.

Innovantur rursus naturae, divina, cum de bonitate et caritate immensa legibus naturae solutis sponte per carnem humanam generari voluit, nostra, cum admirandum in modum carnem non satam, quae prorsus cum nostra convenit nec nisi hoc uno ab ea differt quod peccatum non capiat, rationaliter animatam alieno praeter naturam vinculo deo qui caro factus est conciliet, quodque magis admirandum est, ita conciliet, ut virginitatis eius quae mater per generationem facta est nequaquam violaretur. Innovatio autem proprie est non solum quod is qui sine principio ineffabili modo ex deo ac patre deus sermo iam generatus erat temporaliter in carne generatus est, sed hoc quoque quod nostra natura carnem sine semine praebuit, et quod virgo inviolata peperit. Horum enim quodque manifestam praeferens innovationem qua natus sit rationem arcanam atque incognitam omnino celat pariter atque demonstrat, alterum modo naturam atque co-

Digitized by Google

καὶ ἀποδείκνυσι, τὸ μὲν τῷ ὑπὲρ φύσιν καὶ γνῶσιν τρόπῳ, τὸ δὲ τῷ λόγῳ τῆς πίστεως, ᾧ πάντα τὰ ὑπὲρ φύσιν καὶ γνῶσιν ἁλίσκεσθαι πέφυκεν. Οὕτω μὲν οὖν, κατ' ἐμὲ φάνει, τὸ ἄπορον ὡς δυνατὸν ἐπιλέλυται, καὶ οὐκ οἶδ' ὅπως ἑτέρως αὐτὸ χρὴ διεξελθεῖν. Τῆς σῆς δ' ἂν εἴη φιλοσοφίας ἢ ἐγκρῖναι τὰ εἰρημένα, ἢ τὰ κρείττω παρ' ἑαυτῆς σοφώτερον ἐξευρεῖν τε καὶ φράσαι, καὶ μεταδοῦναι μοι καρπὸν γνώσεως ὑψηλῆς καὶ μηδὲν ἐχούσης ἐπίγειον.

Greg. Naz. Or. I. in S. Baptisma cap. 2. p. 692. tom. I. Opp. edit. Bened.

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τὸ Βάπτισμα β λόγου, εἰς τὸ, Τρισσὴν γέννησιν ἡμῖν οἶδεν ὁ λόγος, τὴν ἐκ σωμάτων, τὴν ἐκ βαπτίσματος, τὴν ἐξ ἀναστάσεως· εἶτα ἐπειπόντος τούτοις τινὰ, καὶ τὰς γεννήσεις ἑρμηνεύοντος, φῆσαι, Ταύτας δὲ τὰς γεννήσεις ἁπάσας παρ' ἑαυτοῦ τιμήσας ὁ ἐμὸς Χριστὸς φαίνεται, τὴν μὲν τῷ ἐμφυσήματι τῷ πρώτῳ καὶ ζωτικῷ, τὴν δὲ τῇ σαρκώσει καὶ τῷ βαπτίσματι ὅπερ αὐτὸς ἐβαπτίσατο, τὴν δὲ τῇ ἀναστάσει ἧς αὐτὸς ἀπήρξατο, ὡς ἐγένετο πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς, οὕτω καὶ πρωτότοκος ἐκ νεκρῶν γενέσθαι καταξιώσας.

Πῶς ἐν τούτοις ὁ θεόφρων οὗτος διδάσκαλος δοκεῖ περιττοτέραν τὴν ἐπανάληψιν τῶν προρρηθέντων πεποιηκέναι; Τρισσὴν γὰρ εἰπὼν γέννησιν, τὴν ἐκ σωμάτων, τὴν ἐκ βαπτίσματος, τὴν ἐξ ἀναστάσεως, ἐπήγαγεν ὥςπερ ἐπιλαθόμενος διὰ τῆς δοκούσης περιττῆς εἶναι φράσεως καὶ τετάρτην, διὰ τοῦ φᾶναι, Τὴν μὲν τῷ ἐμφυσήματι τῷ πρώτῳ καὶ ζωτικῷ. Ἧς γὰρ μετὰ τῶν τριῶν οὐκ ἐμνημόνευσε γεννήσεων ὡς περὶ προλεχθείσης ἐπήγαγεν εἰπών, Τὴν μὲν τῷ ἐμφυσή-
Cod. f. 229 a. | ματι τῷ πρώτῳ καὶ | ζωτικῷ. Πῶς οὖν τοῦτο κατ' ἀλήθειαν εἴρηκεν ὁ διδάσκαλος, οἶδε πάντως ὁ κατ' ἀρετὴν αὐτῷ γεγονὼς παραπλήσιος, καὶ μὴ πόρρω τῆς αὐτοῦ περὶ τὰ θεῖα σοφῆς ἐπιστήμης διεστηκώς. Ὅσον δ' οὖν ἐμὲ γινώσκειν κατὰ τὸ τῆς ἐμῆς ἀσθενοῦς διανοίας ἀβληχρὸν, οὐκ οἶμαι περιττὴν εἶναι τὴν ἐπαχθεῖσαν τετάρτην γέννησιν, ἀλλὰ μᾶλλον συμπληρωτικὴν τῆς ἐκ σωμάτων προτεθείσης γεννήσεως, καὶ ἑρμηνευτικὴν τῶν ἐπ' αὐτῇ θείων λόγων τε καὶ τρόπων. Ὁ γὰρ τῆς γενέσεως ἕνεκεν τοῦ πρώτου Ἀδὰμ ἄνθρωπος γενέσθαι καταδεξάμενος, καὶ γεννηθῆναι τῆς αὐτοῦ παραβάσεως χάριν οὐκ ἀπαξιώσας, διὰ μὲν τῆς γενέσεως τὴν πρὸς τὸν πεσόντα συγκατάβασιν, διὰ δὲ τῆς γεννήσεως τὴν πρὸς τὸν καταδεδικασμένον ἐκούσιον κένωσιν ἐπεδείξατο· τῇ μὲν γενέσει φυσικῶς εἰς ταὐτὸν τῷ ἀνθρώπῳ κατὰ τὴν ζωτικὴν

Digitized by Google

gnitionem superante, alterum fidei ratione qua quaecunque naturam atque cognitionem superant evincuntur. Sic igitur quaestionem quoad fieri potuit solvisse mihi videor, et qua alia ratione eam enarrem ignoro. At tuae fortasse philosophiae erit aut censuram agere eorum quae disputavi, aut meliora de tuo ipsius penu sapientius invenire et exponere, et cognitionis sublimis omnisque terreni purae fructum mecum communicare.

Eiusdem, ex secundo in Baptismum sermone, in illud, ‚Triplex nativitatis genus agnoscit Scriptura, primam ex corporibus, alteram ex baptismo, tertiam ex resurrectione.' Quibus deinceps addens nonnulla, et nativitates interpretans pergit: ‚Has porro cunctas nativitates honore a Christo meo affectas fuisse constat, primam quidem per primam illam et vitalem insufflationem, secundam vero per incarnationem et baptismum, tertiam denique per resurrectionem quam ipse auspicatus est; nimirum sicut primogenitus in multis fratribus extitit, ita primogenitus quoque ex mortuis fieri non dedignatus.'

Quomodo in istis divinus hic magister uberiorem videtur eorum quae antea dixerat repetitionem instituisse? Triplice etenim nativitate indicata, prima quidem ex corporibus, altera ex baptismate, tertia ex resurrectione, tanquam oblitus, per verba quae superabundare videantur et quartam addidit, dicens, ‚Primam quidem per primam illam ac vitalem insufflationem.' Cuius enim cum tribus reliquis non meminerat nativitatibus, de ea, quasi supra significasset, addidit dicens, ‚Primam quidem per primam illam ac vitalem insufflationem.' Quo igitur modo magister id revera dixerit sciet plane qui virtute illum aequaverit, nec procul a sapiente eius rerum divinarum peritia abstiterit. Sed quatenus ego intellego pro infirmi intellectus mei debilitate, non otiosa videtur esse quarta illa quae superaddita est nativitas, immo potius complere supra dictam illam ex corporibus nativitatem, interpretarique divinas in ea rationes ac modos. Qui enim propter factum primum Adam homo fieri dignatus, eiusque peccati gratia generari non dedignatus est, per factitationem is suam ad eum qui cecidit condescensionem, per generationem vero voluntariam suam exinanitionem in eius qui condemnatus est gratiam designavit: factitatione quidem naturaliter in idem

Digitized by Google

ἀγόμενος ἔμπνευσιν, ἐξ ἧς τὸ κατ' εἰκόνα λαβὼν ὡς ἄνθρωπος ἄπρατον διέμεινεν ἔχων τῆς ἐλευθερίας, τῆς ἀναμαρτησίας καὶ ἄχραντον· τῇ δὲ γεννήσει κατὰ τὴν σάρκωσιν τὴν πρὸς τὸν ἄνθρωπον τῆς φθορᾶς ὁμοίωσιν ἑκουσίως διὰ τῆς δουλικῆς μορφῆς ὑποδὺς τοῖς αὐτοῖς παραπλησίως ἡμῖν κατὰ θέλησιν ὑποκεῖσθαι φυσικοῖς παθήμασι χωρὶς ἁμαρτίας, ὡς ὑπεύθυνος ὁ ἀναμάρτητος, ἠνέσχετο. Κατ' ἄμφω γὰρ ταῦτα μέρη τεμὼν ἐκ μερῶν συνετέθη, καὶ γέγονε τελείως νέος Ἀδὰμ, τὸν πρῶτον τοῖς κατ' ἄμφω μέρεσιν Ἀδὰμ ἐν ἑαυτῷ φέρων ἀμείωτον. Τῆς γὰρ πρὸ τῆς παραβάσεως τοῦ Ἀδὰμ γενέσεως νόμῳ συγκαταβάσεως ἀνασχόμενος κατὰ τὴν πλάσιν τὸ ἀναμάρτητον φυσικῶς λαβὼν διὰ τῆς ἐμπνεύσεως, τὸ
Cod. f. 229 b. ἄφθαρτον οὐ προσέλαβε. | Τῆς δὲ μετὰ τὴν παράβασιν ἐκ καταδίκης γεννήσεως κατὰ τὴν ἑκούσιον κένωσιν τὸ παθητὸν φυσικῶς εἰληφὼς τὸ ἁμαρτητικὸν οὐ προσείληφε, καὶ γίνεται νέος Ἀδὰμ, γένεσιν λαμβάνων τὴν αὐτὴν ἀναμάρτητον καὶ γεννήσεως τῆς αὐτῆς παθητῆς ἀνεχόμενος. Ἄμφω γὰρ ἀλλήλαις τελείως περὶ ἑαυτὸν ἐναλλὰξ τοῖς κατ' ἄμφω μέρεσιν συμπλέξας ἄμφω δι' ἀλλήλων τῇ ἐλλείψει τοῦ περὶ ἑκατέραν ἄκρου δυνατῶς ἐξιάσατο, τῆς μὲν πρώτης καὶ τιμίας τὴν δευτέραν καὶ ἄτιμον ποιούμενος σωστικήν τε καὶ ἀνανεωτικὴν, τῆς δὲ δευτέρας τὴν πρώτην συστατικήν τε καὶ περιποιητικὴν καταστήσας. Ἄκρα δέ φημι τῆς μὲν γενέσεως πρώτης καὶ τιμίας ὑπαρχούσης τὸ ἄφθαρτον, ὡς ἀναμαρτησίας ἀρχὴ, τῆς δὲ γεννήσεως ὡς δευτέρας οὔσης καὶ ἀτίμου τὸ ἁμαρτητικὸν, ὡς παντὸς πάθους αἴτιον καὶ φθορᾶς. Ἅπερ εἰς ἑαυτὸν κατὰ τὴν σάρκωσιν μηδαμῶς εἰληφὼς ὁ σωτὴρ καὶ τὰ δι' αὐτὰ καταδεξάμενος τῆς μὲν γενέσεως τὴν γέννησιν σωστικὴν ἐποιήσατο, τῷ κατ' αὐτὴν πάθει παραδόξως τὴν τῆς γενέσεως ἀφθαρσίαν ἀνανεούμενος, τῆς δ' αὖ πάλιν γεννήσεως τὴν γένεσιν περιποιητικὴν κατεστήσατο, τῇ κατ' αὐτὴν ἀναμαρτησίᾳ τὴν τῆς γεννήσεως καθαγιάζων ἐμπάθειαν, ἵνα τὴν μὲν γένεσιν παντελῶς ἀνασώσηται, τῷ κατ' αὐτὴν. Θεοτελεῖ λόγῳ τὴν φύσιν διακρατοῦσαν, τῆς δὲ γεννήσεως τὴν ὑποπεσοῦσαν αὐτῇ φύσιν διὰ τὴν ἁμαρτίαν παντελῶς ἐλευθερώσῃ, τῷ κατ' αὐτὴν ἴσως τοῖς λοιποῖς ἐπὶ γῆς ζώοις ἐπιῤῥύτῳ τῆς σπορᾶς τρόπῳ μὴ κρατουμένην. Συνάψας οὖν γένεσιν καὶ πλάσιν καὶ ἐμπνευσιν φυσικῶς
Cod. f. 227 a. τῇ | σαρκώσει καὶ τῇ γεννήσει, κατὰ μόνην ἐπίνοιαν ἀλλήλων διέλε, καὶ εὑρήσεις κατὰ τὸν μέγαν διδάσκαλον τὴν τετάρτην γέννησιν, συμπληροῦσαν τὴν ἐκ σωμάτων, καὶ μόνῃ ἐπινοίᾳ τὴν ἀπ' αὐτῆς δεχομένην διάκρισιν κατὰ τὸν ἀποδοθέντα τρόπον. Λέγω δὲ ταὐτὸν εἶναι τὴν γένεσιν προεπινοουμένην φυσικῶς τῆς ἐπεισάκτου γεννήσεως, ἧς ἴδιόν ἐστι τὸ ἐμφύσημα τὸ πρῶτον καὶ ζωτικόν.

Digitized by Google

cum homine secundum vitalem insufflationem deductus, unde dei imaginem nactus, ut homo, invenalem servavit semper libertatem et inpeccantiam inviolatam: generatione autem secundum incarnationem hominis interitui obnoxii similitudinem sponte in servili suscepit forma eisdemque cum nobis affectibus naturalibus subiacere praeter peccatum tanquam obnoxius, qui sine peccato erat, ultro passus est. Bipartito enim secundum utrumque ex partibus est compositus, estque perfecte factus novus Adam, primum Adamum istis secundum utrumque partibus in semetipso circumferens imminutum. Factitationis enim quae ante Adami lapsum contigit lege figurationis sustinens condescensionem id quidem naturaliter per insufflationem recepit ut sine peccato esset, sed incorruptibilitatem haud pariter. Generationis autem post lapsum de damnatione institutae voluntaria sua exinanitione affectus naturaliter cum recepisset, peccandi facultatem non simul recepit, et fit novus Adamus, eandem videlicet factitationem sortitus peccato liberam, simulque generationem eandem cum illo passus affectui obnoxiam. Utramque etenim circa semet atque vicissim partibus utriusque perfecte connectens ambabus per se ipsas utriusque extremitatis defectu mutuam et fortissimam attulit medelam, unius et honorabilis alteram et inhonoratam faciens conservatricem et renovatricem, alterius vero priorem constitutricem et vindicem collocans. Extremitates autem voco primae conditionis et honorabilis incorruptibilitatem, ut quae impeccantiae principium est, generationis vero, ut secundae et inhonorabilis, indolem peccandi, quippe quae omnis passionis atque interitus causa est. Quibus a salvatore cum caro fieret nequaquam receptis, et eis quae per ea sunt admissis, conditionis quidem generationem fecit conservatricem, affectu eius mirum quendam in modum factitationis renovans incorruptibilitatem; item generationis rursus conditionem constituit vindicem, inpeccantia eius statum generationis affectui obnoxium sanctificans, ut conditionem plene salvam faceret, divinae sua perfectionis ratione conservantem naturam, a generatione vero naturam huic propter delictum subiectam plane liberaret, sationis modo, inde fortasse reliquis in terra animalibus adventicio, non domitam. Quod si conditionem et figurationem et insufflationem naturaliter cum incarnatione et cum generatione coniunxeris, distingue has inter se sola cogitatione, et invenies, secundum magnum magistrum, quartam generationem complere eam quae ex corporibus fit, solaque cogitatione capientem istam ab se ipsa distinctionem eo quem enarravi modo. Status autem nihil differre conditionem quae naturaliter ante superadditiciam illam generationem, cuius peculiare est insufflatio prima atque vitalis, animo concipitur.

Digitized by Google

## *Θεωρία εἰς τὸ, Τρισσὴν γέννησιν ἡμῖν οἶδεν ὁ λόγος.*

*Καὶ συλλήβδην εἰπεῖν, εἰ βούλοιο γνῶναι τῶν τοῦ διδασκάλου λόγων τὴν ἀκρίβειαν, ζήτει τίς ὁ κατ' αἰτίαν προηγούμενος τῆς ἀνθρώπου γενέσεως λόγος ἐστὶν, ὃ τῆς ἰδίας ἐντὸς μένων ἀεὶ μονιμότητος ἀνεκφοιτήτως, καὶ τίς ὁ κατὰ τὴν παιδευτικὴν οἰκονομίαν τῆς γεννήσεως αὐτοῦ διὰ τὴν ἁμαρτίαν τρόπος, ὃ τέλος ἔχων τὴν τοῦ παιδαγωγουμένου διόρθωσιν καὶ πρὸς τὸν λόγον τῆς αὐτοῦ γενέσεως τὴν τελείαν ἐπάνοδον, καὶ μαθήσῃ σαφῶς πῶς ὁ θεὸς γενόμενος ἄνθρωπος κατ' ἄμφω τελείως γέγονε, πρὸς ὃν εἶχεν ἀληθῶς τῆς γενέσεως λόγον τὸν κατ' οἰκονομίαν σοφῶς ἐπανάγων τρόπον, καὶ τότε δικαίως θαυμάσεις τῆς συνέσεως τὸν διδάσκαλον, πῶς τὰ κατὰ τὴν φύσιν συνημμένα κατ' ἐπίνοιαν διελὼν τὸν ὅλον τοῦ ἐφ' ἡμῖν θειοτάτου μυστηρίου κρυφίως διετράνωσε λόγον. Τὴν γὰρ ἐκ σωμάτων γέννησιν τῷ ζωτικῷ ἐμφυσήματι καὶ τῇ σαρκώσει κατ' ἐπίνοιαν ἐπιμερίσας τὴν πρὸς τὸν κατὰ τὴν γένεσιν λόγον τοῦ κατὰ τὴν γέννησιν τρόπου διαφορὰν παρῃνίξατο. Ὧν ἐπιλαβόμενος δὲ ἡμᾶς ὁ τὴν φύσιν ἀνακαινίσας θεὸς, μᾶλλον δὲ καινίσας εἰπεῖν ἀληθέστερον, καὶ πρὸς τὸ ἀρχαῖον κάλλος αὐτὴν τῆς ἀφθαρ-*
Cod. f. 227 b. *σίας ἐπαγαγὼν διὰ τῆς | ἐξ ἡμῶν ἁγίας αὐτοῦ καὶ λογικῶς ἐψυχωμένης σαρκὸς, καὶ πλέον παρασχόμενος αὐτῇ φιλοσόφως τὴν θέωσιν, ἧς μεταπεσεῖν παντελῶς ἀμήχανον αὐτῷ τῷ σαρκωθέντι θεῷ ψυχῆς τρόπον ἑνούσης σώματι, δι' ὅλου περιχωρήσασαν ἀσυγχύτως κατὰ τὴν ἕνωσιν, καὶ τῆς αὐτοῦ καὶ αὐτὴν ἐκφάνσεως τοσοῦτον ἀντιλαβοῦσαν τὸ κρύπτεσθαι ὅσον αὐτὸς δι' αὐτὴν γέγονε φανερὸς καὶ τῆς οἰκείας φυσικῆς κρυφιότητος ἐκβεβηκὼς ἐνομίσθη· καὶ τί τούτου παραδοξότερον, ὅτι φύσει θεὸς ὑπάρχων, καὶ ἄνθρωπος φύσει γενέσθαι καταξιώσας, οὐδετέρας φύσεως τοὺς φυσικοὺς ὅρους διὰ τῆς ἑτέρας παντελῶς παρέμειψεν, ἀλλ' ὅλος θεὸς ὢν ὅλος γενόμενος διέμεινεν ἄνθρωπος; οὐ τῷ εἶναι θεὸς ἄνθρωπος γενέσθαι κωλυόμενος, οὔτε μὴν τῷ γενέσθαι ἄνθρωπος τοῦ εἶναι θεὸς ἐλαττούμενος, εἷς καὶ ὁ αὐτὸς ὅλος δι' ἀμφοῖν συντηρούμενος, ἄμφω φυσικῶς κατὰ ἀλήθειαν ὑπάρχων, μήτε τῷ ἀκραιφνεῖ τῆς κατ' οὐσίαν τῶν μερῶν φυσικῆς διαφορᾶς διαιρούμενος, μήτε μὴν τῷ ἄκρως μοναδικῷ τῆς ὑποστάσεως συγχεόμενος, οὐ [1]τραπεὶς εἰς τὴν κάτω φύσιν καὶ εἰς ὅπερ οὐκ ἦν μεταπεσών. Οὐ φαντάσας σαρκὸς εἶδει καὶ σχήματι τὴν οἰκονομίαν, καὶ ὅσα ἑτέρα καθ' ὑποκειμένου λέγεται εἶναι χωρὶς τοῦ ὑποκειμένου λαβὼν, ταύτην ἐπλήρωσεν, ἀλλ' αὐτὴν κυρίως πράγματι καὶ ἀληθείᾳ τὴν ἀνθρωπίνην προσλαβὼν φύσιν ἥνωσεν ἑαυτῷ καθ' ὑπόστασιν ἀτρέπτως καὶ ἀναλλοιώτως καὶ ἀμειώτως καὶ ἀδιαιρέτως, τῷ κατ' οὐσίαν αὐτῆς λόγῳ καὶ ὅρῳ συνέχων ἀνέκπτωτον. Καθ' ἣν καὶ τὴν ἐκ σωμάτων*

Digitized by Google

## Contemplatio in illud, ‚Triplex nativitatis genus nobis agnoscit scriptura.'

Utque paucis absolvam, si magistri accuratam in disputando diligentiam cognoscere vis, quaere quaenam sit illa hominis generationem causaliter praecedens ratio, quae in sua stabilitate perseverat nunquam egressura, et quis sit generationis eius ex delicto secundum institutorium vel castigatorium dei consilium modus, cuius finis est eius qui instituitur emendatio adque rationem conditionis suae perfectus reditus, et luculenter disces quomodo deus cum homo fieret ex utroque perfectus factus sit, ad eum quem habebat revera conditionis rationem divini consilii modum sapienter reducens, et tum iure admiraberis de magistri acumine, quod ea quae naturaliter cohaerent cogitatione segregans totam mysterii si quod aliud divini in nobis occulte manifestavit rationem. Corporalem enim generationem vitali insufflatione et incarnatione in mente distinguens generatorii modi a conditionis ratione differentiam obscure significavit. Quas nostra causa deus naturae renovator, verius dixerim novator, assumpsit, adque pristinum honorem incorruptibilitatis illam adduxit per sanctam suam quae de nobis sumpta et rationabiliter animata erat carnem, eamque liberaliter insuper deificatione ornavit, de qua ad animae instar in corpore inhabitante ipsi qui incarnatus est deo excidere haud liceret, quae totum inconfuse secundum unitionem circumiret, proque ipsius per eam manifestatione in tantum occultari reciperet in quantum ipse per eam manifestatus et occultationem suam egressus esse putatus est: et quid hoc admirabilius? quod naturaliter deus existens, et homo tamen naturaliter fieri dignatus, neutrius naturae naturales omnino fines per alteram migravit, sed totus deus existens totus homo factus perseveravit? eo quod deus est quominus homo fieret non prohibitus, neque profecto eo quod homo factus est deitate deminutus, unus et idem totus per utrumque semper consistens, et tamen revera utrumque, et homo et deus, naturaliter existens, neque essentiali partium naturalis differentiae integritate divisus, neque singularitate substantiae confusus, non mutatus in inferiorem naturam aut in id quod non esset delapsus. Carnis specie et forma divinum haud prae se ferens consilium, et quae alia ad subiectum pertinere dicuntur praeter subiectum recipiens, consummavit illud, sed ipsam proprie et revera assumptam humanam secum ipso naturam substantialiter coadunavit stabiliter et constanter et integre et inseparabiliter, atque essentiali eius ratione ac fine ne dilaberetur continuit.

1. In apographo cod. Gud. meo extat τραπεὶς τὴν κατὰ φύσιν cett.

Digitized by Google

Cod. f. 228 a. κατὰ τὸν ἅγιον τοῦτον καὶ μέγαν | διδάσκαλον ἡμετέραν ἐτίμησε γέννησιν, καὶ γενόμενος ἄνθρωπος ἀληθῶς καὶ ἀνθρωπίνως γεννώμενος, ἵνα ἡμᾶς τῶν δεσμῶν τῆς γεννήσεως ἐλευθερώσῃ, καὶ τοῦ παραπλησίως χόρτου σπειρομένους ἐκ καταδίκης διὰ τὴν ἁμαρτίαν φύεσθαι νόμου, καὶ τοῦ τὴν αὐτὴν ἔχειν φυτοῖς τε καὶ ἀλόγοις ζώοις τῆς πρὸς τὸ εἶναι γενέσεως τὴν συγγένειαν. Ὡς πού φησιν ὁ μέγας καὶ τῶν μεγάλων θεατὴς Ἰεζεκιὴλ τὰ θεῖα μυσταγωγούμενος καὶ τὴν αἰτίαν τῆς νῦν περὶ τὸν ἄνθρωπον ὑπαρχούσης οἰκονομίας ἐκπαιδευόμενος, ὡς πρὸς Ἱερουσαλὴμ φάσκων, Τάδε λέγει
Ezech. 16, 3 sqq. κύριος τῇ Ἱερουσαλὴμ, Ἡ ῥίζα σου καὶ ἡ γέννησίς σου ἐκ γῆς Χαναὰν, ὁ πατήρ σου Ἀμοιῤῥαῖος, καὶ ἡ μήτηρ σου Χεττταία· ἐν ἡμέρᾳ ᾗ ἐτέχθης οὐκ ἔδησαν τὸν [2] ὀμφαλόν σου, καὶ ἐν ὕδατι οὐκ ἐλούθης, οὐδὲ ἁλὶ ἡλίσθης, καὶ σπαργάνοις οὐκ ἐσπαργανώθης, καὶ ἀπερῤῥίφης ἐπὶ πρόσωπον τοῦ πεδίου τῇ σκολιότητι τῆς ψυχῆς σου ἐν ᾗ ἡμέρᾳ ἐτέχθης· καὶ διῆλθον ἐπὶ σὲ, καὶ εἶδον σε πεφυρμένην ἐν τῷ αἵματί σου, καὶ εἶπα σοι, Ἐκ τοῦ αἵματός σου ἡ ζωή σου, πληθύνου, καθὼς ἡ ἀνατολὴ τοῦ ἄγρου δέδωκά σε. Τῆς οὖν τοῦ φύεσθαι διὰ τῆς σπορᾶς ἴσα χόρτῳ καὶ δι' αἵματος κατὰ τὰ λοιπὰ ζῶα τὴν ζωὴν ἔχειν καταδίκης ὁ τὴν φύσιν ἐξιώμενος καὶ πρὸς τὴν ἀρχαίαν τῆς ἀφθαρσίας χάριν ἐπανάγων κύριος, ἦλθεν αὐτὴν ἐλευθερῶσαι, καὶ ἐμφανῶς μὲν αὐτῇ δεῖξαι πρὸς ὅπερ γενομένη κατ' ἀρχὰς οὐδόλως ἐκινήθη καλὸν, καὶ πατῆσαι τὸ πονηρὸν πρὸς ὅπερ ἅμα τῷ γενέσθαι διὰ τῆς ἀπάτης τὴν ὅλην αὐτῆς κινηθεῖσα παρὰ φύσιν κατεκένωσε δύναμιν, καὶ καταδῆσαι πρὸς ἑαυτὸν τὴν τῆς ἐπιθυμίας δύναμιν (ἧς ὑπάρχει ὁ
Cod. f. 228 b. ὀμφαλὸς | σύμβολον), τὴν ἐν τῷ ἀγαθῷ γόνιμον ἕξιν λαβοῦσαν παγίαν καὶ ἀμετάπτωτον, καὶ λοῦσαι ἐν ὕδατι, καθᾶραι λέγω τῶν μολυσμῶν τῆς ἀγνοίας τῷ πελάγει τῆς περιχυθείσης αὐτῇ κατὰ τὴν χάριν γνώσεως, καὶ ἁλίσαι ἁλὶ, καὶ σπαργανῶσαι σπαργάνοις, τουτέστι τὴν πρὸς ὅπερ γέγονεν ἀγαθὸν φυσικὴν ἐνέργειαν ἀπριξ στερεώσας τῷ πνεύματι, σήψεως παθῶν καθαρὰν καταστῆσαι καὶ ἀνεπίδεκτον, καὶ τῇ περιβολῇ τῶν ἐν τοῖς οὖσιν ἀληθῶν λόγων δίκην σπαργάνων περισφίγξας ἀδιάχυτον παντελῶς ἀπεργάσασθαι.

## Ἄλλη εἰς τὸ αὐτὸ θεωρία.

Τυχὸν δὲ διὰ τῶν εἰρημένων ὁ διδάσκαλος διττὸν εἶναι τὸν κατὰ τὴν γένεσιν τῆς ἀνθρωπίνης φύσεως λόγον τε καὶ τρόπον εἰσηγούμενος, τὸν μὲν ψυχῆς, τὸν δὲ σώματος, τὴν ἐκ σωμάτων γέννησιν εἰς δύο κατ' ἐπίνοιαν διεῖλε γεννήσεις, τὴν μὲν ψυχὴν ἐμφαίνων ἀῤῥήτως ἐκ τοῦ θείου καὶ ζωτικοῦ ἐμφυσήματος συνισταμένην, τὸ δὲ σῶμα ἐκ τῆς ὑποκειμένης ὕλης τοῦ ἐξ οὗπερ ἐστὶν ἅμα τῇ ψυχῇ κατὰ τὴν σύλληψιν γινόμενον σώματος. Οὐ γὰρ τὸν αὐτὸν ἀπαραλλάκτως φάναι

Digitized by Google

Qua etiam corporalem, secundum sanctum hunc et magnum magistrum, nostram generationem honoravit, et homo vere factus et humanum in modum generatus, ut nos de generationis vinculis solveret, ac de lege qua nos ad foeni instar ob peccatum seri et nasci consuevimus, quaque in parem cognatamque cum plantis atque brutis animalibus existentiam procreamur. Ut alicubi magnus magnorumque spectator Ezechiel divina mysteria initiatus causamque praesentis circa hominem dei consilii edoctus, veluti ad Hierusalem verba faciens, ‚Haecce', ait, ‚dominus dicit Hierusalem, Radix tua et generatio tua de terra Chananaea, pater tuus Amoirrhaeus et mater tua Hetthaea: in die qua nata es, non ligatus est umbilicus tuus, et in aqua non es lota, nec sale salita, nec involuta pannis: et proiecta es super faciem terrae in abiectione animae tuae in die qua nata es: et transivi ad te, et vidi te conculcari in sanguine tuo, et dixi tibi, Ex sanguine tuo vita tua, Multiplicare, ut ortum agri dedi te.' Damnatoria igitur lege, qua per sationem parem cum gramine, et per sanguinem eandem cum reliquis animalibus vitam habemus, liberaturus naturam venit dominus, naturae persanator et ad pristinam incorruptibilitatis gratiam deductor, simulque luculenter ei monstraturus pulchrum ad quod condita principio haudquaquam promota est, et malum conculcaturus, ad quod simul atque facta est fraudulenter omne suum innaturaliter promota robur exinanivit, et colligaturus concupiscentiae vim (cuius umbilicus est imago), quae genitabilem in bono habitum firmum atque stabilem sortita est, et loturus in aqua, purgaturus inquam de ignorantiae inquinamentis in unda cognitionis secundum gratiam ipsi circumfusae, et saliturus sale, et involuturus pannis, hoc est naturalem ad quod bonum procreata est actionem spiritu firmiter solidando, putrefactionis affectuum puram reddituras et incapacem, et verarum in rebus quae sunt rationum amictu pannorum modo circumstringendo ab omni effusione cohibiturus.

## Alia in idem contemplatio.

Fortasse vero istis verbis magister duplicem esse humanae secundum conditionem naturae rationem ac modum statuens, alterum animae, alterum corporis, corporalem generationem in duas cogitatione divisit generationes, animam quidem occulte significans ex divino atque vitali insufflatione constare, corpus vero ex subiecta materia eius unde sit corporis simul cum anima conceptionis via fieri. Neque enim

2. Apographum praebet *ὀφθαλμόν σου:*



Digitized by Google

θέμις ἐπ' ἀμφοῖν τῆς γενέσεως εἶναι τὸν λόγον καὶ τὸν τρόπον, ἅτι μηδὲ ταὐτὸν ἀλλήλοις κατὰ τὴν οὐσίαν ἄμφω ταῦτα τυγχάνουσιν. Ὧν γὰρ ἀλλήλοις μὴ ταὐτόν ἐστι τὸ εἶναι, τούτων δηλονότι καὶ ὁ πρὸς ἄλληλα τῆς γενέσεως παρήλλαχται λόγος καὶ τρόπος. Ἀλλὰ ψυχῆς μὲν ἄλλον εἶναι δίκαιον οἴεσθαι καὶ λόγον καὶ τρόπον, καθ' ὃν γίνεταί τε καὶ ἔστι καὶ διαμένει, καὶ ἄλλον ὁμοίως σώματος, καθ' ὃν γίνεταί τε καὶ ἔστι καὶ ἀμεταβόλως μένει σῶμα καὶ ψυχῇ συναπτόμενον.

Cod. f. 229 a. | *Θεωρία σύντομος πρὸς τοὺς λέγοντας προϋπάρχειν ἢ μεθυπάρχειν τῶν σωμάτων τὰς ψυχάς.*

Εἰ καὶ ἅμα κατὰ τὴν ὕπαρξιν ἀμφοτέρων, ψυχῆς λέγω καὶ σώματος, ὁ αὐτός ἐστι τῆς γενέσεως χρόνος, οὐδενὸς τοῦ ἑτέρου προϋπάρχοντος, ὡς ἔφην, κατὰ τὴν γένεσιν ἢ μεθυπάρχοντος, ἵνα μὴ τοῦ ἐξ ἀμφοῖν εἴδους ὡς ὅλου λυθῇ, [1] δικαίως ἂν ὁ τοῦ πρός τι λόγος πρεσβυτέραν ἔχων καθ' ἑαυτὴν οὖσαν τὴν τοῦ ἑνὸς ὡς μέρους ὑπόστασιν, καὶ πρὸς ἄλλο κατὰ τὴν φύσιν [2] παντάπασιν ἄσχετον ἔχουσαν τὴν [3] ἕνωσιν, καὶ διὰ τοῦτο μηδέποτε τὴν σὺν ἄλλῳ κατὰ σύνθεσιν ἄλλου τινὸς φυσικῶς συμπληροῦσαν ὑπόστασιν χωρὶς φθορᾶς καὶ τῆς πρὸς ὅπερ οὐκ ἦν ἀλλοιώσεως. Τὸ γὰρ καθ' ἑαυτὸ ἰδικῶς προϋφιστάμενον εἰς ἄλλου τινὸς εἴδους ὑπόστασιν οὐ πέφυκεν ἄγεσθαι. Εἰ δὲ εἰς τὴν ἑτέρου εἴδους συμπλήρωσιν τὴν πρὸς ἄλλο δέχεται σύνθεσιν τὸ προϋφιστάμενον, ἢ κατὰ φύσιν τοῦτο ποιεῖ πάντως, ἢ παρὰ φύσιν. Καὶ εἰ μὲν κατὰ φύσιν, οὐδέποτε τῆς [4] πρὸς ἄλλο πρὸς ἐκπλήρωσιν εἴδους ἑτέρου [5] συνθέσεως παυόμενον ὁραθήσεται, διὰ τὴν βίαν τῆς φύσεως ἑαυτῆς ἐκστῆναι μὴ δυναμένης, καὶ τούτῳ τῷ λόγῳ οὔτε σώματος χωρὶς ἡ ψυχὴ, οὔτε ψυχῆς σῶμά ποτε νοηθήσεται, καὶ περιετράπη τοῖς περιττοῖς τὴν σύνεσιν εἰς ἠλιθιότητα τὸ σοφὸν, ἐναχθεῖσι βίᾳ πρὸς ὅπερ φεύγειν ἐσπούδασαν. Εἰ δὲ παρὰ φύσιν τὴν πρὸς ἄλλου συμπλήρωσιν εἴδους θάτερον τούτων τὴν πρὸς τὸ ἕτερον δέχεται σύνθεσιν, φθείρεται πάντως, τοῦ κατὰ φύσιν ἐξιστάμενον ὅρου, καὶ γινόμενον ὅπερ μὴ [6] πέφυκε, καὶ εἰς ὅπερ οὐκ ἦν μεταπίπτον. Οὔ τί γένοιτ' ἂν ἀσυνετώτερον; Ἀλλ' ἐπὶ τὸ προκείμενον
Cod. f. 229 b. ἐπανέλθωμεν. | Ψυχῆς μὲν οὖν γένεσις, ὡς φησιν ἐμφαντικῶς ὁ διδάσκαλος, ἐξ ὑποκειμένης ὕλης οὐ γίνεται, καθάπερ τὰ σώματα, ἀλλὰ τῷ βουλήματι τοῦ θεοῦ διὰ τῆς ζωτικῆς ἐμπνεύσεως ἀῤῥήτως τε καὶ ἀγνώστως, ὡς οἶδε μόνος ὁ ταύτης δημιουργός. Ἡ ψυχὴ τὸ εἶναι λαμβάνουσα κατὰ τὴν σύλληψιν ἅμα τῷ σώματι πρὸς ἑνὸς ἀνθρώπου συμπλήρωσιν ἄγεται, τὸ δὲ σῶμα ἐκ τῆς ὑποκειμένης ὕλης τοῦ ἑτέρου δη-

1. δίκαιος suspicabantur editores Galland. 2. παντάπασιν om. ed. Galland. 3. γνῶσιν ed. Gall. 4. πρὸς ἄλλο non habet ed. Gall. 5. συνθέτως ed. Gall.

Digitized by Google

fas est absque ulla differentia in utroque eandem conditionis dicere rationem et modum, quoniam nec idem de essentia ambo existunt. Quorum enim existentia non eadem est, horum et conditionis rationem ac modum discrepare patet. Immo, animae quidem par est credere alium esse et rationem et modum, quo fiat et sit et perseveret, et alium similiter corporis, quo fiat et sit et sine ulla immutatione maneat, et cum anima copulatum, corpus.

## Contemplatio brevis ad eos qui dicunt animas ante vel post corpora existere.

Quamvis simul iuxta substantiam utriusque, animae inquam et corporis, idem est generationis tempus, cum neutrum alteri praeexistat, quemadmodum dixi, secundum generationem, vel post existat, ne ex formae de utroque conflatae integritate solvatur, iusta videri queat ratio relativa, qua praecedere substantiam unius tanquam partis secundum se existentem putes, quae ad aliud secundum naturam irrelativam omnino habeat unitionem, ac propterea nunquam cum alio de compositione alterius cuiusdam naturaliter compleat substantiam, quin id fiat cum corruptione et mutatione in id quod non erat. Quod enim per se singulatim praeexistebat, in alterius cuiusdam speciei substantiam transferri per naturam non potest. Si vero in alterius speciei complementum quod praeexistebat ad aliud compositionem suscipit, aut secundum naturam istud omnino facit aut contra naturam. Ac si quidem secundum naturam, nunquam videbitur cessare a compositione ad aliud quae in alterius speciei complementum fiat, propter vim naturae, quae se ipsam deserere nequit, atque hac ratione nec sine corpore anima, nec sine anima corpus unquam concipietur animo, atque intellegentissimis istis sapientia in stultitiam conversa est, suntque eo delati necessario quod vitare studebant. At si contra naturam suscipit compositionem ad aliud pro alterius speciei complemento alterutrum horum, corrumpitur omnino, quippe quod fines naturae egrediatur, fiatque id quod natura comparatum non est, ut sit et evadat quod non erat. Quo quid stolidius esse possit? Sed ad propositum revertamur. Animae igitur generatio, ut ait scite magister, ex subiecta materia non fit, quemadmodum corpora, sed voluntate dei per inspirationem vitalem ineffabiliter et modo quem scire non possumus, ut novit solus eius conditor. Anima existentiam suam accipiens in conceptione una cum corpore ad unius hominis complementum agitur, corpus ex subiecta materia, altero nempe

6. πέφυκεν ed. Gall.



Digitized by Google

λαδὴ γίνεται σώματος κατὰ τὴν σύλληψιν, ἅμα τῇ ψυχῇ [7] τὴν τοῦ ἓν εἶδος εἶναι σὺν αὐτῇ δεχόμενον σύνθεσιν. Ὅπερ ἀλ-
Greg. Naz. Or. Theol. IV. de Filio cap. 20, p. 554. tom. I. Opp. edit. Bened.
λαχοῦ τρανότερον ἐμφαίνων φησὶν ὁ διδάσκαλος, Κατὰ τὴν διπλῆν τοῦ ἐμφυσήματος δύναμιν, καὶ πνοὴν ἐμφυσώμενοι πάντες καὶ πνεῦμα ἅγιον· [8] Μεριστέον οὖν τῇ ἐπινοίᾳ κατὰ τὴν σύλληψιν τὸ μὲν ζωτικὸν ἐμφύσημα καὶ τὸ πνεῦμα τὸ ἅγιον τῇ νοερᾷ τῆς ψυχῆς οὐσίᾳ, τὴν δὲ σάρκωσιν καὶ τὴν πνοὴν τῇ φύσει τοῦ σώματος, καθὼς οἱ πατέρες [9] φασί. Καὶ ἡ τοῦ προπάτορος Ἀδὰμ μυστικῶς παρήχθη γένεσις, ἕτερον τῆς ψυχῆς ἔχουσα τόν τε τοῦ εἶναι λόγον καὶ τὸν τοῦ γενέσθαι τρόπον, καὶ ἕτερον δηλαδὴ τοῦ [10] σώματος, ὡς τὸ θεῖον ἡμᾶς μεγαλοφυῶς ἐμυσταγώγησε γράμμα, μὴ συγχωροῦν τὴν ψυχὴν καὶ τὸ σῶμα καθ' ἕνα καὶ τὸν αὐτὸν τρόπον [11] τῆς γενέσεως ἀλλήλοις συμπεσόντα φυρῆναι κατὰ τὴν φύσιν καὶ τὸν ἑκάστου τῆς οὐσίας λόγον ἀγνοηθῆναι, καὶ τὸν τῆς γενέσεως τρόπον. Εἰ δὲ τῷ Ἀδὰμ [12] ἐνηκολούθησεν ἡ διπλῆ τοῦ ἐμφυσήματος δύναμις κατὰ τὴν εἰς τὸ εἶναι γένεσιν σύνδρομος, τί ἂν τις εἴποι περὶ τοῦ κατὰ τὴν ἀνθρωπότητα συναμφοτέρου τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ψυχῆς λέγω καὶ σώματος; ὅπερ κρᾶμα κατὰ τὸ δυνατὸν ἐμφέρειαν σώζει πολλὴν πρὸς τὸν πρῶτον Ἀδάμ. Ὥσπερ γὰρ, ὡς αὐτός φησιν ὁ διδάσκαλος, παρὰ
Cod. f. 230 a.
τῆς ὕλης τὸ σῶμα | λαβὼν ὁ θεὸς, [13] νεοτελοῦς δηλονότι προϋποστάσης, παρ' ἑαυτοῦ δὲ ζωὴν ἐνθεὶς, ὃ δὴ νοερὰν ψυχὴν καὶ εἰκόνα θεοῦ οἶδεν ὁ λόγος, δημιουργεῖ τὸν ἄνθρωπον, τὸν αὐτὸν τρόπον καὶ ἐξ ἀχράντου παρθένου οἱονεὶ γῆς ἀμιάντου τὸ σῶμα λαβὼν, παρ' ἑαυτοῦ δὲ ζωὴν ἐνθεὶς, ὃ δὴ [14] ψυχὴν νοερὰν καὶ εἰκόνα θεοῦ οἶδεν ὁ λόγος, [15] τὸ ἑαυτοῦ ἀνθρώπινον ἐδημιούργησεν, ἢ ἑαυτὸν ἀτρέπτως κατὰ πρόσληψιν σαρκὸς, νοερῶς τε καὶ λογικῶς ἐψυχομένης, δι' ἡμᾶς ἑκουσίως ὡς παντοδύναμος δημιουργήσας ἐποίησεν ἄνθρωπον. Ταύτῃ γοῦν καὶ τετιμηκέναι, καθάπερ οἶμαι, φησὶν ὁ διδάσκαλος τὸν κύριον ἡμῶν καὶ θεὸν τὴν καθ' ἡμᾶς τρισσὴν γέννησιν, τουτέστι τοὺς καθόλου τρόπους τῆς ἡμῶν εἰς τὸ εἶναι καὶ [16] τὸ εὖ εἶναι καὶ ἀεὶ εἶναι γενέσεως, τὴν μὲν ἐκ σωμάτων, μίαν οὖσαν τοῦ συναμφοτέρου κατὰ τὴν ἅμα τῶν μερῶν ἀλλήλοις συνύπαρξιν, ψυχῆς λέγω καὶ σώματος, εἰς δύο διαιρουμένην, διὰ τὸν ἑτεροῖον τῆς ἑκατέρου γενέσεως τρόπον, δι' ἧς τὸ εἶναι λαμβάνομεν, τὴν δὲ ἐκ βαπτίσματος, καθ' ἣν τὸ εὖ εἶναι πλουσίως ὑποδεχόμεθα, τὴν δὲ ἐξ ἀναστάσεως, καθ' ἣν πρὸς τὸ ἀεὶ εἶναι διὰ χάριτος μεταποιούμεθα. Ἀκριβῶς τοίνυν δεῖ τοῖς τοῦ διδασκάλου λόγοις ἐπισκήπτειν διὰ τοὺς ἐπηρεαστὰς τῶν καλῶς κειμένων. Τῇ γὰρ ἐπινοίᾳ μόνῃ διελὼν τὴν ἐκ σωμάτων γέννησιν διὰ τὴν ἀποδοθεῖσαν αἰτίαν, ἅμα τῇ συλλήψει κατὰ ταὐτὸν χρο-

---

7. πρὸς τὴν ed. Gall. 8. μεριστὸν ed. Gall. 9. φασὶν ed. Gall.

Digitized by Google

corpore, fit per conceptionem, simul cum anima compositionem, qua una cum illa species prodeat, accipiens. Quod alibi manifestius ostendens dicit magister: Per duplicem insufflationis virtutem, et spiramen inspirati omnes, et spiritum sanctum. Dividenda est igitur cogitatione in conceptione inspiratio vivifica atque spiritus sanctus intellectuali animal essentiae, et incarnatio atque insufflatio corporis naturae, quemadmodum patres aiunt. Et progenitoris Adae mystice producta est generatio, aliam animae habens existendique rationem et nativitatis modum, et aliam nimirum corporis, sicut divinae nos magnifice docuerunt litterae, non sinentes ut anima et corpus uno eodemque modo generationis invicem concurrentia commiscerentur secundum naturam et ignoraretur cuiusque ratio essentiae et modus generationis. Quod si Adamo consequenter contigit duplex insufflationis virtus concurrens ad existentiae procreationem, quid dicere quis valeat de deo et salvatore nostro Iesu Christo, qui secundum humanitatem utrumque habet, animam videlicet et corpus? quae complexio quantum fieri potest magnam similitudinem servat cum primo Adam. Quemadmodum enim, sicut idem ait doctor, a materia capiens corpus deus, quae recens videlicet subsistebat antea, a se vero vitam indens, quod nimirum intellectualem animam et imaginem dei scriptura intellegit, hominem efformavit, haud aliter etiam ex intaminata virgine tanquam intemerata terra corpus assumens, ex se autem vitam indens, quod nimirum animam intellectualem et dei imaginem scriptura novit, humanitatem suam operatus est, vel seipsum immutabiliter secundum assumptionem carnis, intellectualiter rationaliterque animatae, propter nos sponte, utpote omnipotens conditor, hominem fecit. Hoc quidem pacto et honorasse dicit, sicut existimo, magister dominum et deum nostrum triplicem nostram nativitatem, id est generales modos generationis nostrae in existentiam, in bonam existentiam, in aeternam existentiam: generationem inquam ex corporibus, quae una est utriusque secundum mutuam partium inter se coexistentiam, animae videlicet et corporis, sed bifariam divisa, propter diversum utriusque generationis modum, per quam existentiam accipimus: alteram ex baptismate, per quam bene esse abunde consequimur: tertiam ex resurrectione, qua ad aeternam existentiam per gratiam commutamur. Diligenter igitur attendendum est verbis magistri propter calumniatores eorum quae probe stant. Sola enim cogitatione distinguens nativitatem ex corporibus, propter allatam

10. *σώματος τὸν τοῦ εἶναι λόγον καὶ τοῦ γενέσθαι τρόπον, ὡς* cett. ed. Gall. 11. cod. Gud. apographum habet *καὶ* pro *τῆς*. 12. *ἐπηκολούσησεν* ed. Gall. 13. *νεοτελοῦ* ed. Gall. 14. *νοερὰν ψυχὴν* ed. Gall. 15. *τὸ ἀνθρώπινον ἑαυτοῦ* ed. Gall. 16. *τὸ* om. ed. Gall.

Digitized by Google

νικῆς οὐδ' ὅλως ῥοπῆς προεπινοουμένης, εἰληφέναι τὸν κύριον τὸ ζωτικὸν πνεῦμα, ἤτοι ἐμφύσημα κατὰ τὸ ἀνθρώπινον αὐτοῦ, λέγω δὲ τὴν νοερὰν ψυχὴν μετὰ τοῦ σώματος τοῦ ἐκ τῆς ἀχράντου [17] παρθένου, καὶ οὐ μετὰ τὴν σύλληψιν, ὁ διδάσκαλος διορίζεται.

## Πρὸς τοὺς λέγοντας προϋπάρχειν τῶν σωμάτων τὰς ψυχάς.

Τινὲς μὲν γάρ φασιν, ὡς ἤδη προλαβὼν ἔφην, προϋ-
Cod. f. 230 b. πάρχειν | τῶν σωμάτων τὰς ψυχὰς, [1] τινὲς δὲ τὸ ἐναντίον, τῶν ψυχῶν προϋπάρχειν τὰ σώματα. Ἡμεῖς δὲ τὴν μέσην ὁδὸν ὡς βασιλικὴν κατὰ τοὺς πατέρας ἡμῶν ὁδεύοντες οὔτε [2] προϋπαρξιν οὔτε μεθύπαρξιν ψυχῆς ἢ σώματος, συνύπαρξιν δὲ μᾶλλόν φαμεν, τὰς ἐφ' ἑκάτερα φυλαττόμενοι [3] ἐγκλίσεις, καὶ μήτε [4] ἀριστερὰ μήτε δεξιὰ, καθώς φησιν ἡ ἁγία γραφὴ, παντάπασι ῥέποντες, φόβον φοβούμενοι, οὗ πλέον φοβεῖσθαι οὐδέν ἐστι φοβερώτερον, μήπως προϋπάρχειν λέγοντες τῶν σωμάτων τὰς ψυχὰς, καὶ τιμωρίας ἕνεκεν τῶν ψυχῶν [5] ἐφευρέσθαι τὰ σώματα, διὰ τὴν προγεγενημένην τῶν ἀσωμάτων κακίαν, τῆς τῶν ὀρωμένων ἐκπρεποῦς μεγαλουργίας, δι' ἧς ὁ θεὸς γινώσκεται σιωπῇ κηρυττόμενος, αἰτίαν εἰκότως εἶναι μόνην *ὑποτιθέμεθα τὴν κακίαν, ἀνάγκην ἐπάγουσαν τῷ θεῷ παρὰ πρόθεσιν ἣν οὐκ [6] εὐδόκησεν οὐσίαν δημιουργῆσαι, ἧς τυχὸν ἀπ' ἀρχῆς οὐδὲ τὸν λόγον ἔχει πρὸ τῶν αἰώνων μετὰ τῶν ἄλλων ἀπόκρυφον. Τῶν γὰρ παρὰ πρόθεσιν γινομένων λέγειν τὸν θεὸν ἔχειν τοὺς τῆς οὐσιώσεως λόγους, οὗ μοι δοκεῖ συνετῆς διανοίας εἶναι, καὶ ὁπωσοῦν εὐ συνῃσθημένης θεοῦ μεγαλειότητος, τοῦ ἀπαθοῦς, καὶ μόνου ἀληθοῦς, καὶ μηδὲν ἔχοντος καθόλου κατὰ τοὺς ἐν αὐτῷ προόντας τῶν ὄντων λόγους πρόσφατον, καὶ μάλιστα παρὰ πρόθεσιν. Πάντα γὰρ αὐτῷ τὰ ὁπωσοῦν [7] ὄντα ἢ γενησόμενα κατὰ τὴν οὐσίαν προτεθέληταί τε καὶ προεννενόηται καὶ προέγνωσται· ἕκαστον δὲ τῶν ὄντων κατὰ τὸν [8] εὔθετον καὶ ἐπιτήδειον καιρὸν οὐσιοῖ καὶ ὑφίστησι. Μηδὲ γὰρ ὅτε τι κατασκευάζοντα τὸν θεὸν ὁρῶμεν, τότε καὶ τῆς περὶ αὐτὸ θελήσεως ἤρχθαι ἐννοίας τε καὶ γνώσεως αὐτὸν [9] νομίσωμεν. Ἅπαγε. Πολλῆς γὰρ ὄντως
Cod. f. 231 a. ἐστὶ τοῦτο μεστὸν ἀτοπίας, εἰ ὅπερ ὁ θεὸς | ἐξ ἀρχῆς πρὸ τῶν αἰώνων μήτε ἐνενόησεν ἢ ἔγνω ἢ ἐθέλησεν εἶναι, νῦν νοήσας τε καὶ θελήσας καὶ γνοὺς, ἢ μεταγνοὺς εἰπεῖν οἰκειότερον, ὡς καλὸν ἐξετέλεσεν· ἵνα μὴ λέγω ὅτι οὐδὲ αὐτὴν ὧν τοὺς λόγους προηγουμένως οὐκ ἔχει, γινώσκει τὴν ποίησιν. Ἀλλὰ πάντα τῇ βουλήσει τοῦ θεοῦ προγνωστικῶς κατὰ τὴν ... ειν ἀεὶ περιέχεσθαι πιστεύομεν, μηδενὸς

... ed. Gall.

... 2. προϋπάρχειν οὔτε μεθυπάρχειν ed. Gall.

... 4. ἀριστερᾷ μήτε δεξιᾷ ed. Gall.

Digitized by Google

rationem, simul cum conceptione, ne temporis momento quidem praeintellecto, accepisse dominum vitalem spiritum, sive inspirationem, pro humanitate sua, hoc est animam intellectualem una cum corpore ex immaculata virgine, et non post conceptionem, definit doctor.

## Contra eos qui dicunt animas ante corpora existere.

Quidam enim dicunt, uti iam praefatus sum, ante corpora animas existere, alii vero contra ante animas existere corpora. Nos autem media via, ut regia, secundum patres nostros incedentes, neque anteriorem neque posteriorem animae corporisve existentiam affirmamus, sed coexistentiam potius, inclinationes in utramque partem caventes, ac neque sinistrorsum neque dextrorsum, ut sancta scriptura loquitur omnino propendentes, metuentes metu, quo nihil magis metuendum est, ne forte, si praeexistere dicamus corporibus animas, ac supplicii causa animarum fuisse inventa corpora, propter flagitia quae ab iis ante corpora commissa fuerint, praestantissimi horum quae oculis subiecta sunt et nobilissimi opificii, per quod agnoscitur deus tacito praeconio manifestatus, sola flagitia causam fuisse iure suspicemur, necessitatem deo inducentia praeter voluntatis propositum ut substantiam conderet, cuius fortasse ab initio ne rationem quidem habuerit ante saecula cum reliquis occultam. Eorum enim quae contra propositum fiunt deum dicere essentiae habere producendae rationes, non mihi videtur prudentes esse iudicii aut opinionis, et utcunque recte de dei maiestate sentientis, qui solus sine affectionibus est et verax, nec quidquam in universum habet iuxta praeexistentes in ipso rerum quae sunt rationes quod recens sit, ac praesertim contra voluntatis propositum. Cuncta enim ei utcunque existentia aut extitura secundum essentiam iam antea volita, intellecta, statuta fuerunt: cuique vero eorum quae sunt iuxta idoneum et opportunum tempus essentiam tribuit et substantiam. Neque enim quando efficientem quidpiam deum videmus, tunc quoque voluntatis circa eam rem initium fecisse aut intellectus aut cognitionis ipsum arbitremur. Absit. Hoc enim multa profecto absurditate scateret, si quod deus ab initio ante saecula neque cogitavit, aut statuit ut esset, aut voluit, nunc cogitans et statuens et volens, vel resipiscens, ut magis proprie loquar, ut bonum perficeret: ne dicam quod ne ipsam quidem eorum factitationem quorum rationes antecedenter non habeat, novit. Immo cuncta dei voluntate per praescientiam secundum infinitam eius virtutem semper contineri credimus,

5. ἐφευρῆσθαι ed. Gall. * Sic cod. Gud. et ed. Gall. 6. ηὐδόκησεν ed. Gall. 7. ἢ ὄντα ed. Gall. 8. ἔνδετον ed. Gall. 9. νομίζομεν ed. Gall.

Digitized by Google

αὐτῷ καθ' οἱονδήποτε τρόπον προσφότως ἐπινοουμένου, καὶ τὸ εἶναι κατὰ τὴν οὐσίαν λαμβάνοντος. Μηδὲ γὰρ οἴεσθαι [10] δεῖν εὐσεβῶς φρονοῦντας ὑπολαμβάνω τὸν θεὸν τὰ κατὰ πρόγνωσιν ἀπειροδυνάμως ἐν ἑαυτῷ κατὰ τοὺς ἑαυτῶν λόγους [11] προπεριεχόμενα ἕκαστα μανθάνειν διὰ τῆς εἰς τὸ εἶναι παραγωγῆς. Ἀλλ' ἡμῖν οἱ αἰῶνες τε καὶ οἱ χρόνοι κατὰ τὸν [12] προωρισμένον καὶ τὸν εὔθετον ἑκάστου καιρὸν [13] σοφῶς ἕκαστα δημιουργούμενα [14] δεικνύουσι, καὶ εἰς τὸ εἶναι [15] προβάλλονται· καθὰ καὶ περὶ τοῦ Λευὶ φησιν ὁ θεῖος ἀπόστο-
Hebr. 7, 10. λος οὕτωσὶ διεξιών, Ἔτι γὰρ ἐν τῇ ὀσφύι τοῦ πατρὸς ἦν, πρὶν εἰς τὸ εἶναι παρελθεῖν. Ὅστις δυνάμει [16] μὲν ἐν τῷ πατριάρχῃ Ἀβραὰμ ὑπάρχων, κατὰ δὲ τὸν τετελεσμένον καιρὸν τὴν πρὸς τὸ εἶναι διὰ κυήσεως κατ' ἐνέργειαν γένεσιν λαβὼν, εἰρμῷ καὶ τάξει κατὰ τὴν ἀπόῤῥητον σοφίαν τοῦ θεοῦ τὰ πάντα τὴν πρὸς τὸ εἶναι γένεσιν δέχεσθαι νοεῖν ἡμᾶς καὶ πιστεύειν κατὰ τὸν προγνωσθέντα καιρὸν ὑπηγάγετο. Πάντων οὖν τῶν κατ' οὐσίαν ὑπαρκτικῶς ὄντων τε καὶ ἐσομένων, [17] ἢ γενομένων ἢ γενησομένων, ἢ φαινομένων ἢ φανησομένων, ἐν τῷ θεῷ προϋπάρχουσι παγίως ὄντες οἱ λόγοι, καθ' οὓς καὶ εἰσὶ τὰ πάντα καὶ γεγόνασι [18] καὶ διαμένουσιν ἀεὶ τοῖς ἑαυτῶν κατὰ πρόθεσιν λόγοις, διὰ κινήσεως
Cod. f. 231 b. φυσικῆς ἐγγίζοντα | καὶ πρὸς τὸ εἶναι μᾶλλον συνεχόμενα, κατὰ τὴν ποιάν τε καὶ ποσὴν τῆς προαιρέσεως κίνησίν τε καὶ ὁρμὴν, τὸ εὖ δι' ἀρετὴν καὶ τὴν πρὸς τὸν λόγον καθ' ὃν ἔστιν εὐθυπορίαν, ἢ τὸ φεῦ εἶναι διὰ κακίαν καὶ τὴν παρὰ τὸν λόγον καθ' ὃν ἔστι κίνησιν λαμβάνοντα, καὶ συντόμως εἰπεῖν κατὰ τὴν ἕξιν ἢ τὴν στέρησιν τῆς αὐτῶν κατὰ φύσιν μεθεκτικῆς δυνάμεως τοῦ παντελῶς ἀμεθέκτου κατὰ φύσιν ὑπάρχοντος, καὶ πᾶσιν ἁπλῶς ἑαυτὸν ἀξίοις τε καὶ ἀναξίοις ὅλον κατὰ χάριν δι' ἄπειρον ἀγαθότητα [19] παρέχοντος, καὶ τὴν τοῦ ἀεὶ εἶναι καθὼς ἕκαστος ὑφ' ἑαυτοῦ [20] διατέθειταί τε καὶ ἔστι διαμονὴν ἐμποιήσοντος. Οἷς ἡ τοῦ κυρίως ὄντος καὶ εὖ ὄντος καὶ ἀεὶ ὄντος ἀνάλογος μέθεξις ἢ ἀμεθεξία, τιμωρίας τῶν μετασχεῖν [21] μὴ δυναμένων, καὶ ἀπολαύσεως τῶν μετασχεῖν δυναμένων, ἐπίτασίς ἐστι καὶ ἐπαύξησις. Οὐδὲν γὰρ τὸ παράπαν ἔστι τῶν ὄντων οὗ μὴ παρὰ τῷ θεῷ πάντως ὁ λόγος προένεστιν. Ὧν δὲ παρὰ τῷ θεῷ προϋπάρχουσιν ὄντες τῆς οὐσίας οἱ λόγοι, τούτων δηλαδὴ κατὰ πρόθεσιν θείαν πάντως ἐστὶν ἡ γένεσις. Ὧν δὲ κατὰ πρόθεσιν θείαν ἐστὶν ἡ γένεσις, τούτων ἡ κατ' οὐσίαν ὕπαρξις μένει πρὸς τὸ μὴ ὂν ἀπὸ τοῦ ὄντος ἀμεταχώρητος. Ὧν δὲ πρὸς τὸ μὴ ὂν ἀμεταχώρητος μετὰ τὴν γένεσιν ἀπὸ τοῦ ὄντος ἡ κατ' οὐσίαν ὑφέστηκεν ὕπαρξις, τούτων οἱ λόγοι τυγχάνουσι μόνιμοί τε καὶ

---

10. *δεῖ* ed. Gall. 11. *προπερισχόμενα* apogr. cod. Gud. 12. *ὁρισμὸν* ed. Gall. 13. *σαφῶς* ed. Gall. 14. *δείκνυσι* ed. Gall. 15. *προβάλλεται* ed. Gall. 16. *μὲν* non habet ed. Gall. 17. *ἢ γενομένων* non habet ed. Gall. 18. *καὶ διαμένουσιν* non habet ed. Gall.

Digitized by Google

nulla re ab eo quoquo id modo fieret recens excogitata et existentiam essentialem accipiente. Neque enim existimo eos qui pie ac religiose sentiunt debere deum putare quae per praecognitionem infinita virtute in se ipso secundum eorum rationes praecontinentur, ea singula cognoscere per productionem in existentiam. At nobis saecula et tempora secundum praefinitum opportunumque cuiusque rei tempus sapienter quaelibet fieri ostendunt, et ad existentiam provehi: sicut etiam de Levi dicit divinus apostolus, hoc modo loquens: ‚Adhuc enim in lumbo patris erat' antequam existeret. Qui potentia quidem in patriarcha Abrahamo existens, iuxta praefinitum vero tempus per conceptionem de effectu nactus generationem in existentiam, serie et ordine omnia, praeintellecto atque praecognito tempore, secundum ineffabilem dei sapientiam accipere existentiae conditionem ut nos intellegeremus et crederemus persuasit. Omnium igitur rerum secundum essentiam substantialiter existentium et extiturarum, sive natarum sive nasciturarum, sive apparentium sive apparituarum, in deo praeexistunt stabiliter rationes, secundum quas et sunt omnia et fuerunt et manent semper suis secundum voluntatis propositum rationibus, per naturalem motum appropinquantia et ad existentiam magis coartata, secundum qualemcunque et quantamcunque voluntatis motum atque momentum, accipientia bene esse per virtutem rectumque ad rationem qua utuntur iter, vel male esse propter vitium et motum ei qua utuntur ratione contrarium, et ut paucis dicam, secundum habitum vel privationem suae iuxta naturam participativae virtutis eius qui plane imparticipabilis est secundum naturam, et nihilominus cunctis ex aequo se ipsum tam dignis quam indignis integrum secundum gratiam ex infinita bonitate exhibet, perpetuitatemque existentiae inoperatur, prout quisque a se ipso afficitur et est. Quibus sane vere existentis, et bene existentis, et semper existentis consentanea participatio vel non-participatio, eorum qui participare non possunt est poenae et eorum qui possunt fruitionis intensio est et incrementum. Omnino enim eorum quae existunt nullum extat cuius apud deum prorsus ratio non praeexistat. Quorum vero apud deum praeexistunt essentiae extantes rationes, horum profecto secundum divinam voluntatem fit creatio. Quorum vero secundum divinam voluntatem fit creatio, horum essentialis existentia manet, et ad non-existentiam ab existentia non transit. Quorum vero ad n[illegible]tiam post creationem ab existentia non transit e[illegible]tantia, eorum rationes stabiles sunt atque fir-

habet apographum cod. Gud. 20. *διατέθηται* ed. Gall. *ναμένων, καὶ ἀπολαύσεως τῶν* non comparent in ed. Gall.

Digitized by Google

βάσιμοι, μόνην ἔχοντες ἀρχὴν τοῦ εἶναι τὴν σοφίαν, ἐξ ἧς καὶ δι' ἣν ὑπάρχουσι, καὶ ὑφ' ἧς τὴν πρὸς τὸ εἶναι δύνασθαι παγίως δύναμιν ἔχουσιν. Ὧν δὲ οἱ λόγοι μονίμως ὑπάρχουσι παρὰ τῷ Θεῷ, — καὶ ἡ περὶ αὐτοὺς τοῦ πεποιη-
Cod. f. 232 a. κότος | τὰ πάντα Θεοῦ πρόθεσίς ἐστιν ἀδιάπτωτος, χρονικοῖς γὰρ ἡ τοῦ Θεοῦ πρόθεσις παντάπασιν οὐ περιείληπται πέρασιν, οὔτε μὲν. τὴν ἐκ μεταβολῆς ἀλλοίωσιν ἐπιδέχεται τοῖς ὑποκειμένοις συμμεταπίπτουσα, τούτων [22] ἀναμφηρίστως αἱ ὑπάρξεις [23] σαφῶς εἰσιν [24] ἀδιάφθοροι. Ἤ γὰρ οὖν κατὰ πρόθεσιν Θέλων πεποίηκεν ὁ Θεὸς τὰ ἀνθρώπινα σώματα, καὶ μένει δι' αὐτὸν πρὸς τὸ μὴ ὂν ἀμετάπτωτα παντελῶς, ἀεὶ Θέλοντα εἶναι τὸ σὺν λόγῳ καὶ σοφίᾳ κατὰ πρόθεσιν θεληθέν, καὶ οὐκ ἔσται κατ' αὐτοὺς ἡ παντελὴς τῶν σωμάτων [25] πρὸς τὸ μὴ ὂν ἀπογένεσις, ἢ κατὰ πρόθεσιν οὐ [26] πεποίηκε, καὶ μὴ Θέλων ἐτυραννήθη, κατὰ βίαν ἀγόμενος πρὸς γένεσιν, ὧν τοὺς λόγους ἔχων οὐ πέφανται. Καὶ εἰ μὲν τυραννηθεὶς παρὰ πρόθεσιν [27] ἦλθε ποιῆσαι μὴ Θέλων τὰ σώματα, λόγος δηλονότι καὶ σοφία τῆς τούτων γενέσεως οὐδαμῶς καθηγήσατο. Τὸ γὰρ παρὰ πρόθεσιν Θείαν γινόμενον, λόγου καὶ σοφίας παντελῶς ἐστέρηταί τε καὶ ἠλλοτρίωται. Τὸ δὲ λόγου καὶ σοφίας παντελῶς ἐστερημένον μόνον ἐστὶ τὸ κακὸν, οὗ τὸ εἶναι χαρακτηρίζει ἡ ἀνυπαρξία, οὔτινος ποιητὴν τὸν Θεὸν μήτε ἐννοεῖν ἡμῖν γένοιτο πώποτε, μήτιγε [28] δὴ λέγειν ἀναφανδὸν, καὶ πιστεύειν ὀλεθρίως τολμᾶν. Τίς δὲ ὁ τυραννήσας τὸν Θεὸν, εἴπερ τετυράννηται, [29] καὶ Θέμις ὅλως εἰπεῖν ποιῆσαι παρὰ πρόθεσιν ὃ μὴ βεβούληται; Καὶ πῶς ὁ τυραννηθεὶς ἐστι Θεὸς, πρὸς ἀνάγκης ὑφιστῶν παρὰ πρόθεσιν [30] ἐπ' ἀπωλείᾳ γένεσιν πραγμάτων; Οἱ ταύτην περιέποντες τὴν δόξαν λέγειν τολμάτωσαν. Ἤ γὰρ ἂν τὸν Θεὸν ταῦτα πεποιηκέναι φαῖεν, καὶ τὰ μέγιστα βλασφημήσαιεν, [31] ἀνάγκην ἐπάγοντες [32] τῷ Θεῷ ποιῆσαί τι παρὰ πρόθεσιν·
Cod. f. 232 b. ἢ μὴ | πεποιηκέναι, καὶ ἐξ ἀνάγκης ἄλλην ἀρχὴν [33] Μανιχαϊκῶς τὴν ταῦτα ποιοῦσαν εἰσάγοντες φωραθήσονται. [34] Πάντως γὰρ ἴδιόν ἐστι τῶν δύο ἀρχὰς ἀλλήλαις ἀντιπαρεξαγόντων τὸ τῆς προϋπάρξεως δόγμα. Οὓς χάριτι Θεοῦ τοῦ παντελεήμονος ὁ βαθὺς τῆς ἀφανείας ζόφος περιλαβὼν εἰς τελείαν ἀπήλασε λήθην, τὸ φέγγος τῆς κηρυττομένης ὑπὸ τῶν ἁγίων πατέρων [35] ἡμῶν ἀληθείας οὐ φέροντας. Θαυμάζω δὲ πῶς αὐτοὺς, ἵνα [36] παραλείψω νῦν ὅσα ῥηθῆναι δυνατόν ἐστι, διὰ τὴν συμμετρίαν τοῦ λόγου, τὸ κατὰ Χριστὸν τὸν ἀληθινὸν [37] Θεὸν ἡμῶν μυστήριον, οὐ δυσωπεῖ ταύτην προθύμως ἑαυτῶν ἐκτινάξασθαι τὴν δόξαν. Εἰ γὰρ πάντων τῶν Θείων

---

22. ἀναμφιρρήστως ed. Gall. 23. σαφῶς abest ab ed. Gall. 24. ἀδιάφοροι ed. Gall. 25. εἰς ed. Gall. 26. πεποίηκεν ed. Gall. 27. ἦλθεν ed. Gall. 28. δεῖ ed. Gall., sed emendat. in annot. 29. εἰ ed. Gall. 30. ἐν ed. Gall. 31. ἀνάγκειν ed. Gall. 32. τὸν Θεὸν ed. Gall.

Digitized by Google

mae, unicum habentes existentiae principium sapientiam, ex qua et per quam existunt, et a qua virtutem habent constanter ut esse possint. Quorum vero rationes stabiles sunt apud deum, — et dei rerum cunctarum conditoris immutabilis est ac firma circa eas voluntas, cum temporaneis dei voluntas haudquaquam comprehensa est limitibus, neque mutationem ex vicissitudine admittit, una cum subiectis variata, — horum manifeste et sine controversia extantiae interitu carent. Vel igitur secundum propositum volens effecit deus humana corpora, et manent per eum ad non-existentiam prorsus non declinantia, cum semper velit esse quod cum ratione et sapientia volitum est secundum propositum, et ita non continget secundum eos plena corporum ad non-existentiam degeneratio: vel secundum propositum non effecit, et non volens dominationem passus est, quippe vi coactus ad facienda ea quorum rationes habere non visus est. Ac si quidem dominationem passus contra voluntatis propositum et invitus devenit ad facienda corpora, iam ratio et sapientia productioni plane eorum facem non praetulit. Quod enim fit contra divinum propositum, ratione et sapientia omnino caret, ab iisque alienum est: at quod caret prorsus ratione et sapientia hoc solum est malum, cuius existentiam denotat inextantia, cuius auctorem deum ne cogitare quidem nobis unquam in mentem veniat, nedum palam dicere, et perniciose audere credere. At quis contra deum tyrannidem usurpaverit, siquidem passus est eam, et fas est omnino ut eum contra propositum quod noluit fecisse dicamus? Et quomodo qui tyrannidem passus est deus erit, ex necessitate et contra propositum constituens in interitum rerum conditionem? Qui huiusmodi opinionem tuentur, dicere audento. Aut enim deum haec fecisse dicerent, et gravissimam blasphemiam admitterent, necessitatem deo inducentes tanquam aliquid fecisset contra voluntatis propositum: aut non fecisse dicerent, et necessario aliud principium in modum Manichaeorum, quod fecerit hoc, introducere deprehendentur. Nam peculiaris est omnino eorum qui duo contraria principia inter se committunt praeexistentiae opinio. Quos dei gratia misericordissimi profunda exterminii caligo obruens in plenam oblivionem detrusit, cum splendorem praedicatae a patribus nostris veritatis ferre non possent. Miror autem quomodo illos, ut cetera interea omittam multa quae dici possent, ne orationem meam diutius protraham, verum Christi dei nostri mysterium provocet ad excutiendam prompte ex animo suo huiusmodi sententiam. Si omnium enim mysteriorum divino-

---

33. *Μανιχαϊκῆς* ed. Gall. 34. *πάντων* ed. Gall. 35. *ὑμῶν* ed. Gall. 36. *πάντα παραλείψω* ed. Gall. 37. *ἡμῶν θεὸν* ed. Gall.

Digitized by Google

μυστηρίων μυστηριωδέστερον τὸ κατὰ Χριστὸν ὑπάρχει μυστήριον, καὶ πάσης τῆς κατὰ πάσαν ἔννοιαν ἐν πᾶσιν ἢ οὖσης ἢ γεννησομένης τελειότητος ὁριστικὸν, καὶ παντὸς ὅρου καὶ πέρατος ὑπεράνω καθέστηκε, τοῦτο δὲ τὸ μυστήριον μετὰ [38] τοῦ σαρκωθέντος καὶ τελείως ἐνανθρωπήσαντος θεοῦ λόγου εἶναί τε καὶ ὑπάρχειν διδάσκει τὸ σῶμα τὸ ἐξ ἡμῶν ληφθὲν καὶ ἡμῖν ὁμοούσιον, ἡνωμένον αὐτῷ καθ' ὑπόστασιν, μεθ' οὗ καὶ ἀνελήφθη εἰς οὐρανοὺς, ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως καὶ κυριότητος καὶ παντὸς ὀνόματος ὀνομαζομένου, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι, καὶ τῷ θεῷ καὶ πατρὶ νῦν τε καὶ εἰς τοὺς ἀπείρους αἰῶνας συγκαθέζεται, πάντας διεληλυθὼς τοὺς οὐρανοὺς, καὶ ὑπεράνω πάντων γενόμενος, καὶ πάλιν ἐλεύσεται ἐπὶ μεταποιήσει [39] τε καὶ μεταστοιχειώσει τοῦ παντὸς καὶ σωτηρίᾳ τῶν ἡμετέρων ψυχῶν τε καὶ σωμάτων, καθὼς ἐπιστεύσαμέν τε καὶ πιστεύομεν καὶ εἰς ἀεὶ πιστεύοντες διαμέ-
Cod. f. 233 a. νοιμεν, | — τίς [40] οὕτως τολμηρός ἐστι καὶ αὐθάδης, καὶ πρὸς τὰ θῆλα τε καὶ προφανῆ μάχεσθαι [41] μόνον εἰδὼς προπετῶς, ὥστε κἂν ψιλῶς ἐνθυμηθῆναι πάροδον τὴν εἰς τὸ μὴ ὂν [42] ἔξειν ποτὲ τὰ σώματα, κατὰ τὴν εἰς τὸ τέλειον, ὡς ἐκεῖνοί φασι, τῶν λογικῶν προκοπὴν, τὸν κύριον αὐτὸν καὶ θεὸν τῶν ὅλων πιστεύων μετὰ σώματος εἶναι νῦν τε καὶ εἰς ἀεὶ, τὸν καὶ τοῖς ἄλλοις τὴν τοῦ προκόπτειν δύνασθαι παρεχόμενον δύναμιν, καὶ πάντας πρὸς τὴν οἰκείαν δόξαν, ὡς ἐφικτὸν τῇ δυνάμει τῆς ἐνανθρωπήσεως, ἐνάγοντά τε καὶ προσκαλούμενον ὡς ἀρχηγὸν τῆς πάντων σωτηρίας, καὶ τὰς ἐν ὅλοις [43] ἀνακαθαίροντα κηλῖδας; Ἀλλ' οὐχ ὑπ' ἐκείνων ὡς τύπων τῆς αὐτοῦ τελειότητος, εἴπερ ὅλως τοῦτο κἂν ἐννοῆσαι [44] τολμήσαιεν, ἀγόμενον πρὸς ἀπόθεσιν τοῦ σώματος. Οὐ γὰρ ἔπεται πρὸς τελείωσιν ἄλλοις, οὔτε διὰ προκοπῆς ἐνθεωρούμενον ἔχει τὸ τέλειον, ὁ μόνος κατὰ φύσιν τελειότατος καὶ πάσης ποιητὴς τελειότητος, οὔτε σὺν ἄλλοις ἀναμένει τὸ τέλειον δέξασθαι, κατ' οὐδὲν οὐδενὶ τῶν ὄντων τὸ σύνολον εἰς τὸ δεῖσθαι προκοπῆς ὑπάρχων ὅμοιος, ἵνα καὶ αὐτὸς τότε τοῦ σώματος τὴν φύσιν ἀπόθηται, ὅτε τοῖς λοιποῖς ἡ ἐπ' ἄκρον προκοπὴ τὴν τοῦ σώματος ἀπόθεσιν γενέσθαι παρασκευάζει. Ἐπεὶ οὐκ ἔτι ἀρχηγὸς τῶν σωζομένων ἐστὶ καὶ σωτὴρ, ὡς τὸ καθ' ἡμᾶς τέλος τῆς τελειότητος μυστικῶς ἐφ' ἅπαξ ἐν ἑαυτῷ μὴ παραδείξας, ἀλλ' εἷς τῶν σωζομένων καὶ ἀρχομένων καὶ δεομένων ἄλλου τοῦ [45] δεικνύοντος ἐν ἑαυτῷ τὴν ἐφ' ἣν πάντες οἱ λόγου φυσικῶς μετειληφότες ἐπείγονται τελειότητα καὶ αὐτὸς ὑπάρχων ἀναφαίνεται. Οὐχ
Cod. f. 233 b. οὕτω δὲ τοῦτ' ἔχει. Πόθεν; Οὐδὲ τῆς | ἀληθείας ὁ λόγος
Hebr. 2, 10. τῶν [46] ταῦτα λεγόντων ἀνέχεται. Ἀρχηγὸν γὰρ καὶ τελειωτὴν τῆς ἡμῶν σωτηρίας αὐτόν φησιν ὁ θεῖος ἀπόστολος, ὡς σαρ-

38. τοῦ om. ed. Gall. 39. τε non habet ed. Gall.

Digitized by Google

rum mysteriosissimum est Christi, quod utique omni secundum omnem intellectum vel existenti vel extiturae perfectioni limites imponit, quodque omnium limitum ac finium repagula supergreditur, hoc vero mysterium cum incarnato ac perfecte homine dei verbo et esse et existere corpus docet de nostra carne desumptum atque nobis coessentiale, unitum ipsi secundum substantiam, cum quo et assumptus est in caelos, supra omnem principatum et potestatem et virtutem nomenque quodcunque nominatur, non modo in hoc saeculo, sed etiam in futuro, atque cum deo atque patre nunc et per interminata saecula sedet, omnes transgressus caelos et superior omnibus factus, et rursus veniet, ut reformet atque instauret universum nostrasque animas salvas reddat et corpora, sicut credidimus et credimus semperque utinam credere perseveremus, — quis tam est temerarius atque audax, solumque petulanter adversus conspicua et manifesta litigandi gnarus, ut vel leviter cogitet corpora ad non-existentiam unquam transitura, iuxta profectum in id quod perfectum est entium rationalium, ut ipsi loquuntur, si modo credat dominum ac deum universorum cum corpore esse et nunc et in perpetuum, qui etiam aliis proficiendi facultatem potentiamque largitur, quique omnes ad propriam gloriam, quantum fieri potest, virtute incarnationis adducit et provocat, ut auctorem salutis omnium, et qui omnium emaculet sordes? Sed neque ab illis ut exemplaribus suae perfectionis, si quidem prorsus hoc vel cogitare audeant, inducitur ad corporis depositionem. Non enim aliis obsequitur perfectionis gratia, neque per profectum quid sit perfectum agnoscit, ipse qui solus natura est perfectissimus omnisque perfectionis auctor, neque eum aliis praestolatus ut quod perfectum est recipiat, nullatenus nulli, quotquot existunt, similis existens in eo quod indigeat profectu, ut et ipse tum corporis naturam deponat, quando reliquis summus profectus corporis depositionem conciliet. Siquidem haud amplius dux et salvator eorum qui salvantur esset, quippe qui finem perfectionis nostrum mystice in semetipso semel non ostenderit, sed eorum unus etiam ipse cernetur qui salvantur et ab alio reguntur, quique indigent altero qui ostendat in seipso perfectionem istam ad quam omnes qui rationis natura sunt participes contendunt. Non ita haec res se habet. Qui enim? Nec veritatis sermo talia dicentes tolerat. Auctorem enim et consummatorem salutis nostrae ipsum appellat divinus apostolus, utpote incar-

---

40. οὕτω ed. Gall. 41. προπετῶς μόνον εἰδώς ed. Gall. 42. ἦξιν ed. Gall., sed emendat. in annot. 43. ἀναχαθάραντα ed. Gall. 44. τολμῆσαι ed. Gall. Editores coniecerunt τολμήσαις. 45. δεικνύντος ed. Gall. 46. ταῦτα ed. Gall.

Digitized by Google

κωθέντα δι' ἡμᾶς ἵνα τὴν ἡμῶν ἁμαρτίαν ἐν ἑαυτῷ δαπανήσῃ, καὶ τῆς κατ' ἀρετὴν ἀγωγῆς ἑαυτὸν πᾶσι δῶ τύπον καὶ πρόγραμμα τοῖς πιστεύουσιν εἰς αὐτὸν, ὡς διδάσκαλος ἀγαθός τε καὶ *σοφὸς, τὰ ῥητέα καὶ τὰ πρακτέα πρὸς ὑποτύπωσιν ἡμῶν δι' ἑαυτοῦ πρότερον ἐκτελοῦντα, ἀποθανόντα [47] καὶ ἀναστάντα καὶ ἀναληφθέντα εἰς οὐρανοὺς, καὶ καθεσθέντα μετὰ τοῦ σώματος ἐκ δεξιῶν τοῦ θεοῦ καὶ πατρὸς, ἵνα καὶ ἡμεῖς ἀποθνήσκοντες βεβαίως ἐλπίζωμεν ἀναστῆναι, καὶ ζωὴν ζῆσαι παντὸς θανάτου καὶ πάσης φθορᾶς παντελῶς κεχωρισμένην, καὶ ἀναληφθῆναι εἰς οὐρανοὺς, καὶ τὴν ἐν τῷ θεῷ καὶ πατρὶ διὰ τοῦ υἱοῦ αὐτοῦ μεσιτεύοντος τιμήν τε καὶ δόξαν λήψεσθαι, καὶ τὴν σὺν αὐτῷ μακαρίαν καὶ αἰώνιον μονὴν, σώματος δὲ [48] καθ' ὁτιοῦν ἀπόθεσιν μὴ ἐκδέχεσθαι, ὅτι μηδὲ τῆς ἁγίας γραφῆς ὁ λόγος ἡμᾶς τοῦτο διδάσκει. Μήτε μὴν ἐν τῷ ἀρχηγῷ τῆς σωτηρίας ἡμῶν τεθεάμεθα τοῦτο προγεγενημένον. Εἰ γὰρ φίλον ἦν αὐτῷ καὶ τοῦτο [49] γενέσθαι, πρῶτος ἂν αὐτὸς ἐν ἑαυτῷ προενήργει καὶ τοῦτο μετὰ τῶν λοιπῶν, οἷς ἑαυτὸν δι' ἡμᾶς ὡς φιλάνθρωπος ὑποθεὶς καθ' ἡμᾶς ἐτελείωσεν, εἰς τὸ ἡμᾶς μετὰ τῶν ἄλλων [50] εἰς τοῦτο πιστεύοντας ἐλπίζειν. Πῶς δὲ, εἴπερ ἀνασχοίμεθα τοῦτο λεγόντων αὐτῶν, κατὰ τὸν ἅγιον τοῦτον διδάσκαλον, πιστεύσομεν ὅτι τὸ ἐνωθὲν τῷ θεῷ καὶ [51] σώζεται; Ὁ γὰρ, φησὶ πρὸς Κληδόνιον γράφων, ἥνωται τῷ θεῷ, τοῦτο καὶ [52] σώζεται. Ἡνώθη δὲ τῷ [53] θεῷ λόγῳ μετὰ τῆς ψυχῆς καὶ τὸ σῶμα. Ἆρα μετὰ τῆς ψυχῆς καὶ τὸ σῶμα σωθήσεται. Καὶ πάλιν, εἰ διὰ τοῦτο σαρκοῦται, κατὰ τὸν θεόφρονα τοῦτον διδάσκαλον, ὁ τοῦ θεοῦ λόγος, ἵνα καὶ τὴν εἰκόνα σώσῃ καὶ τὴν σάρκα ἀθανατίσῃ, πῶς τὸ σωζόμενον ἀπολεῖται, καὶ | ἀνήξεται πάλιν τὸ ἀθανατιζόμενον, μᾶλλον δὲ κυριώτερον εἰπεῖν, θεωθὲν ὅλον διὰ μέσης τῆς νοερᾶς ψυχῆς θεότητι μεσιτευούσης καὶ σώματι, παροῦσαν ὅλην ἀῤῥήτως [54] οὐσιωδῶς τὴν τοῦ σαρκωθέντος ὑπόστασιν θεοῦ λόγου [55] δεξάμενον, καὶ ἴδιον αὐτὸ σῶμα ποιησαμένου τε καὶ ἀποφήναντος, οὐκ ἔχω συνιδεῖν. Τίνος δὲ χάριν, εἴπερ τῷ μυστηρίῳ τῆς ἐκκλησιαστικῆς πίστεως καὶ τοῦτο περιέχεται τὸ δόγμα, μὴ τοῖς ἄλλοις συμπεριελήφθη ἐν τῷ συμβόλῳ τῆς κατὰ τὴν ἀμώμητον πίστιν τῶν Χριστιανῶν ἐκθέσεως ὑπὸ τῶν ἁγίων [56] καὶ μακαρίων πατέρων ἡμῶν, [57] τῶν συναθροισθέντων κατὰ καιροὺς ἐπὶ βεβαιώσει τῶν θείων τῆς ἁγίας τοῦ θεοῦ καὶ ἀποστολικῆς ἐκκλησίας δογμάτων, λέγειν τοῖς σοφοῖς [58] καταλείψωμεν. Ἀλλ' ἀρκεῖν οἶμαι πρὸς τὸ παρὸν παρεκβατικῶς ταῦτα ῥηθῆναι πρὸς τούτους. Πρὸς δὲ τοὺς ἄλλους τρεψώμεθα.

Greg. Naz. Epist. ad Cledon. p. 87. tom. II. edit. Bened.

Cod. f. 234 a.

---

*) ‚Videntur haec per quartum casum efferenda.' (Editores Galland.)

47. τε καὶ ed. Gall. 48. καθοτιοῦν ed. Gall. 49. λέγεσθαι ed. Gall. 50. καὶ ed. Gall.

Digitized by Google

natum propter nos ut peccatum nostrum in se ipso conficeret, seque imaginem praeberet omnibus atque exemplar castitatis vitae et integritatis iis qui credant in eum, ut magister bonus et sapiens, ea quae dicenda quaeque facienda sint ad informationem institutionemque nostram per se ipsum prius perficientem, morientem atque resurgentem atque assumptum in caelos, et sedentem cum corpore ad dextram dei ac patris, ut nos quoque morientes firmiter speremus fore ut resurgamur, vitamque vivamus omnis mortis omnisque corruptionis prorsus expertem, assumamurque in caelos, ac compotes fiamus in deo et patre, mediatore filio ipsius, honoris et gloriae, mansionisque beatae et aeternae cum illo, corporis vero depositionem nullo omnino modo patiamur, quandoquidem neque divinae scripturae sermo istud nos docet. Neque enim in auspice salutis nostrae vidimus hoc antea factum fuisse. Si enim ipsi placuisset ut etiam hoc fieret, primus utique ipse in se operatus fuisset, et id cum reliquis quibus seipsum utpote benignus propter nos subiecit quaeque secundum nos perfecit, ut nos cum ceteris hoc quoque credentes speraremus. Quomodo enim, si hoc eos dicentes feramus, secundum sanctum hunc magistrum, credemus id quod unitur deo, etiam salvari? ‚Quod enim', ait ad Cledonium scribens, ‚unitum est deo, hoc etiam salvatur.' Porro unitum est deo verbo simul cum anima etiam corpus, ergo simul cum anima corpus quoque salvatur. Et rursus, si propterea incarnatur, iuxta divinum hunc doctorem, dei Verbum, ut et imaginem salvet et carnem immortalem reddat, quanam ratione id quod salvetur interiturum sit, moriturum sit item quod immortale effectum sit, vel, ut magis proprie dicam, divinum effectum sit totum, mediante anima intellectuali divinitatem inter et corpus, praesentique omni ineffabili quodam modo essentialiter suscepta dei sermonis incarnati substantia, qui etiam proprium sibi corpus effecerat et prae se tulerat, hoc equidem intellegere non habeo. Cuius vero rei gratia, si quidem mysterio fidei ecclesiasticae et hoc continetur dogma, non sit cum ceteris comprehensum in symbolo quo sincera et inculpata Christianorum fides a sanctis et beatis patribus nostris exposita fuit, identidem congregatis ad stabilienda divina sanctae dei et apostolicae ecclesiae dogmata, id sapientibus dicere relinquamus. Sed satis esse existimo nunc contra istos haec per digressionem dicta fuisse. Iam igitur ad alios convertamur.

---

51. ζώσεται ed. Gall. 52. ζώσεται ed. Gall. 53. θεῷ om. ed. Gall. 54. οὐσιωδῶς in codicis Gudiani margine ab eadem manu adscriptum legitur. 55. δεξαμένους suspicabantur editores Galland. 56. καὶ μακαρίων non comparet in ed. Gall. 57. τῶν non habet ed. Gall. 58. καταλείψομεν ed. Gall.

Digitized by Google

## Πρὸς τοὺς λέγοντας τῶν ψυχῶν προϋπάρχειν τὰ σώματα.

Τὸ μεθυπάρχειν τῶν σωμάτων τὰς ψυχὰς, ὦ οὗτοι, λέγειν εὔκολον καὶ τοῦ βουλομένου παντὸς, τὸ δὲ λόγῳ συστήσασθαι τὸ λεγόμενον πάνυ δύσκολον καὶ ἐργῶδες, καὶ οὔποτε ῥᾴστην ἔχον τῆς σπουδῆς τὴν ἀπόδειξιν. Εἰ γὰρ τὸ καταβαλλόμενον καθ' ὑμᾶς εἰς πρόφασιν τῆς ἀνθρωπίνης γενέσεως παντάπασίν ἐστιν ἄψυχον, καὶ ζωτικῆς δηλονότι δυνάμεως πάντη καθέστηκεν ἄμοιρον. Τὸ γὰρ ψυχῆς παντελῶς τῆς οἱασοῦν ἐστερημένον καὶ πάσης ζωτικῆς ἐνεργείας ἐστὶν ἔρημον. Εἰ δὲ ψυχῆς καὶ τῆς κατ' αὐτὴν ζωτικῆς δυνάμεώς τε καὶ ἐνεργείας παντελῶς καθέστηκεν ἄμοιρον, δηλονότι νεκρὸν τυγχάνει· εἰ δὲ νεκρὸν αὐτὸ ὑποτιθέμεθα εἶναι, οὔτε τρέφεται οὔτε αὔξεται, οὐδ' ὅλως ὑποστῆσαι δυνήσεται, καὶ μεῖναι παντελῶς ἀσκέδαστόν τε καὶ ἀδιάχυτον. Τεκμηριοῦ δὲ τὸ | λεχθὲν ὁ ἐν τοῖς σώμασι τῶν ἑλκῶν ἀκεσμός. Cod. f. 234 b.
Ἡνίκα γὰρ ἐφάπτονται τούτων ἰατρῶν παῖδες, εἰ εὕροιεν ἐπιπολάζον σῶμα νεκρὸν, τοῖς κατεσθίουσι τοῦτο φαρμάκοις προαναλώσαντες, οὕτω τὰ πρὸς ἀνάδοσιν τοῦ κοιλανθέντος ἐκ τῆς ὠτειλῆς σώματος ἐπιβάλλουσιν εἰς ἀναπλήρωσιν, ὡς τοῦ ζῶντος δηλαδὴ σώματος φύσιν ἔχοντος ἀναπεμπάζουσαν καὶ δύναμιν τῆς οἰκείας ἕξεως συστατικήν τε καὶ ἐπανακλητικὴν, τοῦ δὲ νεκροῦ τοῦτο μηδαμῶς ἐνεργοῦντος, ἅπαξ νενεκρωμένου καὶ παντελῶς ζωτικῆς ἐστερημένου δυνάμεως, καὶ διὰ τοῦτο ἀνενεργήτου τυγχάνοντος. Πῶς δὲ καὶ στήσεται τὸ φύσει σκεδαστόν τε καὶ εὐδιάλυτον, μὴ οἱονεὶ θεμελίου τρόπον κατ' ἐπίνοιαν προϋποκειμένης τινὸς ζωτικῆς δυνάμεως, περὶ ἑαυτὴν φυσικῶς συγχρινούσης τε καὶ διασφιγγούσης τὸ σκεδαννύμενον, ἐν ᾗ τὸ εἶναί τε καὶ εἰδοποιεῖσθαι παρὰ τῆς τὰ ὅλα σοφῶς τεχνιτευούσης δυνάμεως ἔχειν ἔλαχεν; Ἐν ᾧ γὰρ ἂν πράγματι μετὰ τὸ τεχθῆναι περίεστιν ἀληθῶς [1] τὸ εἶναι τῷ σώματι, ἐν ἐκείνῳ πάντως δικαίως ἂν λέγοιτο ἔχειν καὶ τὴν ἀρχὴν τῆς ὑπάρξεως. Οὑτινος γὰρ τῷ χωρισμῷ διαλύεσθαι πέφυκε τὸ σῶμα, τούτου δηλαδὴ τῇ ὑπάρξει κατὰ τὴν γένεσιν εὐλόγως ἂν πάντως καὶ συνυφέστηκεν. Εἰ δὲ τούτοις στενοχωρούμενοι τοῖς λογισμοῖς, ὦ οὗτοι, φατὲ μὴ νεκρὸν εἶναι παντάπασι τὸ καταβαλλόμενον εἰς πρόφασιν τῆς ἀνθρωπίνης συστάσεως, ζωτικῆς δέ τινος κἂν ποσῶς μετέχειν δυνάμεως, ὡς ψυχὴν ἔχον δηλονότι τῆς τοιαύτης μεθέξει δυνάμεως (χωρὶς γὰρ ψυχῆς εἶδος ζωῆς οὐκ ἂν εἴη πώποτε καθάπαξ ἐν τοῖς ὑπὸ φύσιν ἀναγομένοις καὶ τῆς οὐρανίου σφαίρας ἀεικινήτου περιφορᾶς ἐντὸς διειλημμένοις, ἀεὶ δὲ ζωῆς εἶδος ἄνευ ψυχῆς τὸ παράπαν οὐκ ἔστι κατὰ τὴν λογικὴν ἀκολουθίαν), οἱονδ' ἂν ὑποτίθεσθε ζωῆς εἶδος τὸ καταβαλλόμενον ἔχειν κατὰ τὴν σύλληψιν, ψυχῆς τινος μόνον ἰδιότητα ἐνεφήνατε, συστατικὴν μὲν τῆς ἐν ᾧπέρ ἐστιν οὐσίας,

Digitized by Google

## Contra eos qui corpora ante animas existere affirmant.

Post corpora existere animas, o isti, dicere facile et cuiusvis volentis est, at ratione probare quod dicitur perquam difficile est atque operosum, studlique et diligentiae in hac quaestione collocatae facile nunquam habebit fructum et probationem. Si enim id quod secundum vos in generationis humanae materia ponitur inanimatum omnino est, sequitur necessario ut etiam vitalis nimirum potestatis plane sit expers. Nam quod anima, quoquo modo comparata fuerit, caret, id omni vitali privatum est virtute. Quod si anima eiusque vitalis potestatis et virtutis plane expers est, mortuum esse manifestum est, verum si mortuum esse statuitur, neque alitur neque crescit, neque ullo modo subsistere poterit, aut indissipatum et indiffusum manere. Quod probat vulnerum in corpore sanatio. Quae quando medicorum filii attingunt temptantes si corpus mortuum emergens reperiant, medicamentis quae id devorent ante insumptis, ita quae reficiendo corpori de vulnere laeso idonea sint adhibent ad suppletionem, quatenus vivum videlicet corpus natura praeditum est resarciente et virtute quadam habitum proprium compingendi revocandique, cum mortuum contra corpus id nullo modo efficiat, semel mortificatum, vitalique potestate prorsus destitutum, et idcirco inefficax. Quomodo vero et stabit quod natura dissipatum est atque nullo negotio dissolvitur, cum tanquam fundamenti in modum cogitatione nulla ante sublecta sit virtus vivifica, quae circa sese naturaliter coagmentet diffusum atque constringat, in qua et existentia et formatio ab ea virtute quae est universa sapienter fabricata inesse sortitae sunt? In quacunque enim re postquam facta est generatio vere superstes est existentia corpori, in ea recte omnino principium quoque existentiae inesse dicatur. Nam a quo separatum corpus dissolvitur, huius, uti apparet, cum existentia in generatione etiam coëxtitisse plane est consentaneum. Si autem, o isti, his argumentationibus coarctati, quod hominis procreandi gratia seminatur mortuum esse negatis, vitalem vel quantulamcunque virtutem participare affirmantes, quod animam videlicet huius virtutis communione habeat (sine anima enim nulla semel vitae species tam in eis unquam quae in naturam prolata quam quae in orbe caeli semper mobile intus comprehensa sunt, reperiatur, ac semper vitae species secundum rationis consequentiam extat prorsus nulla nisi cum anima), qualemcunque vitae speciem supponitis inesse in conceptionis propagine, animae alicuius solum proprietatem significastis, qua quidem ea in

1. τῷ habet apographum cod. Gudiani.



Digitized by Google

Cod. f. 235 a. ἀφοριστικὴν δὲ τῶν μὴ τοιούτων διαφοράν. Εἰ δὲ | καὶ ψυχὴν ἔχειν τὸ ἔμβρυον· βίας πρὸς τὸ δέον ὑπὸ τῆς ἀληθείας ὠθούμενοι λέγετε, τίνα τε καὶ ὁποίαν ταύτην, καὶ πῶς θεωρουμένην ἢ λεγομένην, ὑμᾶς λέγειν ἐστὶν ἀκόλουθόν τε καὶ πρόσφορον. Καὶ εἰ μὲν μόνην τὴν θρεπτικήν τε καὶ αὐξητικὴν ἔχειν αὐτὸ διαβεβαιοῦσθε ψυχὴν, φυτοῦ τινος δηλονότι καὶ οὐκ ἀνθρώπου τῷ λόγῳ τούτῳ καθ' ὑμᾶς τὸ τρεφόμενον καὶ αὐξόμενον ἔσται σῶμα. Καὶ πῶς τοῦ φυτοῦ πατὴρ ὁ ἄνθρωπος ἔσται συνιδεῖν οὐκ ἔχω, πολλὰ σκοπῶν, ἐξ ἀνθρώπου παντελῶς τὸ εἶναι κατὰ φύσιν οὐκ ἔχοντος. Εἰ δὲ τὴν αἰσθητικὴν μόνην τῷ ἐμβρύῳ προσμένετε ψυχὴν, ἵππου πάντως ἢ βοὸς ἢ ἑτέρου τινὸς τῶν χερσαίων ἢ ἐναερίων ζώων ψυχὴν ἔχον δειχθήσεται κατὰ τὴν σύλληψιν τὸ ἔμβρυον, καὶ πατὴρ οὐκ ἔσται κατὰ φύσιν ἀνθρώπου καθ' ὑμᾶς ὁ ἄνθρωπος, κατὰ τὴν πρώτην σύστασιν, ἀλλὰ φυτοῦ τινος, καθὼς ἔφην, ἢ ζώου τῶν ἐπὶ γῆς. Οὗ τί γένοιτ' ἂν ἀτοπώτερον ἢ φρενοβλαβέστερον; Τὸ γὰρ μὴ συνυπάρχειν διαβεβαιοῦσθαι τῇ πρώτῃ συστάσει τῶν ὄντων κατὰ τὴν ἑκάστου φυσικὴν διαφορὰν ἀπαραλείπτως τοὺς οἰκείους τῆς ὑπάρξεως ὁρισμοὺς, φύρειν ἐστὶν εἰς ἄλληλα τὰ πάντα, καὶ μηδὲν εἶναι κυρίως τῶν ὄντων ὅπερ ἐστί τε καὶ λέγεται διϊσχυρίζεσθαι. Καὶ τὸ δὴ μεῖζον κακὸν, διαβολὴν τῆς θείας σοφίας τε καὶ δυνάμεως ἀρίδηλον ἔχον μεγίστην πάντως δειχθήσεται. Εἰ γὰρ πάντα τὰ ὁπωσοῦν ὄντα πρὸ γενέσεως αὐτῶν κατὰ τὴν πρόγνωσιν τοῦ θεοῦ τῷ οἰκείῳ λόγῳ τὸ τέλειον ἔχει, δηλονότι καὶ ἅμα τῷ εἶναι κατὰ τὸν ἴδιον λόγον πρὸς γένεσιν παραγόμενα ἀπαραλείπτως αὐτῇ τῇ ἐνεργείᾳ τὸ τέλειον ἕξει. Εἰ δὲ τὸ μὲν τέλειον κατὰ τὴν πρόγνωσιν ἔχει τὰ ὄντα, κατὰ δὲ τὴν εἰς τὸ εἶναι παραγωγήν τε καὶ γένεσιν τὸ ἀτελὲς, ἢ οὐκ αὐτὰ ἐκεῖνα ἔσται τὰ προγνωσθέντα, ἀλλ' καθ' ἑτέρων ἕτερα, ἢ τοῦ δημιουργοῦ πρόδηλος ἀσθένεια τοῦτο ἂν εἴη καὶ σαφὴς, μὴ δυνηθέντος κατὰ τὴν πρόγνωσιν τὸ προγνω-
Cod. f. 235 b. σθὲν ἀθρόως ἅμα τῇ γενέσει κατὰ τὴν ἐνέργειαν | ὡς εἶναι πέφυκε κατὰ τὴν οὐσίαν, παραστῆσαι πληρέστατον. Εἰ δὲ τούτους ὑφορώμενοι τοὺς ἐλέγχους ἐπ' ἐκεῖνο καταφύγοιτε τελευταῖον, φάσκοντες μὴ δίκαιον εἶναι τὸ κατ' εἰκόνα θεοῦ καὶ θεῖον (οὕτω τὴν νοερὰν καλοῦντες ψυχὴν) ῥεύσει καὶ ἡδονῇ ῥυπαρᾷ συνυπάρχειν, μετὰ δὲ τὰς τεσσαράκοντα τῆς συλλήψεως ἡμέρας ἐπειςκρίνεσθαι λέγειν εὐσχημονέστερον οἴεσθαι δεῖν, τὸν τῆς φύσεως δημιουργὸν σαφῶς αἰτιώμενοι φανήσεσθε, καὶ τὸν ἐντεῦθεν τῆς βλασφημίας ἀναφαινόμενον εἰκότως ὑπέχοντες φοβερὸν δειχθήσεσθε κίνδυνον. Εἰ γὰρ κακὸς ὁ γάμος, δηλονότι καὶ ὁ κατὰ φύσιν τῆς γενέσεως νόμος· εἰ δὲ κακὸς ὁ τοιοῦτος τῆς κατὰ φύσιν γενέσεως νόμος, ὁ τὴν φύσιν δηλονότι πεποιηκὼς, καὶ δοὺς αὐτῇ νόμον γενέσεως, δικαίως ἂν καθ' ὑμᾶς αἰτιαθήσεται. Καὶ τί τοὺς ἀπὸ

Digitized by Google

qua inest essentia struatur et eorum quae non eiusmodi sunt differentia definiatur. Iam vero etiam si embryon anima praeditum esse a veritate coacti (nam acriter vos urgere opus est) statuitis, qua et quali ista, et quomodo observata aut appellata convenienter sequitur ut doceatis. Atque si solam illud nutriendi et augendi animam habere affirmatis, plantae alicuius profecto, non hominis, hac ratione secundum vos corpus illud quod nutritur et augetur erit. Et quomodo plantae pater homo sit intellegere, quoquo consideratione vertor, equidem non habeo, cum de homine plane existentiam secundum naturam non habeat. Si contra sensualem solam in embryo inesse animam asseveratis, equi plane vel bovis vel alterius alicuius animalium terrestrium aut volatilium animam habere embryon de conceptione manifestabitur, ac secundum naturam hominis per vos homo pater non erit, in prima coagmentatione, sed plantae alicuius, uti dicebam, vel animalium terrestrium alicuius. Et quid hoc esset absurdius aut amentius? Non enim coexistere plene cum prima eorum quae sunt compositione pro uniuscuiusque naturali differentia proprios extantiae fines asseverare, hoc omnia inter se confundere est, atque eorum quae extant nullum id proprie esse quod est affirmare. Et gravius malum, divinae sapientiae atque potestatis calumniam maximam manifesto id continere probabitur. Nam si omnibus quoquomodo existentibus antequam procreentur secundum dei praecognitionem propria inest ratione perfectio, apparet quod etiam simul cum existentia secundum propriam rationem in originem producta plene ipsa virtute et actione habebunt perfectionem. Iam si perfectio inest secundum dei praecognitionem in rebus existentibus, sed imperfectio secundum productionem in existentiam et originem, fit aut ut non ipsa illa sint quae praecognita sunt, sed alia pro aliis, aut ut opificis hoc sit manifesta imbecillitas atque aperta, cum quod secundum praecognitionem praecognosset statim una cum generatione secundum virtutem et actionem ita ut essentialiter comparatum est plenissime repraesentare non posset. Quae quidem argumenta reformidantes si ad illud extremum confugitis, iniquum esse dicentes, quod imago atque pars divina (intellectualem ita appellatis animam) cum fluxione atque sordida voluptate coëxistat, et honestius esse statuendum post quadraginta conceptionis dies insinuari illam, naturae opificem aperte calumniari videbimini, argueminique quod horrendum blasphemiae huius, quae palam est, periculum non temere subitis. Nam si matrimonium malum est, mala est, ut apparet, naturalis quoque procreationis lex: et si mala est ea naturalis procreationis lex, etiam is videlicet qui naturam effecit, ac legem procreandi ei dedit, in malitiae apud



Digitized by Google

*Μάνεντος καὶ τοὺς πρὸ αὐτοῦ αἱρετικοὺς, ταύτης ἕνεκα τρόπον τινὰ καὶ μόνης τῆς αἰτίας, δύο ἀρχὰς ὑποστησαμένους, καὶ τὸν ἐπὶ πάντων Θεὸν ἀρνησαμένους, ἀποστρεφόμεθα, τὸ αὐτὸ λέγοντας, εἰ καὶ μὴ διὰ τῶν αὐτῶν, καὶ ὑμᾶς εὑρηκότες. Εἰ δὲ ταύτης ἕνεκα τῆς αἰτίας συνυπάρχειν τῷ σώματι κατὰ τὴν σύλληψιν τὴν λογικήν τε καὶ νοερὰν ψυχὴν λέγειν δι' αἰσχύνης εὐλάβειαν παραιτεῖσθε μηδὲ μετὰ τεσσαράκοντα ἡμέρας, μήτε μετὰ τὸν ἐννεαμηνιαῖον τῆς κυοφορίας χρόνον, μήτε μὴν μετὰ τὸν τόκον, πρὸ τῶν μ' ἡμερῶν τοῦ καθαρισμοῦ φάναι τολμήσετε τὸ γεννηθὲν ἔχειν τὴν λογικήν τε καὶ νοερὰν ψυχήν. Οὐ γὰρ προεἰτὸν τῷ ναῷ τοῦ Θεοῦ τέως ἐστὶ τὸ τεχθὲν, ὡς ἁγιαθὲν τῷ νόμῳ διοριζόμενον. Ὡς λοιπὸν μέχρι τῆς τῶν ἡμερῶν τοῦ καθαρισμοῦ συμπληρώσεως μὴ ἔχειν τὸ τικτόμενον τὴν λογικήν τε καὶ νοερὰν ψυχὴν κατὰ τὸν εἰκότα λόγον ὑπονοεῖν, ἀλλά τινος, ὡς ἔφην μικρῷ πρόσθεν, φυτοῦ ἢ ζώου ἀλόγου τῶν ἐν τοῖς οὖσι*

Cod. f. 238 a. *διειλημμένων. Εἰ δὲ πρόφασις | ὑμῖν τοῦ τοιούτου λόγου καθέστηκε τὸ γεγραφέναι τὸν μέγαν Μωϋσῆν, δίκας μὴ ἀπει-*

Exod. 21, 22. *τεῖσθαι τὸν πλήξαντα τὴν κυοφοροῦσαν γυναῖκα, πρὸ τεσσαράκοντα ἡμερῶν εἰ συμβαίη διὰ τῆς πληγῆς αὐτὴν παρὰ τὸν καιρὸν ἀποθέσθαι τὸ ἔμβρυον, ἰστέον ὡς οὐ τὴν εἰς τὸ σῶμα τότε τῆς λογικῆς ψυχῆς γινομένην εἴσοδον ἐμφαίνων ὁ σοφὸς Μωϋσῆς, ἀλλὰ τὸν τέλειον τοῦ καταβληθέντος ἐξεικονισμὸν ἀπαρτίζεσθαι τότε δηλῶν, τέως κατὰ τὸν πρόχειρον νοῦν τοῦτο γέγραφε. Προσεπιτούτοις δὲ πᾶσι, δέδοικα τὸν τοιοῦτον προσδέξασθαι λόγον, μήπως ἡ τοῦ λόγου καθ' εἱρμὸν προβαίνουσα τάξις φοβερῶν ποιήσῃ με δικαίως ἐγκλημάτων ὑπεύθυνον, ὅπερ μὴ θέμις εἰπεῖν ὅσον ἐκ τῆς ἀκολουθίας τοῦ λόγου με βιαζομένη τὸν κύριον ἡμῶν καὶ Θεὸν λέγειν, εἴπερ ἀληθῶς καθ' ἡμᾶς γενέσθαι κατηξίωσεν ἄνθρωπος χωρὶς ἁμαρτίας, κατὰ τὴν σύλληψιν ἄψυχον καὶ ἄνουν ἄνθρωπον γεγονέναι, καὶ τὰς τεσσαράκοντα ἡμέρας οὕτως ἔχοντα μεμενηκέναι, τῶν ἁγίων πατέρων ἡμῶν καὶ διδασκάλων διαῤῥήδην βοώντων, μᾶλλον δὲ τῆς δι' αὐτῶν λαλούσης τε καὶ λαλουμένης ἀληθείας, ἅμα τῇ καθόδῳ τοῦ Θεοῦ λόγου κατὰ τὴν σύλληψιν ἀχρόνως διὰ μέσης ψυχῆς λογικῆς ἑνωθῆναι σαρκὶ τὸν κύριον αὐτὸν καὶ Θεὸν λόγον, ἀλλ' οὐ διὰ μέσης σαρκὸς ἀψύχου λογικὴν ψυχὴν προσδέξασθαι προσγινομένην, καὶ οὐκ ἄψυχον σῶμα παντελῶς ἢ ἄνουν ψυχὴν καὶ ἄλογον ἀνειληφέναι, ἀλλὰ τελείαν ἀνελλιπῶς τὴν φύσιν τὴν ἐκ ψυχῆς λογικῆς ἅμα καὶ σώματος συνισταμένην ἑαυτῷ καθ' ὑπόστασιν ἀῤῥήτως ἑνῶσαι. Διὸ μάλιστα περιέχομαι τοῦ τῆς συνυπάρξεως λόγου, τοὺς ἐφ' ἑκάτερα δι' ἐναντίας ὄντας ἀλλήλοις τε καὶ τῇ μεσότητι προσφυῶς ἀποπεμπόμενος, αὐτὸν τὸν τῆς φύσεως ποιητὴν ἔχων τῷ καθ' ἑαυτὸν μυστηρίῳ τῆς ἐνσωματώσεως τοῦ τοιούτου λόγου |*

Digitized by Google

vos crimen iure incurret. Et quid Manichaeos et antiquiores, si ita est, aversamini haereticos, propter hanc quodam modo, et unicam causam duo principia substituentes deumque universarum rerum abnegantes, postquam vos ipsos idem quod illi, etsi non per eadem, statuere deprehendistis? Quodsi hacpropter coëxistere per conceptionem cum corpore animam rationalem et intellectualem pudoris metu dicere refugitis, ne post quadraginta quidem dies, nec post novem graviditatis menses, nec post ipsam partus editionem, ante quadraginta purgationis dies partum habere rationalem atque intellectualem animam dicere audebitis. Intra hoc enim tempus ad dei templum accedere infanti non licet, quippe impuro secundum legis sanctionem. Ita reliquum est ut ante dies purgationis completos partus nec rationalem nec intellectualem animam habere secundum argumentationis probabilitatem putetis, sed, ut paulo antea dixi, habere animam plantae, aut irrationalis animalis alicuius de numero eorum quae rerum natura comprehendit. Cuiusmodi opinionis si forte inde occasionem sumpsistis quod magnus Moyses scripsit ab eo poenas non esse repetendas qui gravidam mulierem cecidisset, ante quadraginta dies si propter plagam embryon in lucem ederet, sciendum est quod sapiens Moyses non rationalis ibi animae in corpus ingressum, sed perfectam sati figurationem absolvi intra id tempus significans, interim in hunc sensum haec scripserit. Ad haec vero omnia talem admittere sententiam reformido, ne qua sermonis serie procedens ordo horrèndorum me criminum iure obnoxium faciat, quoad ex disputationis consequentia me dicere cogens dominum nostrum ac deum, quod dixisse nefas est, siquidem vere ad nos homo fieri dignatus est, peccati tamen expers, hoc est dixisse eum de conceptione inanimatum et mente non praeditum hominem effectum fuisse, et per quadraginta dies hoc statu perseverasse, cum sancti patres nostri atque doctores diserte conclament, immo ipsa per eos veritas affirmet et affirmetur, simul cum dei verbi per conceptionem descensione statim et nullo tempore interiecto per mediam animam rationalem dominum ipsum et deum Verbum cum carne coisse, non vero per mediam carnem inanimatam animam rationalem accedentem recepisse, et non inanimatum prorsus corpus aut mentis expertem irrationalemque animam adoptasse, sed perfectam plene naturam ex anima rationali simul et corpore consistentem sibimet secundum substantiam ineffabili quodam modo coadunasse. Quamobrem maxime amplexor coëxistentiae opinionem, ceterasque in utramque partem divergentes, quae tam sibi invicem quam medio contrariae sunt, ut consentaneum est, missas facio, et ipsum naturae conditorem suo quod sibi habet incarnationis myste-

Digitized by Google

Cod. f. 236 b. συνήγορόν τε καὶ διδάσκαλον ἀπαραλόγιστον, τὸν γενόμενον ἀληθῶς ἄνθρωπον, καὶ τὴν φύσιν τελείως ἔχουσαν ἅμα τῷ εἶναι κατὰ τὴν γένεσιν ὑφίστασθαι δι' ἑαυτοῦ βεβαιωσάμενον, καὶ μόνην καινοτομήσαντα τὴν καινοτομίαν τῆς φύσεως, λέγω δὴ τὴν διὰ σπορᾶς σύλληψιν καὶ τὴν διὰ φθορᾶς γέννησιν, ἅσπερ ἡ φύσις μετὰ τὴν παράβασιν ἐπεσπάσατο, τῆς θείας ἀποπεσοῦσα καὶ πνευματικῆς εἰς πλῆθος αὐξήσεως, ἀλλ' οὐ τὸν λόγον τῆς φύσεως καθ' ὃν ἐστί τε καὶ γίνεσθαι πέφυκεν ἅμα τῷ εἶναι ἐκ ψυχῆς λογικῆς ὑφισταμένη καὶ σώματος.

## *Περὶ τοῦ πῶς καινοτομία γίνεται τῶν καινοτομουμένων πραγμάτων μενόντων ἀτρέπτων κατὰ τὴν φύσιν.*

*Πᾶσα γὰρ καθόλου φάναι καινοτομία περὶ τὸν τρόπον τοῦ καινοτομουμένου πράγματος πέφυκεν, ἀλλ' οὐ περὶ τὸν λόγον τῆς φύσεως γίνεσθαι, διόπερ ὁ μὲν λόγος καινοτομούμενος φθείρει τὴν φύσιν, οὐκ ἔχουσαν τὸν καθ' ὃν ἐστι λόγον ἀραδιούργητον, ὁ δὲ τρόπος καινοτομούμενος φυλαττομένου δηλαδὴ τοῦ κατὰ φύσιν λόγου θαύματος ἐνδείκνυται δύναμιν, ὡς τὴν φύσιν ἐνεργουμένην τε καὶ ἐνεργοῦσαν ὑπὲρ τὸν ἑαυτῆς ἀποδεικνὺς δηλονότι θεσμόν. Λόγος δὲ φύσεως ἀνθρωπίνης ἐστὶ τὸ ψυχὴν καὶ σῶμα καὶ ἐκ ψυχῆς λογικῆς εἶναι τὴν φύσιν καὶ σώματος, τρόπος δὲ ἡ ἐν τῷ ἐνεργεῖν καὶ ἐνεργεῖσθαι φυσικῶς τάξις ἐστὶν, ἀμειβομένη τε πολλάκις καὶ ἀλλοιουμένη, τὴν δὲ φύσιν ἑαυτῇ παντελῶς οὐ συναμείβουσα. Καθάπερ καὶ ἐπ' ἄλλου παντὸς ἔχει πράγματος, ἡνίκα καινίσαι τι περὶ τὴν ἑαυτοῦ κτίσιν ὁ θεὸς βουληθῇ προνοίας ἕνεκεν τῶν προνοουμένων, καὶ ἐνδείξεως τῆς ἐπὶ πάντα καὶ διὰ πάντων διηκούσης δυνάμεως. Ὥσπερ ἀμέλει παραδοξοποιῶν ταῖς ἀνέκαθεν τῶν θαυμάτων τε καὶ σημείων μεγαλειότησι καινοτομίας λόγῳ πεποίηκε, πρὸς ἕτερον εἶδος ζωῆς παρὰ τὸ ἐν σαρκὶ τῇ ὑπὸ φθορὰν μεταβιβάσας τὸν Ἐνὼχ τε καὶ τὸν Ἠλίαν τοὺς μακαρίους, οὐ κατ'*
Cod. f. 237 a. *ἀλλοίωσιν φύσεως, ἀλλὰ κατὰ | παραλλαγὴν τῆς κατ' αὐτὴν ἀγωγῆς καὶ διοικήσεως, ὕδωρ εἰς ἐπίκλυσιν τῶν ἐπὶ γῆς μοχθηρῶν ἀνθρώπων καθιστῶν τῷ ποσῷ πολλαπλάσιον, ἐν τῇ κιβωτῷ μετὰ θηρίων ἀγρίων ἀποφαίνων τὸν πρῶτον πλωτῆρα Νῶε δίαιταν ἔχειν ἀλύμαντον, Ἀβραὰμ καὶ Σάῤῥαν τοὺς μεγάλους αὐτοῦ θεράποντας παιδὶ τιμῶν παρ' ἡλικίαν καὶ τὸν νενομισμένον πρὸς παιδοποιΐαν ὅρον τε καὶ χρόνον τῆς φύσεως, πῦρ τὴν ἐπὶ τὰ κάτω ποιεῖσθαι φορὰν εἰς ἐπίκλυσιν ἀσεβῶν παρασκευάζων, οὐδ' ὅλως τοῦ κατὰ φύσιν λόγου διὰ τοῦτο μειούμενον, τῆς βάτου πῦρ ἀκαύστως ἐξάπτων εἰς τὴν τοῦ θεράποντος πρόσκλησιν, ὕδωρ ἐν Αἰγύπτῳ πρὸς αἵματος μεταβάλλων ποιότητα, τὴν φύσιν αὐτοῦ παντελῶς μὴ ἠρνημένον, ὕδωρ μεῖναν κατὰ φύσιν καὶ μετὰ τὴν φοίνιξιν, καὶ τὰ*

Digitized by Google

rio patronum huius opinionis atque doctorem infallibilem habeo, qui vere est homo factus, quique naturam, simul atque esse incepit, secundum generationem subsistere perfecte habentem per semetipsum confirmavit et solum naturae innovationem inchoavit, conceptionem per sationem inquam, atque generationem per interitum, quas natura post transgressionem sibi contraxerat, cum de divino et spirituali in multitudinem incremento delapsa esset, sed non naturae rationem, secundum quam et est et fieri potest, simul cum existentia ex rationali anima atque corpore suscepisset.

## Quomodo innovatio fiat dum res innovandae firmae natura ac stabiles maneant.

Omnis etenim, ut universe dicam, innovatio circa modum rei innovandae, non circa rationem naturae, fieri comparata est, quia ratio innovata naturam laedit, quae eam secundum quam existit rationem non teneat intemeratam, modus vero innovandus, ita nimirum ut naturalis ratio servetur, miraculi ostendit virtutem, cum naturam nempe et actam et agentem ultra suam ipsius legem ac normam promoveat. Ratio autem humanae naturae est animam et corpus et ex anima rationali et corpore naturam esse, contra modus est ordo quo agitur naturaliter et agit, qui saepenumero vertitur et immutatur, sed naturam una cum semetipso omnino non mutat. Quemadmodum etiam in quacunque re alia fieri solet, quando deus circa suam aliquid conditionem voluerit innovare providentiae gratia eorum quibus providetur, et ad demonstrandam suam quae cuncta comprehendit ac permeat virtutem. Ita profecto virtutem exhibens miraculorum antiquitus atque ostentorum magnificentiis ratione innovationis est usus, cum ad alteram vitae speciem iuxta istam in carne et interitui obnoxiam Henoch et Eliam beatos viros transferret, non immutata eorum natura, sed vicissitudine instituendi eius administrandique, cum aquam ad submergendos improbos in terra homines quantitate multiplicari iuberet, cum in arca simul cum feris agrestibus primum navitam Noë vitam degere haud infestatam ostenderet, cum Abraham et Saram magnos sui cultores partu honoraret praeter aetatem ac legitimum prolis serendae terminum naturae ac tempus, cum ignem desuper cadere in hominum impiorum summersionem iuberet, nequaquam tamen per hoc imminutum ratione sua naturali, cum rubi ignem non urentem servi sui advocandi gratia accenderet, cum aquam in Aegypto in sanguinis mutaret qualitatem, naturam suam omnino non abnegantem, quippe quae aqua maneret secundum naturam quamvis rubefacta, cumque cetera miracula

Digitized by Google

λοιπὰ τῶν ἐκεῖσε θαυμάτων τε καὶ σημείων ἐπιτελῶν, πρὸς τὸ δοῦναι τοῖς μὲν πιστοῖς τῶν κατεχόντων δεινῶν ἐλευθερίας ἐλπίδα, τοῖς ἀπίστοις δὲ συναίσθησιν τῆς κολαζούσης δυνάμεως, πρὸς ἀπόθεσιν τῆς κατεχούσης αὐτοὺς περὶ τὸ θεῖον πωρώσεως, θάλασσαν τέμνων ῥάβδῳ καὶ τὸ συνεχὲς διαλύων τοῦ ὕδατος, τῆς οἰκείας μὴ ἐξισταμένου φύσεως, εἰς δίοδον μὲν τῶν δι' αὐτὸν διωκομένων, ἐποχὴν δὲ τῶν ἀναιτίως διωκόντων τὸ εὐγενὲς καὶ ἐλεύθερον, ὕδωρ ξύλῳ γλυκαίνων, καὶ ἄρτον ἀνήροτον οὐρανόθεν ὗων ξένον καὶ ἄγνωστον, καὶ πλῆθος ὀρνέων ἐδωδίμων ἐξαίφνης τῆς θαλάττης ἐκβράζων, χωρὶς τῆς κατὰ φύσιν ἐξ ἀλλήλων διαδοχῆς, πρὸς παραμυθίαν τῶν ἐν τῇ ἐρήμῳ κακοπαθούντων, ὕδατος μητέρα τὴν πέτραν ἀποδεικνὺς, εἰς βεβαίωσιν πίστεως τῶν ἐν τοῖς ἀγῶσι λειποτακτούντων, ποταμὸν ἀνακόπτων πρὸς διάβασιν ἄβροχον λαοῦ θεοσεβοῦς, ἡλίου τε καὶ σελήνης δρόμον ἐπέχων ἀκώλυτον παραδόξως, τὴν ἀεικίνητον τοῦ περιέχοντος
Cod. f. 237 b. φύσιν στήσας ἀκίνητον, πρὸς ὄλεθρον ἀσεβοῦς δυναστείας ἀμαθῶς ἀντιπαρατατομένης θεῷ, καὶ πρὶν λάβῃ πέρας τῶν ὁρωμένων ἡ δύναμις, καὶ εἰς κατάσχεσιν τῆς πόρρωθεν ἀψευδῶς ἐπηγγελμένης κληρονομίας. Καὶ τὰ λοιπὰ ὅσα δὴ πεποιηκέναι λέγεται, κατά τε τὴν γῆν τῆς κατασχέσεως καὶ τὰς λοιπὰς εἰς ὅσας ἦλθε παρανομήσας ὁ παλαιὸς Ἰσραὴλ, περὶ τὸν τρόπον τῆς ἐνεργείας, ἀλλ' οὐ περὶ τὸν λόγον τῆς ὑπάρξεως, τὴν φύσιν καινοτομήσας τῶν καινοτομηθέντων πεποίηκεν ὁ θεός. Μεθ' ὧν ἁπάντων καὶ μεθ' ἃ τὸ δι' ὃ πάντα καὶ δι' οὗ καινότατον ὄντως μυστήριον τῆς αὐτοῦ δι' ἡμᾶς ἐνανθρωπήσεως ἐπιτελέσας περὶ τὸν τρόπον, ἀλλ' οὐ περὶ τὸν λόγον, τὴν φύσιν ἐκαινοτόμησε, προσλήψει σαρκὸς διὰ μέσης ψυχῆς νοερᾶς, ἀῤῥήτως κυηθεὶς ἄνευ σπορᾶς, καὶ γεννηθεὶς ἀληθῶς ἄνευ φθορᾶς ἄνθρωπος τέλειος, ψυχὴν νοερὰν μετὰ σώματος ἐξ αὐτῆς τῆς ἀφράστου συλλήψεως ἐσχηκώς.

## Ὅτι πᾶσα φύσις. τῷ οἰκείῳ λόγῳ διαπαντὸς ἔχει τὸ τέλος.

Πᾶσα γὰρ, καθολικῶς εἰπεῖν, φύσις, νοητή τε καὶ αἰσθητὴ, ἤγουν ἁπλῆ καὶ σύνθετος, καθ' οἱονδήποτε τρόπον ἐκ μέρους τὴν πρὸς τὸ εἶναι τῆς γενέσεως ἀρχὴν οὐδέποτε δέχεται. οὔτε μὴν ἐξ ἡμισείας μοίρας ὑφίστασθαι δύναται. Ἀλλ' εἰ μὲν σύνθετος φύσις ἐστὶν, ὅλη τελεία τελείοις τοῖς οἰκείοις μέρεσιν ἀθρόως συνυφίσταται, μὴ ἔχουσα πρὸς ἑαυτὴν ἢ πρὸς ἄλληλα τῶν ἐξ ὧν ἐστι μερῶν τὴν οἱανοῦν κατὰ τὸν χρόνον διάστασιν. Εἰ δὲ ἁπλῆ φύσις ἐστὶν, ἤγουν νοητὴ, ὡσαύτως ἅμα τοῖς ἑαυτῆς ἀπαραλείπτως λόγοις τελεία τελείοις ἀθρόως συνυφίστασθαι πέφυκε, χρόνου τινὸς τὸ σύνολον αὐτὴν τῶν οἰκείων λόγων, οὐδαμῶς διακρίνοντος.

Digitized by Google

illa atque ostenta perficeret, ut fidelibus spem e calamitatibus quibus obsidebantur evadendi, infidelibus vero sensum castigantis virtutis suae praeberet, ad dissolvendam eorum circa deum qua tenebantur indurationem, mare virga dissecans atque aquae cohaerentiam separans ita ut de peculiari sua natura haud degeneraret, cum in transgressum eorum qui propter sese ab instante hoste premebantur, tum in repressionem eorum qui nobilitatem ac libertatem impudenter persequebantur, aquam ligno dulcem reddens, et panem nullo aratro partum caelitus pluens novum atque incognitum, et avium multitudinem esculentarum subito de mari ebulliens, extra naturalem singulorum ex se quo cohaerent ordinem ac seriem, in solatium eorum qui in deserto afflictabantur, aquae matrem saxum ostendens, in obfirmationem fidei eorum qui in acie ordines deserebant, flumen retundens in siccum transgressum pii populi, solis atque lunae cursum inhibens mirifice nullo obstaculo impeditum, et sistens caeli naturam semper immobilem adeo ut immota staret, in perniciem impiae dominationis, deo per ignorantiam aciem opponentis, idque ne prius ostenti omnium oculis obiecti virtus cessaret quam perfecta foret clades, atque ut in posterum obtinerent haereditatem verociter annuntiatam. Et reliqua quotquot deus tam in terra possessionis quam in ceteris in quas Israel vetus ob peccata veniebat, effecisse narratur, circa modum virtutis, sed non circa rationem extantiae innovando naturam eorum quae innovabantur, deus effecit. In quibus omnibus et post quae illud, propter quod haec sunt omnia et per quod, novissimum revera mysterium suum, quo carnem propter nos ingressus est, circa modum perficiens, at non circa rationem, naturam innovavit, carne per mediam animam intellectualem assumpta, ineffabili quodam modo sine satione conceptus, et generatus vere sine corruptione homo perfectus, animam intellectualem cum corpore ex ipsa quam interpretari non capit conceptione nactus.

## Quod omnis natura propria semper ratione habeat finem.

Omnis enim, ut generatim loquar, natura, intellegibilis et sensibilis, vel simplex et composita, quocunque modo id est, ex parte nunquam capit initium generationis in existentiam, neque profecto ex dimidia parte subsistere potest. Sed si composita est natura, tota subsistit perfecta simul cum perfectis suis ipsius particulis, nec sui habet aut particularum ex quibus constat inter se ullam secundum tempus distantiam. Verum si simplex natura est, sive intellegibilis, pari modo una cum suis plene rationibus perfectis ipsa perfecta summatim subsistit, tempore prorsus nullo a suis rationibus

Digitized by Google

Οὔτε γὰρ ἦν ποτε καθόλου τις φύσις ἐν τοῖς οὖσιν, οὔτε ἔστιν, οὔτε ἔσται κατὰ τὸν ἑαυτῆς λόγον ὑπάρχουσα ὅπερ
Cod f. 238 a. νῦν οὐκ ἔστιν, οὔτε μὴν | νῦν ἐστιν ἢ ἐς ὕστερον ἔσται ὅπερ οὐκ ἦν πρότερον. Ὧν γὰρ οἱ λόγοι παρὰ τῷ θεῷ ἅμα τῷ εἶναι τὸ τέλειον ἔσχον, τούτων ἡ κατὰ τοὺς οἰκείους λόγους παραγωγὴ καὶ οὐσίωσις προσθήκης πάσης καὶ ἐλλείψεως τῆς πρὸς τὸ εἶναι ὅπερ ὄντα τυγχάνει παντελῶς ἐστιν ἀνεπίδεκτος. Ἀλλ' ἀρκεῖν οἶμαι κατὰ τὴν τοῦ λόγου παρέκβασιν καὶ πρὸς τούτους τὰ νῦν ῥηθέντα, πρὸς τὸ μὴ παρασύρεσθαι ῥᾳδίως εἰς ἀτόπους δόξας παρὰ τῶν πίστιν ποιουμένων τὴν ἐν ταῖς κομψείαις τῶν λόγων τεχνικὴν πιθανότητα.

## Διὰ τί συνῆψε τῇ σαρκώσει τὴν ἐκ βαπτίσματος γέννησιν ὁ διδάσκαλος.

Πρὸς τί δὲ βλέπων καὶ τίνος ἕνεκεν τῇ σαρκώσει συνῆψε τὴν ἐκ βαπτίσματος γέννησιν ὁ διδάσκαλος (τοῦτο γὰρ εἰς τὴν ἐξέτασιν ἔτι τοῦ προκειμένου λείπεται λόγου), συντόμως ὡς ἔμαθον ἐρῶ κατὰ δύναμιν. Φασὶν οἱ τὰ θεῖα μυστικῶς περιέποντες λόγια, καὶ τοῖς ὑψηλοτέροις, ὡς εἰκός, αὐτὰ σεμνύνοντες θεωρήμασι, κατ' εἰκόνα θεοῦ κατ' ἀρχὰς γεγενῆσθαι τὸν ἄνθρωπον, ἐπὶ τῷ πάντως γεννηθῆναι κατὰ προαίρεσιν πνεύματι, καὶ προσλαβεῖν τὸ καθ' ὁμοίωσιν διὰ τῆς τηρήσεως τῆς θείας ἐντολῆς αὐτῷ προσγενόμενον, ἵνα ᾖ ὁ αὐτὸς ἄνθρωπος πλάσμα μὲν τοῦ θεοῦ κατὰ φύσιν, υἱὸς δὲ θεοῦ καὶ θεὸς διὰ πνεύματος κατὰ χάριν. Οὐ γὰρ ἦν δύνατον ἄλλως υἱὸν ἀποδειχθῆναι θεοῦ καὶ θεὸν κατὰ τὴν ἐκ χάριτος θέωσιν τὸν γενόμενον ἄνθρωπον, μὴ πρότερον κατὰ προαίρεσιν γεννηθέντα τῷ πνεύματι, διὰ τὴν ἐνοῦσαν αὐτῷ φυσικῶς αὐτοκίνητον καὶ ἀδέσποτον δύναμιν. Ἥντινα θεοποιὸν καὶ θείαν καὶ ἄϋλον γέννησιν, διὰ τὸ προτιμῆσαι τῶν νοουμένων καὶ ἀδήλων τέως ἀγαθῶν τὸ κατ' αἴσθησιν τερπνὸν καὶ ἐπίδηλον, παραλιπὼν ὁ πρῶτος ἄνθρωπος, τὴν ἐκ σωμάτων εἰκότως ἀπροαίρετον καὶ ὑλικὴν καὶ ἐπίκηρον |
Cod. f. 238 b. ἔχειν καταδικάζεται γέννησιν, ἀξίως κρίναντος τοῦ θεοῦ τὸν ἑκουσίως τῶν κρειττόνων τὰ χείρονα προελόμενον, τὴν ἐμπαθῆ καὶ δούλην καὶ κατηναγκασμένην, καθ' ὁμοιότητα τῶν ἐπὶ γῆς ἀλόγων τε καὶ ἀνοήτων κτενῶν γέννησιν τῆς ἐλευθερίας καὶ ἀπαθοῦς καὶ αὐθαιρέτου καὶ ἄγνης ἀνταλλάξαι γεννήσεως, καὶ τῆς σὺν θεῷ καὶ θείας καὶ ἀνεκλαλήτου τιμῆς τὴν μετὰ τῶν ἀνοήτων κτενῶν ἄτιμον ἀντιλαβεῖν συμπαρενέγκῃ. Ἧς τινος τὸν ἄνθρωπον ἐλευθερῶσαι καὶ πρὸς τὴν θείαν εὐκληρίαν ἐπαναγαγεῖν βουλόμενος ὁ τὴν φύσιν τῶν ἀνθρώπων δημιουργήσας λόγος, ἄνθρωπος ἐξ ἀνθρώπων ἀληθῶς γίνεταί τε καὶ γεννᾶται σωματικῶς χωρὶς ἁμαρτίας διὰ τὸν ἄνθρωπον, καὶ βαπτίζεται, τὴν εἰς υἱοθεσίαν πνευματι-

Digitized by Google

utcunque separata. Neque enim erat unquam omnino aliqua natura in eis quae existunt, neque est, neque erit secundum suam ipsius rationem tale quid extans quod nunc non est, neque profecto nunc est aut in futuro erit quod antea non fuit. Quorum enim rationes apud deum simul cum existentia perfectionem habuerunt, horum secundum suas rationes productio atque in essentiam prolatio additamenti omnis et defectus ad existentiam eam quam sortita sunt expertes et non capaces. Sed satis esse opinor quae nunc secundum sermonis digressionem etiam adversum hos disputavi, ne facile in absurdas opiniones abstraherentur ab eis qui artificiosam probabilitatem in sermonum elegantiis pro fide habent atque commendant.

## Quare magister cum incarnatione coniunxerit generationem per baptismum.

Quo respectu et qua causa magister cum incarnatione coniunxerit generationem per baptismum (hoc enim restat adhuc quaerendum in hac disputatione), id breviter ut didici pro viribus meis exponam. Qui divina mystice tractant oracula, ac sublimioribus, ut par est, contemplationibus honorant, hominem ad dei imaginem in principio factum esse tradunt, cum plane secundum voluntatem generatus esset spiritu, et similitudinem hanc accepisse attributam propter servatum dei mandatum, ut idem homo figmentum quidem sit dei secundum naturam, sed filius dei et deus per spiritum secundum gratiam. Non enim aliter dei filius ac deus secundum gratiae deificationem potuit designari homo factus, nisi antea secundum voluntatem esset spiritu generatus, ob eam quam naturaliter in se habet potestatem liberi arbitrii. Hanc igitur deificam atque divinam et immaterialem generationem cum primus homo deseruisset, quia eis quae intellectus sunt et ab oculorum obtutu remota interim bonis praetulit sensibilem voluptatem et manifestam, corporali, quae non nostri nempe sit arbitrii, ac materiali et fato concedenda generatione damnatur, iusto dei iudicio, qui sponte peiora praetulerit melioribus, id est generationem passioni subiectam et servilem et coactam, in modum bestiarum terrae brutarum et pecudis mente carentis, praetulerit libertati ac generationi a passione liberae et sui arbitrii et sanctae, atque pro honore cum deo et divino et ineffabili mercari voluerit parem cum insensatis bestiis et inhonoratam in materiam relegationem. Qua hominem liberare et ad beatitudinem divinam reducere volens Sermo, naturae humanae artifex, homo ex hominibus vere fit atque generatur corporaliter sine peccato propter hominem, et baptizatur, sponte subiens generationem

Digitized by Google

κὴν ὑπὲρ ἡμῶν ἑκουσίως ὑπερχόμενος γέννησιν, ὁ κατ' οὐσίαν θεὸς καὶ θεοῦ κατὰ φύσιν υἱὸς, εἰς ἀθέτησιν τῆς ἐκ σωμάτων γεννήσεως. Ἐπειδὴ τοίνυν δι' ἡμᾶς ὁ ποιήσας ἡμᾶς καὶ μόνος τῷ πατρὶ μετὰ τοῦ πνεύματος ὁμόθεος καὶ ὁμόδοξος υἱὸς καὶ λόγος καθ' ἡμᾶς ἐξ ἡμῶν ἀληθῶς ἄνθρωπος γίνεται, καὶ σωματικῶς γεννᾶται χωρὶς ἁμαρτίας, καὶ τὴν ἐκ βαπτίσματος εἰς υἱοθεσίαν πνευματικὴν ὑπὲρ ἡμῶν ὑπελθεῖν καταδέχεται γέννησιν ὁ φύσει θεὸς, διὰ τοῦτο συνῆφε τῇ σαρκώσει, καθὼς οἶμαι, τὴν ἐκ βαπτίσματος γέννησιν ὁ διδάσκαλος, ὡς εἰς ἀθέτησιν καὶ λύσιν τῆς ἐκ σωμάτων ἐπινοηθῆναι γεννήσεως. Ὅπερ γὰρ ὁ Ἀδὰμ (λέγω δὲ τὴν εἰς θέωσιν ἐκ πνεύματος γέννησιν) ἑκουσίως παραλιπὼν γεννᾶσθαι σωματικῶς εἰς φθορὰν κατεκρίθη, τοῦτο κατὰ θέλησιν ὡς ἀγαθὸς καὶ φιλάνθρωπος ἐν τῷ ἡμῶν παραπτώματι γενόμενος ἄνθρωπος, καὶ συγκατακρίνας ἡμῖν ἑαυτὸν ἑκουσίως, ὁ μόνος ἐλεύθερος
Cod. f. 239 a. καὶ ἀναμάρτητος, καὶ τὴν ἐκ σωμάτων γεν | νηθῆναι καταδεξάμενος γέννησιν, ἐν ᾗ τὸ κράτος ὑπῆρχε τῆς ἡμῶν κατακρίσεως, τὴν ἐν πνεύματι μυστικῶς διωρθώσατο γέννησιν, καὶ τῆς σωματικῆς γεννήσεως λύσας ὑπὲρ ἡμῶν ἐν ἑαυτῷ τὰ δεσμὰ δέδωκεν ἡμῖν ἐξουσίαν διὰ τῆς κατὰ πνεῦμα γεννήσεως κατὰ θέλησιν, τέκνα θεοῦ ἀντὶ σαρκὸς καὶ αἵματος γενέσθαι τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ. Σάρκωσις οὖν καὶ σωματικὴ πρότερον τῆς ἐμῆς ἕνεκα κατακρίσεως ἐπὶ τοῦ κυρίου παρηκολούθησε γέννησις, καὶ οὕτως ἡ διὰ τοῦ βαπτίσματος ἐν πνεύματι παραλειφθεῖσα ἐπηκολούθησε γέννησις, ὑπὲρ τῆς ἐμῆς κατὰ χάριν σωτηρίας καὶ ἀνακλήσεως, ἢ σαφέστερον εἰπεῖν ἀναπλάσεως· οἷα συνάπτοντος περὶ ἐμὲ τοῦ θεοῦ τόν τε τοῦ εἶναι μου λόγον καὶ τὸν τοῦ εὖ εἶναι, καὶ τὴν γενομένην παρ' ἐμοῦ τούτων ἐνοποιοῦντος τομὴν καὶ διάστασιν, καὶ διὰ τούτων πρὸς τὸν τοῦ ἀεὶ εἶναι λόγον σοφῶς συνελαύνοντος, καθ' ὃν οὐκέτι τὸ φέρειν ἔστι καὶ φέρεσθαι περὶ τὸν ἄνθρωπον, λαβούσης τέλος περὶ τὸ φέρεσθαι τῆς τῶν φαινομένων οἰκονομίας διὰ τῆς μεγάλης καὶ κοινῆς ἀναστάσεως, εἰς ἀθανασίαν γεννώσης τὸν ἄνθρωπον καθ' ὕπαρξιν ἀναλλοίωτον, δι' ὃν τῶν φαινομένων ἡ φύσις τὸ εἶναι κατὰ γένεσιν εἴληφε, καὶ μεθ' οὗ λήψεται χάριτι τὸ κατ' οὐσίαν μὴ φθείρεσθαι. Ἀλλ' εἰ δοκεῖ τῶν εἰρημένων κατ' ἐπιτομὴν ἐπιμνησθέντες τὴν δύναμιν, κεφαλαιώσωμεν. Ἔχομεν τὴν ἐκ σωμάτων γέννησιν τοῦ σωτῆρος ἡμῶν κατ' ἐπίνοιαν διαιρεθεῖσαν εἰς τὸν προηγούμενον τῆς φύσεως λόγον καὶ εἰς τὸν νῦν αὖθις ὑπάρχοντα καθ' ἡμᾶς, εἰς ὃν ἐτελεύτησε, καὶ πάλιν εἰς τὸν κατὰ φύσιν τῆς γενέσεως λόγον καὶ εἰς τὸν τῆς γεννήσεως τρόπον, προσέτι γε μὴν καὶ εἰς τοὺς διαφόρους τρόπους τῆς κατ' οὐσίαν γενέσεως τῆς ψυχῆς καὶ τοῦ σώματος,
Cod f. 239 b. καὶ προσεπιτούτοις | εἰς τὴν ἄνευ σπορᾶς σύλληψιν καὶ τὴν ἄνευ φθορᾶς γέννησιν. Ἐφ' ὑμῖν οὖν ἐστιν ὡς κριταῖς δικαίοις τῶν λελεγμένων ἐπιβολῶν ἐγκρίναι τὴν κρείττονα.

Digitized by Google

pro nobis in adoptionem spiritualem, essentialiter deus et dei secundum naturam filius, ut infirmaret corporalem generationem. Cum igitur qui nos fecit, quique solus Patri cum Spiritu par est et deitate et gloria Filius et Sermo, propter nos apud nos ex nobis vere homo fit, et corporaliter nascitur sine peccato, et generationem de baptismo in adoptionem spiritualem pro nobis subeundam suscepit naturaliter deus, — idcirco cum incarnatione, ut mihi videtur, magister coniunxit generationem ex baptismo, ut hoc infirmandae expiandaeque corporalis generationis gratia factum esse interpreteris. Nam quod Adam (generationem spiritualem in deificationem inquam) sponte deseruit, ut corporali in interitum generatione damnaretur, hoc sponte sua, ut bonus et hominum amans, in nostro lapsu homo factus, seque ipsum cum nobis pariter condemnans, qui solus liber et sine peccato, et corporalem generationem subeundam suscipiens, in qua condemnationis nostrae adhuc vis inesset, spiritualem mystice generationem reparavit, atque solutis generationis corporalis pro nobis in semetipso vinculis per spiritualem voluntatis generationem nobis, qui credimus in eius nomen, potestatem dedit ut dei filii pro carnis ac sanguinis fieremus. Incarnatio igitur atque corporalis prius propter meam damnationem in domino secuta est generatio, et sic quae reliqua erat per baptismum spiritualis insecuta est generatio, pro salute mea secundum gratiam et revocatione, aut, ut magis perspicue dicam, refictione; qua deus circa me copulat existentiae meae et bonae existentiae rationes, et eam quae a me facta erat harum divisionem atque distantiam contrahit, perque haec ad existentiae aeternae rationem sapienter compellit, secundum quam neque parient amplius homines neque parientur, cum eorum quae videntur ordo pariendi finem attigerit per magnam et communem resurrectionem, quae in immortalitatem generet hominem secundum subsistentiam immutabilem, qua rerum visibilium natura existentiam cepit originalem, et cum qua per gratiam impetrabit illud ut essentialiter non intereat. Sed si placet, eorum quae disputavimus brevi facta commemoratione capita recolamus. Habemus corporalem nostri salvatoris generationem cogitatione divisam in principalem naturae rationem et in eam quae nunc rursus penes nos existit, in quam est mortuus, et rursus divisam in naturalem generationis rationem et in generationis modum, praeterea etiam in diversos modos essentialis originis mentis atque corporis, et in conceptionem denique sine satione et generationem sine interitu. Penes vos est igitur, ut penes aequos iudices, expositarum opinionum quae melior sit vestra censura probare.

Digitized by Google

Greg. Nas. Or. in Sanct. Baptisma cap. 12. p. 699. tom. 1. Opp. edit. Bened.

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ, Τί φάρμακα ἐπιζητεῖς, τὰ μηδὲν ὀνήσοντα; τί κριτικὸν ἰδρῶτα, ἴσως παρεστῶτος τοῦ ἐξοδίου.

Τοῦτο, καθὼς ἔφασκεν ὁ μακάριος γέρων, πρὸς τοὺς ὑπερτιθεμένους τὸ βάπτισμα, τὸ ῥητὸν τέθεικεν ὁ διδάσκαλος, ἐλπίδι τοῦ ζήσεσθαι τὸ βάπτισμα φιληδονίας ἕνεκεν ὑπερτιθεμένους, καί φησι, Τί παρ' ἄλλου δέῃ μαθεῖν τὴν ἔξοδον, τοῦ βίου δηλονότι, ἀλλ' οὐχ ὡς ἤδη παρούσης διανοήσῃ; Τί φάρμακα ἐπιζητεῖς, τὰ μηδὲν ὀνήσοντα; τί κριτικὸν ἰδρῶτα, ἴσως παρεστῶτος τοῦ ἐξοδίου; Ἐπειδὴ γὰρ τέσσαρας ἡμέρας κρισίμους εἶναί φασιν ἰατρῶν παῖδες ἐν τοῖς πυρεκτιῶσι, τὴν ὁ', καὶ τὴν ζ, καὶ τὴν θ', καὶ τὴν ια', τυχὸν δὲ καὶ τὴν ιγ' (ἐν ταύταις γὰρ ἂν εὕρωσιν ἐν τῷ νοσοῦντι, καθώς φασι, νενοτισμένον ἐξ ἱδρῶτος τὸ σῶμα, τεκμηριοῦσι ζήσειν τὸν κείμενον), ἵνα οὖν μὴ τοῦτον ἐκδεχόμενος ὁ νοσῶν τὸν ἱδρῶτα κακοβούλως ὑπερτίθεται τὸ βάπτισμα, περίοδον οἰόμενος ἔχειν ἐτῶν, συμβουλεύει πάνυ σοφῶς ὁ διδάσκαλος τῷ κάμνοντι, μὴ τούτῳ τῷ ἱδρῶτι θαῤῥεῖν καὶ μάτην ἐρείδεσθαι, δυνατοῦ ὄντος ἀντὶ τούτου τὸν ἐξόδιον ἱδρῶτα συμβῆναι, τὸν βοῶντα τῆς παρούσης ζωῆς τὸ τέλος, ἵνα μὴ, ὡς εἶπον, διὰ τοῦτον ἀπατώμενος ὁ νοσῶν τὸν ἱδρῶτα τῆς μὲν προδήλου καὶ θείας ζωῆς καὶ ἀεὶ διαμενούσης ἀλλοτριούμενος λάθῃ, τὴν δὲ ἀνθρωπίνην καὶ ἐπίκηρον καὶ πάντως λυθησομένην εὑρεθῇ περιέπων, ἀκράτητον κατὰ φύσιν ὑπάρχουσαν καὶ ἀεὶ διὰ φθορᾶς καὶ ἀλλοιώσεως ῥέουσαν, καὶ θᾶττον τὰς
Cod. f. 240 a. τῶν ἔχειν νομιζόντων χεῖρας | διαφεύγουσαν ἢ ὄναρ ἀνυπόστατον βλέποντα.

Idem ibid. cap. 33., p. 717. tom. 1. Opp. ed. Bened.

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ, Οὐ γὰρ πολλάκις Χριστὸς φιλεῖ κλεπτόμενος, καὶ εἰ λίαν ἐστὶ φιλάνθρωπος.

Τί δήποτε, φασὶν ἐνταῦθα τοῦ λόγου γενόμενοί τινες, εἰ λίαν ἐστὶ φιλάνθρωπος ὁ θεὸς, καὶ πηγὴ φιλανθρωπίας ἀνέκλειπτος, ὥστε μηδ' ὁτιοῦν ὑπὸ τῶν ἀρυομένων ἐλαττοῦσθαι, μὴ φιλεῖ κλεπτόμενος; Οὕτω γὰρ ἂν μᾶλλον τὸ φιλάνθρωπον ἐπεδείκνυτο, μὴ ἐλαττούμενον διὰ τοῦ διδόναι χώραν τοῖς ἐθέλουσι κλέπτειν, καὶ μάλιστα κλοπὴν σωτήριον, καὶ ὁσάκις ἂν θέλοιεν. Πρὸς οὓς θεοῦ λόγον χαριζομένου φαμὲν, ὅτι περ αὐτὸ τοῦτο φιλανθρωπίας πλῆρές ἐστι, μᾶλλον δὲ [1] αὐτὸ φιλανθρωπία, καὶ τοὺς [2] περί τι κλέπτειν ἐθέλοντας, ἀγαθῆς προμηθείας ἐνδείξις σαφεστάτη, τὸ μὴ συγχωρεῖν τοῖς ἐθέλουσι πολλάκις αὐτὸν κλέπτειν, ὡς ἂν μὴ προχείρου τυγχάνοντος τοῦ σφετερισμοῦ τῆς σωτηρίας ῥᾴστη γένηται κατὰ τὸ εἰκὸς καὶ ἡ τοῦ δωρηθέντος ἀποβολή, ὡς εὐμαρῶς πάλιν ληφθῆναι δυναμένου, καὶ τῆς ἐν τῷ καλῷ

Digitized by Google

## Eiusdem ex eodem sermone, in illud, ‚Quid medicamenta quaeris, nihil profutura? quid criticum sudorem, cum fortasse letalis adsit?'

Hoc, ut dixit beatus ille senex, adversus eos posuit dictum magister qui baptismum differrent, et spe vitae voluptatis lenociniis se dedentes baptismum differrent, et, ‚Quid opus est,' inquit, ‚ut de exitu tuo ab alio certior fias,' id est de ‚exitu vitae, ac non ipse potius de eo tanquam iam praesente cogitas? Quid medicamenta quaeris, nihil profutura? Quid criticum sudorem, cum fortasse letalis adsit?' Cum enim quattuor dies medicorum filii in febricitantibus criticos esse dicant, quartam et septimam et nonam et undecimam, fortasse decimam tertiam quoque (in his enim si, ut dicunt, corpus sudore madefactum reperiunt, convaliturum esse aegrotum coniectant), ne igitur hunc exspectans sudorem infirmus malo consilio usus baptisma differat, annorum opinatus habere commeatum, sapienter doctor aegrotanti consilium dat, ne huic sudori confidat et frustra innitatur, cum fieri possit, ut mortis sudor eius loco eveniat, praesentis vitae finem praedicaturus; ne, ut dicebam, falsus eo aegrotans sudore a certa et divina et sempiterna vita imprudenter abalienatus humanam ac sorti obnoxiam et prorsus interituram curans inveniatur, impotentem naturaliter ac semper per interitum et immutationem fluentem, et celerius eorum qui eam tenere sibi videntur manus effugientem quam vana somniantem noctis imago.

## Ex eodem sermone, in illud, ‚Non enim saepe Christus sibi aliquid surripi amat, tametsi mire benignus et facilis.'

Quid tandem, aiunt quidam, cum in hunc orationis locum pervenerunt, si valde benignus est deus, et benignitatis fons perennis, adeo ut nullo modo possit exhauriri, sibi aliquid surripi non amat? Ita enim magis eluceret benignitas, non exhausta inde quod volentibus surripiendi aliquid daret locum, praesertim cum salutare esset furtum, et quotienscunque voluissent. Quibus, deo sermonem gratificante, respondemus, quod hoc ipsum est benignitatis plenum, vel potius ipsa benignitas, et quoad eos qui aliquid surripere volunt salutaris providentiae luculentissimum argumentum, non sinere volentes saepius ut ei aliquid surripiant, ne forte, facili salutis alienatione, facillima fiat consequenter doni abiectio, quod videlicet nullo negotio recuperari queat, neve firmi ac

1. Cod. Gud. *αὐτοφιλανθρωπία.* 2. *περὶ τό τι κλέπτειν* cod. Gud.

Digitized by Google

ἀμεταθέτου καὶ παγίας ἕξεως ἀμαθεῖς ἀποφανθῶσιν οἱ τυγχάνοντες τῆς δωρεᾶς, εὐέμπτωτον εἰς κακίαν τὴν γνώμην ἔχοντες διὰ τὴν εὐμάρειαν τῆς τοῦ καλοῦ κτήσεως, τῷ εὐώνῳ καταφρονουμένης.

Idem Orat. in Sanct. Pascha cap. 8., p. 860. tom. I. Opp. edit. Bened.

Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τὸ Πάσχα λόγου, εἰς τὸ, Γυμνὸν τῇ ἁπλότητι καὶ ζωῇ τῇ ἀτέχνῳ, καὶ δίχα παντὸς ἐπικαλύμματος καὶ προβλήματος. Τοιοῦτον γὰρ ἔπρεπεν εἶναι τὸν ἀπ' ἀρχῆς.

Τί μὲν διὰ τούτων ὁ μέγας οὗτος διδάσκαλος κρυφίως ἀποκαλύπτει, μόνους ἐκείνους εἰδέναι φημὶ τοὺς τὸ ἴσον αὐτῷ τῆς σοφίας εἰληφότας καὶ τῆς γνώσεως χάρισμα, οἱ διὰ τὸ πᾶσαν τὴν ἐκ παθῶν καὶ πάσης ὑλικῆς προσπαθείας λήμην ἀποθέσθαι τῶν νοερῶν ὀμμάτων τὴν ἀκτῖνα τῆς ἐν ὅλοις ἀληθοῦς γνώσεως χωρεῖν ἐδυνήθησαν, καθ' ἣν τῷ ἁπλῷ κατὰ τὸ ἐφικτὸν καὶ ἑνοειδεῖ λόγῳ τὸν νοῦν ἀπὸ τῶν πολλῶν περι-
Cod. f. 240 a. στείλαντες πᾶσαν τὴν ἐπιστημονικὴν τῶν | ὄντων ἁπλῇ συνέσει περιέλαβον εἴδησιν. Ἡμῖν δὲ οἷς ὁ ζόφος ἔτι τῆς ἀγνοίας ἐπιπροσθεῖ πρὸς τὴν τοῦ ἀληθοῦς κατανόησιν, διὰ τὴν περὶ μόνα τὰ σαλευομένα τοῦ νοῦ συστροφὴν, ὥσπερ τυφλὸς ἄμφω τὼ χεῖρε φορυτὸν ὕλης ἀφάσσων εὑρίσκει πολλάκις τι τῶν τιμίων, οὕτως ἐπιχειροῦμεν καὶ ἡμεῖς μετὰ τῆς ἑαυτῶν ἀσθενείας εἰπεῖν τι περὶ τοῦ προκειμένου ζητήματος. Καὶ δὴ λέγομεν ἄλλο τὸ παράπαν οὐδὲν ἢ ὅπερ ὁ Θεὸς ἐν χερσὶν ἡμῶν παραδῶ κατὰ τὸ γεγραμμένον, πρὸς τὸ θρέψαι κατὰ δύναμιν ἡμῶν τοὺς καλοὺς πατέρας ὑμᾶς, λέγω δὲ τῷ ψηλαφητικῷ λόγῳ τῆς ἐν ἡμῖν νοερᾶς δυνάμεως ἁπλοῦν καὶ ἀπέριττον θεώρημα καὶ ἡμῖν σύμμετρον, καὶ πατρικὴν εὐλογίαν προσκαλούμενον, μήπως ἀφυῶς τὸν ἀγρὸν τῶν αἰσθητῶν αἰσθητῶς κατὰ τὸν Ἡσαῦ περιοδεύοντες στερηθῶμεν διὰ βραδυτῆτα τῆς ἑτοίμης τοῦ τρεφομένου πατρὸς εὐλογίας, ἢ πάλιν δι' ὑψηλοφροσύνην τι μεῖζον τῆς δυνάμεως ἡμῶν ἐπιζητοῦντες ἐκ τῶν οἰκούντων ἔτι τὸ ὄρος ἡμῶν τῆς θεωρίας, τρωθῶμεν κατὰ τὸν Ἰσραὴλ, περὶ ὧν ὁ νόμος φησὶν
Deuter. 1, 43. ὅτι παραβιασάμενοί τινες ἀνέβησαν εἰς τὸ ὄρος, καὶ ἐξῆλθεν ὁ Ἀμορῥαῖος ὁ οἰκῶν ἐν τῷ ὄρει ἐκείνῳ καὶ ἐτίτρωσκεν αὐτούς. Ὑπονοῶ τοίνυν ὅτι τὴν διαφορὰν τῆς πρὸ τοῦ παραπτώματος κράσεως τοῦ ἀνθρωπίνου σώματος ἐν τῷ προπάτορι Ἀδὰμ πρὸς τὴν νῦν θεωρουμένην ἐν ἡμῖν καὶ κρατοῦσαν ἐνδείξασθαι βουλόμενος ταῦτά φησιν ὁ διδάσκαλος, ὡς τότε δηλαδὴ τοῦ ἀνθρώπου ἐναντίαις καὶ φθαρτικαῖς ἀλλήλων κατὰ τὴν κρᾶσιν τοῦ σώματος μὴ διελκομένου ποιότησιν, ἀλλ' ὡσαύτως ἔχοντος δίχα ῥοῆς καὶ ἀπορῥοῆς, καὶ τῆς ἐφ' ἑκάτερα τούτων κατὰ τὴν τῶν ποιοτήτων ἐπικράτειαν συνεχοῦς ἀλλοιώσεως ἐλευθέρου τυγχάνοντος, οἷα δὴ τῆς κατὰ χάριν

Digitized by Google

stabilis in pulchro status ignari efficiantur qui donum acceperint, dum facile in nequitiam labantur eorum animi propter facilitatem possessionis pulchri, de vilitate contemptae.

## Eiusdem ex sermone in Pascha, in illud, ‚Nudum per simplicitatem et vitam artificio carentem, atque omnis integumenti et munimenti expertem. Talem enim esse conveniebat eum qui primum esset creatus.‘

Quid magnus iste doctor his verbis occulte revelet, solos illos nosse aio qui pari cum eo gratia et sapientiae et cognitionis sint impertiti, qui, postquam intellectuales oculos de omni passionum et materialis affectus sorde purgaverunt, cognitionis in universis verae radium percipere potuerint, per quam simplice, quoad eius fieri possit, et uniformi ratione mentem a multitudine retrahentes universam rerum quae extant scientiam simplice intellegentia complecterentur. Nos vero, quos ignorantiae adhuc tenebrae veritatis perceptione prohibet, propter mentis circa sola fluctuantia agitationem, quemadmodum caecus ambabus manibus quisquilias pertemptans haud raro aliquid pretiosi invenire solet, sic nos quoque cum nostra infirmitate de praesenti quaestione aliquid dicere aggredimur. Atque nihil aliud omnino dicimus quam quod deus nobis in manus dederit, secundum quod scriptum est, ad alendos pro virili parte ac facultate vos, patres bonos nostros, id est simplicem et modicam nobisque convenientem contemplationem, intellegentiae nostrae contrectabili magis quam firmo certoque pede progrediente oratione institutam, quaeque paternam invitet benedictionem, ne qua naturae minime convenienter sensibilium agrum sensibiliter in modum Esau perlustrantes ob tarditatem parata privemur patris satiati benedictione, aut rursus animo superbia elato maiorem potestatem quaerentes ab eis damnum accipiamus qui nostrum adhuc contemplationis montem colunt, in modum Israël, de quibus lex narrat, quod irruperunt quidam et in montem ascenderunt, et exivit Amorrhoeus illius montis incola atque vulneravit eos. Suspicor igitur quod temperamenti corporis humani Adae propatoris quale fuerit ante transgressionem differentiam ab eo quod in nobis hodie spectatur et obtinet significare volens magister haec dicit, cum illo videlicet tempore homo qualitatibus contrariis et sibi invicem exitialibus secundum temperamentum corporis non distraheretur, sed quietus maneret, ab omni fluxu et defluxu intactus, et ab perpetua in hunc illumve pro principatu qualitatum immutatione liber, utpote qui secundum gratiam



Digitized by Google

Cod. f. 241 a. ἀθανασίας οὐκ ἀμοιροῦντος, καὶ τὴν νῦν μαστιγοῦσαν αὐτὸν τοῖς ἑαυτῆς κέντροις φθορὰν οὐκ ἔχοντος, ἀλλ' ἑτέραν δηλονότι πρέπουσαν αὐτῷ κράσιν τοῦ σώματος, ἀμάχοις καὶ ἁπλαῖς ποιότησι συνεχομένην. Καθ' ἣν γυμνὸς ἦν ὁ πρῶτος ἄνθρωπος, οὐχ ὡς ἄσαρκος καὶ ἀσώματος, ἀλλ' ὡς τὴν παχυτέραν τὴν σάρκα ποιοῦσαν καὶ θνητὴν καὶ ἀντίτυπον κράσιν οὐκ ἔχων. Κατὰ τοῦτον τὸν μέγαν διδάσκαλον ἀτέχνως τε ἔζη μὴ διαπνεόμενος τὴν ἅπαξ οὐσιωδῶς δοθεῖσαν αὐτῷ φυσικὴν εὐεξίαν, καὶ περιβολῆς ὑπῆρχεν ἀπροσδεής, διά τε τὴν ἐνοῦσαν ἀπάθειαν αἰσχύνην μὴ ὑφορώμενος καὶ τὸ μὴ κρυμοῖς καὶ θάλπεσιν αὐτὸν ὑποκεῖσθαι, δι' ἃ μάλιστα τῆς τε τῶν οἴκων καὶ τῶν ἐσθημάτων περιβολῆς ὁ τρόπος τοῖς ἀνθρώποις ἐπινενόηται.

## Ἄλλη περὶ αὐτοῦ θεωρία.

Ἢ μήποτε καὶ ἐκ τῶν νῦν περὶ τὸν ἄνθρωπον θεωρουμένων τὰ τότε περὶ αὐτὸν ὄντα τῇ περιαιρέσει τῶν νῦν περὶ αὐτὸν ὄντων παραδείκνυσιν ὁ διδάσκαλος. Κινεῖται γὰρ νῦν ὁ ἄνθρωπος, ἢ περὶ φαντασίας ἀλόγους παθῶν ἐξ ἀπάτης διὰ φιληδονίαν, ἢ περὶ λόγους τεχνῶν ἐκ περιστάσεως διὰ τὴν χρείαν, ἢ περὶ φυσικοὺς λόγους ἐκ τοῦ νόμου τῆς φύσεως διὰ μάθησιν, ὧν οὐδὲν κατ' ἀρχὴν εἰκότως ἐξ ἀνάγκης εἶλκε τὸν ἄνθρωπον, ὑπεράνω πάντων γενόμενον. Οὕτω γὰρ ἔπρεπεν εἶναι τὸν ἀπ' ἀρχῆς, μηδενὶ τὸ σύνολον περισπώμενον τῶν ὑπ' αὐτὸν, ἢ περὶ αὐτὸν, ἢ κατ' αὐτὸν, καὶ πρὸς τελείωσιν ἑνὸς μόνου προσδεόμενον, τῆς πρὸς τὸν ὑπὲρ αὐτὸν, φημὶ δὲ τὸν θεὸν, καθ' ὅλην τὴν ἀγαπητικὴν δύναμιν ἀσχέτου κινήσεως. Ἀπαθὴς γὰρ χάριτι ὢν ἀπάτην παθῶν φαντασίας δι' ἡδονῆς οὐ προσίετο· καὶ ἀπροσδεὴς ὑπάρχων τῆς περὶ τέχνας περιστατικῆς ἀνάγκης διὰ τὴν χρείαν ἐλεύθερος ἦν· καὶ σοφὸς ὢν τῆς περὶ τὴν φύσιν θεωρίας ὑπεράνω καθειστήκει διὰ τὴν γνῶσιν. Οὐδὲν οὖν εἶχεν ὁ πρῶτος ἄνθρωπος μεταξὺ θεοῦ καὶ αὐτοῦ προβεβλημένον πρὸς
Cod. f. 241 b. εἴδησιν, | καὶ κωλύον αὐτοῦ τὴν δι' ἀγάπης ἀθαίρετον κατὰ τὴν πρὸς θεὸν κίνησιν γενησομένην συγγένειαν, καὶ διὰ τοῦτο γυμνὸς τῇ ἁπλότητι προσηγορεύθη τῷ διδασκάλῳ, ὡς ὑπεράνω πάσης τῆς κατὰ φύσιν ὑπάρχων ζητήσεως· καὶ ζωῇ τῇ ἀτέχνῳ, ὡς πάσης τεχνῶν ἐνδεοῦς καθαρεύων ζωῆς, καὶ δίχα παντὸς ἐπικαλύμματος καὶ προβλήματος, οἷα τῆς πρὸς τὰ αἰσθητὰ τῶν αἰσθήσεων ἐμπαθοῦς συμπλοκῆς τυγχάνων ἐλεύθερος, οἷς ὑπῆχθη δικαίως ὕστερον, ἐλλείψας τὴν ἔλλειψιν, καὶ τοῦ πλήρης εἶναι τὸ κενὸς πάντων γενέσθαι αὐθαιρέτως ἑλόμενος, κάτω γενόμενος ὧν ὑπεράνω φυσικῶς ἐπῆρχε γεγενημένος.

Digitized by Google

nec immortalitatis esset expers, nec haberet interitum qui nunc eum stimulis exagitat, verum aliud nimirum idoneum ipsi corporis temperamentum, concordibus simplicibusque qualitatibus constrictum. Secundum quod nudus erat primus homo, non quasi sine carne ac corpore, sed ut crassius quod carnem efficit, mortalem et duram, temperamentum non habens. Secundum magnum hunc doctorem certe vivebat ita ut bona corporis eius habitudo naturalis, qua semel essentialiter esset impertitus, non evanesceret, usque ipse integumento non egeret, cum nullis passionibus obnoxius pudorem haud metueret, neque frigoribus et aestubus subiectus esset, quorum inprimis causa domuum et vestimentorum integumenti consuetudo ab hominibus excogitata est.

## Altera de eodem loco contemplatio.

Vel fortasse etiam ex eis quae hodie in homine spectantur comprehensione eorum quae nunc in eo sunt instituta, magister significat ea quae tum in eo fuerint. Movetur enim nunc homo, vel circa figmenta irrationalia passionum per fraudem voluptatis cupidine inductus, vel circa rationes artium ex circumstantia utilitate invitatus, vel circa naturales rationes ex lege naturae cognitionis gratia, quorum nihil videlicet in principio hominem, rebus omnibus superiorem factum, necessitatis vinculo trahebat. Eiusmodi etenim conveniebat esse principem hominem, ut prorsus ab nullo eorum quae aut subiecta sibi aut circum sese iuxtave haberet distraheretur, et ad perfectionem uno solum indigeret, id est motione ad eum qui hominem superat, deum inquam, secundum omnem caritatis vim irrevocata atque victrice. Cum enim per gratiam passionibus obnoxius nullis esset, fraudem passionum rerum inanium studio non admisit; et cum nihilo indigeret, artium quoque ab infesta propter indigentiam necessitate liber fuit; et cum sapiens esset, naturae contemplatione erat superior factus per cognitionem. Nihil ergo primus homo inter deum et semetipsum habebat ad scientiam obiectum, quodque suam per caritatem voluntariam secundum motionem ad deum futuram impediret cognationem, et idcirco ‚nudus simplicitate' a magistro est appellatus, utpote superior naturali desiderio factus omni, et ‚vita artificio carente', utpote omni vita artibus indigente purus, et ‚omnis integumenti et munimenti expers,' quippe qui liber erat a connexione affectibus plena sensuum cum sensibilibus, quibus postea est iure subactus, cum defectum passus esset, ac loco plenitudinis omnium vacuitatem sponte maluisset, inferior redditus quibus naturaliter ante superior erat.



Digitized by Google

## Ἄλλη περὶ αὐτοῦ θεωρία.

Ἢ μήποτε γυμνὸς, ὡς φησι ὁ διδάσκαλος, τῆς περὶ φύσιν ποικίλης θεωρίας καὶ γνώσεως, καὶ ζωῇ τῇ ἀτέχνῳ, τῆς περὶ πρᾶξιν καὶ ἀρετὴν πολυτρόπου μεθοδείας ὑπάρχων ἐκτὸς, κατὰ τὴν ἕξιν ἔχων τοὺς τῶν ἀρετῶν ἀμολύντους λόγους, καὶ δίχα παντὸς ἐπικαλύμματος καὶ προβλήματος, τῆς ἐπ᾽ αἰσθήσεσι τῶν φαινομένων διανοίας πρὸς κατανόησιν τῶν θείων, προηγουμένως οὐ χρήζων, μόνην τὴν ἁπλῆν τῆς ἐνοειδοῦς καὶ ἁπλῆς καὶ συνεκτικῆς τῶν μετὰ θεὸν ἀρετῆς τε καὶ γνώσεως ἔχων προβολὴν, τῆς ἐπ᾽ ἐνεργείᾳ μόνης κινήσεως πρὸς ἔκφανσιν αὐθαίρετον χρήζουσαν. Ἀμέλει γοῦν ὅσοι φιλοσόφῳ λόγῳ τῆς τοῦ προπάτορος ἐγείρειν ἑαυτοὺς βούλονται παραπτώσεως, πρῶτον ἀπάρχονται τῆς τῶν παθῶν παντελοῦς ἀφαιρέσεως, εἶθ᾽ οὕτως τῆς περὶ τοὺς λόγους τῶν τεχνῶν ἀσχολίας, καὶ τέλος τὴν φυσικὴν ὑπερκύψαντες θεωρίαν εἰς τὴν ἄὕλον παρακύπτουσι γνῶσιν, τὴν μὴ ἔχουσαν παντελῶς αἰσθήσει τυπουμένην μορφὴν, ἢ νόημα προφορᾷ λόγου χωρούμενον, καθὼς ἐξ ἀρχῆς τὸν πρῶτον ἄνθρωπον
Cod. f. 242 a. ἐποίησεν | ὁ θεὸς, γυμνοὶ τῇ ἁπλότητι τῆς γνώσεως καὶ τῇ ἀπερισπάστῳ ζωῇ, καὶ τῇ νεκρώσει τοῦ νόμου τῆς σαρκὸς γενόμενοι. Ἦν μέντοι καὶ κατ᾽ ἄλλον τρόπον ὑψηλοτέρως θεωρῆσαι τὸ προκείμενον ἄπορον, ἀλλὰ παρείσθω [1] τὰ νῦν δι᾽ ἣν ἀρχόμενος τοῦ λόγου προεῖπον αἰτίαν.

Idem ibid. cap. 13., p. 855. tom. I. Opp. ed. Bened.

## Τοῦ αὐτοῦ λόγου εἰς τὸ, Ἐνιαύσιον δὲ, ὡς ἥλιον δικαιοσύνης, ἢ ἐκεῖθεν ὁρμώμενον, ἢ τῷ ὁρωμένῳ περιγραπτόν.

Πολλαὶ τοῦ σωτῆρος ἡμῶν εἰσὶν αἱ προσηγορίαι, καὶ πολύτροπος ὁ ἐφ᾽ ἑκάστῃ κατὰ τὴν αὐτῆς ἐπίνοιαν τῆς κατὰ θεωρίαν ἀναγωγῆς καθέστηκε τρόπος, διὰ τὸ πολλὰς κατὰ τὴν φυσικὴν θεωρίαν τοῦ παραδειγματικῶς εἰς προσηγορίαν τοῦ κυρίου λαμβανομένου πράγματος ἐπιδέχεσθαι δύνασθαι θεωρημάτων ἐπιβολάς. Ὥσπερ ἀμέλει καὶ τὸ νῦν προκείμενον ἡμῖν ἄπορον ἔχει. Πολλοὺς γὰρ ὅσους οὐδέπω δυνατοῦ τυγχάνοντος τοῦ λόγου θεωρημάτων περὶ τοῦ ἡλίου τρόπους ἐκθέσθαι διὰ τὸ σύντομον, καθ᾽ ἣν ὁ διδάσκαλος αὐτὸ ἐπίνοιαν ἐθεώρησε, καὶ ἡμεῖς θεωρήσωμεν, τὰ συνεπτυγμένως αὐτῷ δηλονότι ῥηθέντα κατὰ δύναμιν ἐξαπλοῦντες. Ἐνιαυτὸς τοίνυν ἐστὶ κατὰ τοὺς ἁγίους καὶ σοφοὺς ἡμῶν διδασκάλους ἡ τοῦ ἡλίου ἀπὸ τοῦ αὐτοῦ σημείου εἰς τὸ αὐτὸ σημεῖον ἀποκατάστασις, τῆς κατὰ χρόνον πενταπλῆς ἰδιότητος περιεκτική. Ὁ γὰρ χρόνος εἰς ἡμέραν καὶ ἑβδομάδα καὶ μῆνα καὶ καιρὸν καὶ ἐνιαυτὸν μερίζεταί τε καὶ συνάγεται· καὶ ὁ ἐνιαυτὸς ὡσαύτως, εἰς ὥραν καὶ ἡμέραν καὶ ἑβδομάδα καὶ

1. Cod. Gud. ταῦν.

Digitized by Google

## Alia de eodem loco contemplatio.

Vel fortasse ‚nudus', ut ait magister, varia circa naturam contemplatione et cognitione, et ‚vita artificio carente', extra multiplicem circa actionem et virtutem collocatus fraudem, secundum habitum possidens virtutum rationes impollutas, ‚omnisque integumenti et munimenti expers', intellegentia eorum quae videntur sensuali ad cognoscenda divina principaliter non egens, solo simplice uniformis et simplicis, quaeque secundum deum sunt conservatricis, virtutis atque cognitionis munimento ornatus, quod activam et strenuam duntaxat motionem ad patefactionem voluntariam desiderat: Certe quicunque a generis nostri autoris lapsu philosopha ratione resurgere cupiunt, primum passionibus prorsus, deinde occupatione circa artium rationes exui incipiunt, ac denique, postquam naturalem supra contemplationem se sustulerint, in immaterialem cognitionem introspiciunt, formae sensu expressae, vel cogitati prolatione sermonis comprehensi plane expertem, quemadmodum deus principio primum effecerat hominem, cognitionis simplicitate vitaque indistracta, et lege carnis mortificata nudi facti. Haberem utique alio quoque modo, et sublimiore, de praesenti quaestione contemplandum, sed nunc quidem omittam ea de causa quam initio huius sermonis sum praefatus.

## Eiusdem sermonis in illud, ‚Anniculus porro, ut sol iustitiae, vel e caelo progrediens, vel quantum ad partem eam quae oculis cernitur, circumscriptus ac definitus.'

Multa salvatoris nostri sunt nomina, ac multiplex secundum suam cuiusque interpretationem mysticae contemplationis stat modus, quia multas secundum naturalem contemplationem rei per exemplum in nomen domini sumptae contemplamentorum licet admittere vias et interpretationes. Quemadmodum profecto in praesenti nostra quaestione se res habet. Cum enim propter brevitatem nondum possit sermo enarrare innumerabiles centemplamentorum circa solem modos, quo id magister sensu contemplatus sit nos quoque contemplemur, ea nimirum quae complicate sunt dicta ab eo pro virili parte explicantes. Annus igitur secundum sanctos et sapientes nostros doctores solis est ab signo ipsius in signum circuitus, quintuplam secundum tempus proprietatem comprehendens. Tempus enim in diem et hebdomadam et mensem et veris, aestatis, autumni, hiemis vicissitudinem et annum dividitur atque consociatur; itemque annus in horam et diem et hebdomadam et mensem et vicissitudinem,

Digitized by Google

μῆνα καὶ καιρὸν, συνεχοῦς καὶ ἀδιαστάτου τῆς κατ' αὐτὸν μενούσης κινήσεως, περὶ ἣν αἱ κατὰ τὴν ἀλλοίωσιν διαιρέσεις θεωρούμεναι τὴν συνεχῆ καὶ ἀδιάστατον ῥῃθμησαν τοῦ χρόνου κίνησιν. Εἰ δὴ τούτῳ τῷ τρόπῳ παρ' ἡμῖν κατὰ τὴν τοῦ ἡλίου φορὰν ἐνιαυτὸς γίνεται, ἐνιαυτὸς δηλαδὴ κυρίου δεκτός ἐστι πάντως, ὡς γέγραπται, κατὰ τὸν τῆς ἀλληγορίας τρόπον,
Cod. f. 242 b. ἡ πᾶσα | τῶν αἰώνων παράτασις, ἀπ' ἀρχῆς ἧς εὐδόκησεν ὁ
Luc. 4, 19. Θεὸς οὐσιῶσαι τὰ ὄντα, καὶ τοῖς μὴ οὖσιν ὕπαρξιν δοῦναι, καὶ διὰ τῆς προνοίας, ὥςπερ τις νοητὸς ἥλιος τῆς πρὸς διαμονὴν συνεχούσης τὸ πᾶν δυνάμεως, συγκαταβατικῶς ἐφεῖναι τὴν ἀκτῖνα ἀνεχόμενος, ποικίλαι τοὺς τρόπους ἀξιώσας πρὸς τελεσφόρησιν ὧν τοῖς οὖσιν οἰκείων κατέσπειρεν ἀγαθῶν μέχρι τῆς πάντων ἀποπερατώσεως τῶν αἰώνων, καθ' ἣν συλλέξει τῆς οἰκείας σπορᾶς τοὺς καρποὺς ζιζανίων ἀμιγεῖς καὶ πάσης ἀχυρώδους ἄχνης καὶ συμφορήσεως καθαροὺς, καὶ ὁ σύμπας τῆς τῶν κινουμένων κινήσεως περαιωθήσεται λόγος, λαβόντων τῶν ἀξίων τὴν ἐπηγγελμένην τῆς θεώσεως ἐσχάτην μακαριότητα. Ἥλιος οὖν δικαιοσύνης ὁ κύριος προσηγόρευται, ὡς ποιητὴς καὶ συντελεστὴς τῶν αἰώνων, καὶ ὡς ἀρχὴ πάντων καὶ τέλος, καὶ τῆς πενταπλῆς κατὰ τὴν πρόνοιαν τῶν προνοουμένων σοφῆς εὐταξίας δημιουργὸς, καὶ ὡς πληρῶν τὰ πάντα φωτὸς ἀϊδίου ταῖς ἀνεκλείπτοις ἐπιβολαῖς τῆς ἀγαθότητος, καὶ τοὺς εὑρύνοντας πρὸς ὑποδοχὴν τῆς αὐτοῦ μακαρίας ἀκτῖνος τοὺς ἑαυτῶν νοητοὺς πόρους πεπείρους καὶ εὐδωδίμους τῷ θεῷ καὶ πατρὶ ποιούμενος. Ὁ αὐτὸς δὲ καὶ ἐνιαυτός ἐστι κυρίου δεκτὸς, ὡς διὰ πάντων τῶν σωζομένων πληρούμενος κατὰ τὴν ὑπ' αὐτοῦ νοητῶς γινομένην πεντάτροπον κίνησιν, ὡς ἡλίου δικαιοσύνης, ἥντινα νοήσει πάντως ὁ διὰ τῆς τῶν φαινομένων ἀκριβοῦς κατὰ λόγον φυσικῆς θεωρίας τὴν τῶν νοουμένων πνευματικὴν ἐπιστήμην συλλεγόμενος. Ἐκεῖθεν δὲ [1] ὁρμώμενος εἴρηται τῷ διδασκάλῳ | ἢ τῷ
Cod. f. 243 a. ὁρωμένῳ περιγραπτὸς, ἢ ὡς φῶς ἐκ φωτὸς, καὶ θεὸς ἀληθινὸς ἐκ θεοῦ κατ' οὐσίαν ἀληθινοῦ τοῦ πατρὸς γεννητῶς ὁρμώμενος, ἢ ὡς ἄνθρωπος ὁ αὐτὸς τῷ καθ' ἡμᾶς ὁρωμένῳ τῆς φύσεως εἴδει περιγραπτὸς, καθάπερ ἥλιος ὁ ἐκ τοῦ οὐρανοῦ ὁρμώμενος τῷ φαινομένῳ δισκοειδεῖ σώματι περιγέγραπται.

Idem ibid. cap. 14., p. 836. tom. I. Opp. edit. Bened. Ἐκ τοῦ αὐτοῦ λόγου εἰς τὸ, Θαυμαστὸν οὐδὲν εἰ μάλιστα κατ' οἶκον ἕκαστον ἐπιζητεῖται τὸ πρόβατον.

Εἴποι δ' ἄν τις, καὶ εὐλόγως, ὡς οἶμαι, τυχὸν, Εἴπερ εἷς ἐστιν ὁ Χριστὸς ὁ διὰ νόμου καὶ προφητῶν καὶ τῆς κατὰ τὴν κτίσιν μεγαλειότητος μυστικῶς τοῖς ἀκούειν πνευματικῶς καὶ ὁρᾶν δυναμένοις κηρυττόμενος, πῶς τὸν τύπον ὁ νόμος

1. Apographum praebet h. l. ὁραόμενος.

Digitized by Google

dum continua et nullis discreta intervallis per eum manet motio, circa quam quae per immutationem spectantur discrimina, continuam nullisque intervallis disiunctam temporis motionem numeris distinguunt. Quodsi in hunc modum apud nos secundum solis cursum fit annus, annus nempe domini acceptabilis omnino est, ut scriptum legitur, secundum allegoriae modum universa saeculorum extensio ac series, a cuius principio deo placuit essentiâ ornare ea quae erant, et extantiam dare eis quae non erant, et per providentiam, tanquam intellectualis aliqui sol virtutis ad perservandum universitatem continentis, cum condescensione radium immittere sustinens, quo variaret modos ad maturanda ea bona quae rebus existentibus propria insevit usque dum omnia saecula consummata fuerint, quo tempore proprii seminis fructus colliget a loliis discretos, omnique paleari gluma atque congerie puros, dumque universa eorum quae moventur motionis ratio fuerit terminata, et ii qui meruerunt deificationis summam quae praedicata erat beatitudinem percipiunt. ‚Sol' igitur ‚iustitiae' dominus appellatur, ut factor et consummator saeculorum, et ut principium rerum universarum ac finis, quintuplique secundum providentiam boni ac sapientis in rebus quibus provisum est ordinis constitutor et artifex, et ut aeterna luce universa replens plenis bonitatis missilibus, et eos qui beati eius radii recipiendi gratia intellectuales canales suos amplient maturos et esculentos deo et patri reddens. Idem vero et annus domini acceptabilis est, ut per omnes qui servantur consummatus secundum quintuplam quae intellectualiter fit ab eo, tanquam iustitiae sole, motionem, quam noverit plane quicunque per diligentem ratione rerum quae visui nostro obiectae sunt naturalem contemplationem collegerit spiritualem eorum quae noscuntur scientiam. Illinc vero ‚progrediens, vel ad partem eam quae oculis cernitur circumscriptus et definitus' a magistro appellatus est, vel ut lux de luce, et deus verus de deo essentialiter vero patre generationis via progrediens, vel ut homo idem qui in nobis videtur naturae specie circumscriptus, quemadmodum sol, qui de caelo progrediens corpore disco simili apparente circumscribitur.

## Ex eodem sermone in illud, ‚Illud minime mirandum, quod maxime per singulas domos ovis requiritur.'

Dicat vero aliquis fortasse, nec sine ratione, ut mihi videtur, Si quidem unus est Christus, per legem et prophetas perque conditionis magnificentiam eis qui spiritualiter audire atque videre cupiunt mystice praedicatus, quomodo typum

Digitized by Google

ἐπιτελῶν τοῦ Χριστοῦ πολλὰ πρόβατα κελεύει θύεσθαι κατ᾽ οἴκους πατριῶν; Πρὸς ὃν φαμεν, ὡς εἴπερ αὐτὸν δεξοίμεθα τὸν λόγον, νοητῶς τῶν ὤτων τῆς ψυχῆς καὶ τῶν ὀμμάτων ἁπτόμενον, καὶ διανοίγοντα ταῦτα πρὸς ὑποδοχὴν μὲν καὶ θεωρίαν τῶν αὐτοῦ μυστηρίων, ἐκδίκησιν δὲ πάσης παρακοῆς καὶ ἀποστροφὴν πάσης ματαιότητος, γνοίημεν πάντως τὸ μυστικὸν βούλημα τῆς ἁγίας γραφῆς, τῷ προκειμένῳ συνάψαν-
1 Corinth. 2, 2. τες ὅμοιον ἐκ τοῦ ἁγίου ἀποστόλου φάσκοντος, τὸ, Οὐδὲν ἔκρινα εἰδέναι ἐν ὑμῖν, εἰ μὴ Χριστὸν Ἰησοῦν, καὶ τοῦτον ἐσταυρομένον. Ὥσπερ οὖν ἕκαστος τῶν πεπιστευκότων τῷ Χριστῷ κατὰ τὴν οἰκείαν δύναμιν καὶ τὴν ὑποκειμένην αὐτῷ τῆς ἀρετῆς ἕξιν τε καὶ ποιότητα σταυροῦταί τε καὶ συσταυροῖ ἑαυτῷ τὸν Χριστὸν, Χριστῷ δηλονότι πνευματικῶς συσταυρούμενος. Ἄλλος γὰρ κατ᾽ ἄλλον ἀρετῆς τρόπον ἑαυτῷ κατάλληλον ποιεῖται τὴν σταύρωσιν· ὁ μὲν μόνῃ σταυρούμενος τῇ κατ᾽ ἐνέργειαν ἁμαρτίᾳ, καὶ ταύτην νεκρῶν τῷ φόβῳ τοῦ
Cod. f. 243 b. θεοῦ προσηλωμένην· | ὁ δὲ καὶ αὐτοῖς τοῖς πάθεσι σταυρούμενος καὶ τὰς δυνάμεις τῆς ψυχῆς ἐξιώμενος· ὁ δὲ καὶ αὐταῖς τῶν παθῶν ταῖς φαντασίαις, οὐκ ἐῶν τὰς αἰσθήσεις ἀφέτους, πρὸς ὑποδοχήν τινος τῶν κατὰ ταῦτα μετεωρισμῶν· ὁ δὲ καὶ τοῖς περὶ τὰ πάθη λογισμοῖς καὶ ἐνθυμήμασιν· ὁ δὲ καὶ τῇ κατ᾽ αἴσθησιν ἀπάτῃ· ἄλλος δὲ καὶ τὴν πρὸς τὰ αἰσθητὰ τῶν αἰσθήσεων διὰ τῆς φυσικῆς οἰκειότητος σταυρούμενος ἀποτίθεται σχέσιν· ἄλλος δὲ καὶ πᾶσαν καθολικῶς αἰσθητικὴν τῷ σταυρῷ κατασβέννυσι κίνησιν, πρὸς τὸ μηδὲν ἔχειν ἐν ἑαυτῷ τὸ παράπαν φυσικῶς ἐνεργούμενον· ἄλλος δὲ καὶ αὐτῆς τῆς κατὰ νοῦν ἀποπαύεται παντελῶς ἐνεργείας, καὶ ἵνα τὸ μεῖζον εἴπω, ὁ μὲν τῇ πρακτικῇ σταυρούμενος φιλοσοφίᾳ δι᾽ ἀπαθείας, καὶ πρὸς τὴν ἐν πνεύματι φυσικὴν θεωρίαν ὥσπερ ἀπό τινος σαρκὸς τοῦ Χριστοῦ πρὸς τὴν ψυχὴν αὐτοῦ μεταβαίνων, ὁ δὲ καὶ τῇ φυσικῇ θεωρίᾳ νεκρούμενος, διὰ τῆς ἀποβολῆς τῆς κατὰ νοῦν περὶ τὰ ὄντα συμβολικῆς θεωρίας, καὶ πρὸς τὴν ἐνοειδῆ καὶ ἁπλῆν τῆς θεολογικῆς ἐπιστήμης μυσταγωγίαν ὥσπερ ἀπό τινος ψυχῆς τοῦ Χριστοῦ πρὸς τὸν νοῦν αὐτοῦ μετατιθέμενος, ὁ δὲ καὶ ἀπὸ ταύτης εἰς τὴν δι᾽ ἀποφάσεως παντελοῦς ἄῤῥητον ἀφαιρετικὴν ἀοριστίαν ὥσπερ ἀπό τινος τοῦ Χριστοῦ νοὸς πρὸς τὴν αὐτοῦ θεότητα μυστικῶς ἀναγόμενος· ἕκαστος, ὡς ἔφην, κατὰ τὴν ἑαυτοῦ δύναμιν, καὶ τὴν κατ᾽ ἀξίαν χορηγουμένην αὐτῷ τοῦ πνεύματος χάριν τὸν Χριστὸν ἔχων ἀναλόγως ἑαυτῷ τὰς ὑψηλὰς διὰ τῆς πρὸς πάντα νεκρώσεως ἀναβάσεις ποιούμενος, οὕτως καὶ τὸν θεῖον ἀμνὸν ἕκαστος ἡμῶν ὡς ἐν οἰκίᾳ τινὶ
Cod. f. 244 a. τῷ ἰδίῳ τάγματι τῆς κατ᾽ ἀρετὴν ἁρμοζούσης | αὐτῷ καταστάσεως θύει τε τὸν ἀμνὸν καὶ μεταλαμβάνει τῶν αὐτοῦ σαρκῶν, καὶ ἐμφορεῖται τοῦ Ἰησοῦ. Ἑκάστου γὰρ ἴδιος γίνεται ἀμνὸς Χριστὸς Ἰησοῦς, ὡς ἕκαστος χωρεῖν τε καὶ ἐσθίειν αὐτὸν δύναται, ἴδιος, Παύλου τοῦ μεγάλου τῆς ἀληθείας κήρυκος,

Digitized by Google

Christi absolvit lex et multas per domos familiarum sacrificari iubet? Cui respondemus quod, si modo ipsum nos caperemus sermonem, intellectualiter in auribus atque oculis animae inhaerentem et exaperientem haec ad receptionem atque contemplationem mysteriorum suorum, simul ad ultionem omnis inoboedientiae et aversionem omnis vanitatis, agnosceremus omnino mysticam sacrae scripturae voluntatem, cum hoc praesenti loco iungentes simile quoddam de sancti apostoli ore, illud, ‚Non enim iudicavi me scire aliquid inter vos, nisi Iesum Christum, et hunc crucifixum.' Quemadmodum revera unusquisque eorum qui Christo crediderunt pro facultate sua et virtutis qua innititur habitu atque qualitate crucifigitur et crucifigit secum Christum, si cum Christo spiritualiter quidem crucifigitur. Alius enim alio virtutis modo crucifixionem adaptat sibi atque conciliat: hic quidem solo activo peccato crucifixus, atque mortificans id dei timori adfixum: ille ipsis etiam passionibus crucifixus, facultatesque animae persanans: tertius etiam ipsis passionum vanitatibus crucifixus, non valere iubens sensus, ad recipiendam inde aliquam animi in sublime elevationem: ille suis circa passiones cogitationibus atque considerationibus: alius etiam sensuali fraude: alius vero etiam naturali proprietate crucifixus sensuum ad sensibilia relationem exuit: alius omnem quoque generatim sensualem cruce motionem sedat, ut nihil in se prorsus habeat quod naturaliter agatur: alius denique de ipsa intellectuali omnino desistit actione, atque ut maius eloquar, hic quidem practica quae dicitur philosophia per impassibilitatem crucifixus, et ad naturalem in spiritu contemplationem, quasi a carne quadam Christi ad animam eius transgrediens, alter naturali quoque mortificatus contemplatione, abiecta intellectuali rerum contemplatione symbolica, et ad uniformem et simplicem theologicae artis initiationem quasi ab anima quadam Christi ad intellectum eius translatus, tertius etiam ab hac in ineffabilem per plenam negationem infinitatem ablativam tanquam ab intellectu quodam Christi ad divinitatem eius mystice evectus: secundum suam, ut dixi, unusquisque facultatem, et secundum spiritus gratiam pro merito ac dignitate sibi largitam, Christum habens sibi convenienter facientem sublimes suas per mortificationem erga omnes res ascensiones, ita divinum quoque nostrum quisque agnum velut in aliqua domo proprio ordine institutionis pro virtute ei convenientis sacrificat agnum et carnes eius participat, et saturatur Christo. Cuiusque enim proprius agnus fit Christus Iesus, ut quisque capere eum possit et edere, proprius, Paulo magno veritatis praecone, et peculiari quodam modo

Digitized by Google

καὶ ἰδιοτρόπως ἴδιος ἑκάστου τῶν ἁγίων κατὰ τὸ μέτρον τῆς ἐν ἑκάστῳ πίστεως, καὶ τὴν ἐπιχορηγουμένην χάριν τοῦ πνεύματος, ᾧ μὲν οὕτως, ᾧ δὲ οὕτως, εὑρισκόμενος ὅλος καὶ ὅλῳ, πᾶσι δὲ πάντα γινόμενος.

Idem ibid. cap. 16., p. 857 sq. tom. I. Opp. edit. Bened.

Ἐκ τοῦ αὐτοῦ λόγου εἰς τὸ, Ὅσον μὲν σαρκῶδες τοῦ λόγου καὶ τρόφιμον, μετὰ τῶν ἐνδοσθίων καὶ τῶν κρυφίων τοῦ νοῦ βρωθήσεται, καὶ εἰς πέψιν πνευματικὴν ἀναδοθήσεται.

Ὁ πᾶσαν μετὰ σοφίας φύσιν ὑποστήσας θεὸς, καὶ πρώτην ἑκάστῃ τῶν λογικῶν οὐσιῶν δύναμιν τὴν αὐτοῦ γνῶσιν κρυφίως ἐνθέμενος, δέδωκε καὶ ἡμῖν τοῖς ταπεινοῖς ἀνθρώποις, ὡς μεγαλόδωρος δεσπότης, κατὰ φύσιν τὸν εἰς αὐτὸν πόθον καὶ ἔρωτα, συνεπιπλέξας αὐτῷ φυσικῶς τοῦ λόγου τὴν δύναμιν, ἐφ᾽ ᾧ δυνηθῆναι μετὰ ῥᾳστώνης γνῶναι τοὺς τρόπους τῆς τοῦ πόθου πληρώσεως, καὶ μὴ παρασφαλέντας διαμαρτεῖν οὐ τυχεῖν ἀγωνιζόμεθα. Κατὰ τοῦτον οὖν κινούμενοι τὸν πόθον περί τε τῆς ἀληθείας αὐτῆς καὶ τῆς εὐτάκτως τοῖς ὅλοις ἐμφαινομένης σοφίας τε καὶ διοικήσεως ζητεῖν ἐναγόμεθα ἐκείνου τυχεῖν, διὰ τούτων γλιχόμενοι, οὗ χάριν τὸν πόθον ἐλάβομεν. Καὶ τοῦτο μυστικῶς ἐγνωκότες οἱ φιλομαθεῖς καὶ φιλότιμοι τῆς ἀληθείας ἐρασταὶ μίαν ἐστήσαντο σχολὴν καὶ προεδρείαν ἑαυτοῖς τὴν περὶ τούτου φιλόπονον ἄσκησιν, ἀκριβῶς ὑπ᾽ αὐτῆς τῶν πραγμάτων τῆς ἀληθοῦς
Cod. f. 244 b. κατανοήσεώς τε καὶ ἀκολουθίας μαθόντες ὡς, | εἴπερ κατὰ τὸν αἰῶνα τοῦτον ποσῶς δι᾽ εὐσεβῶν θεωρημάτων τὴν μέλλουσαν ἀλήθειαν εἰκονίσαιντο, καὶ τὸν πόθον πληροφορήσουσιν, ἑτοιμοτέραν ὡς τοῖς ἐνταῦθα καλῶς γυμνασθεῖσαν τὴν ψυχὴν ἐσχηκότες, ἀκμητὶ μετὰ τὸν βίον τοῦτον ἐπὶ τὴν μέλλουσαν ἀλήθειαν μεταβήσονται, σκιαγραφηθεῖσαν αὐτοῖς ἤδη καλῶς διὰ τῶν θειοτέρων νοημάτων, ἄγοντος αὐτοὺς ἐπ᾽ αὐτὴν δηλαδὴ τὴν ἀλήθειαν τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἁπλῆν καὶ ἀρίδηλον καὶ δίχα πάσης ἀπορίας, συμβολικῆς τε ποικιλίας καὶ πάσης αἰνιγματώδους ἀσαφείας, αὐτοῖς παραδεικνύντος, ἀποδρασάσης αὐτοῖς ὥσπερ ἐπὶ τῆς πρακτικῆς ἀρετῆς ὀδύνης καὶ λύπης καὶ στεναγμοῦ διὰ τὴν τελείαν ἀπάθειαν, οὕτω καὶ ἐπὶ τῆς θεωρητικῆς γνώσεως, ἀσαφείας πάσης καὶ ἀπορίας, διὰ τὴν σοφίαν, προστεθείσης αὐτοῖς, ἐντεῦθεν λαβοῦσι τὰς ὑποτυπώσεις αὐτῆς, τηνικαῦτα γυμνῆς τῆς ἀληθείας. Παντὶ γὰρ, φησὶ, τῷ ἔχοντι, δηλονότι τὸν περὶ τῶν μελλόντων πόθον, δοθήσεται, καὶ προτεθήσεται πάντως ἡ τῶν αἰωνίων ἀγαθῶν ἀπόλαυσις. Πλούσιος γὰρ ὑπάρχων ὁ θεὸς ἡμῶν οὐδέποτε λήγει τοῖς ἀγαπῶσιν αὐτὸν τὰ θεῖα διανέμων δῶρα τῆς γνώσεως, ἅπερ οὐδ᾽ ὀνομάζειν κατὰ τὸν αἰῶνα τοῦτον δυνάμεθα, διὰ τὸ αὐτῶν ὕψος καὶ
Mich. f. 6 μέγεθος, εἴπερ ἀληθεύει φάσκων περὶ τῆς ἐσχάτης μακαριό-

Digitized by Google

proprius uniuscuiusque sanctorum pro fidei in singulis modulo, proque gratia spiritus quae sumministrata est, alteri hoc, alteri illo modo, omnis in omni inventus, cunctis vero cuncta effectus.

## Ex eodem sermone in illud, ‚Quicquid porro carneum et esculentum habet doctrina, cum intestinis abditisque mentis partibus comedetur, atque ad spiritualem concoctionem digeretur.'

Omnem cum sapientia naturam qui produxit deus, et rationalium unicuique essentiarum primam facultatem occulte insevit sui cognitionem, is nobis humilibus hominibus quoque, ut liberalissimus dominus, naturale quoddam sui desiderium dedit atque amorem, una connexa cum eo naturaliter doctrinae facultate, quo facilius possent cognoscere modos desiderii explendi, ac ne aberrantes eo exciderent quod consequi certamus. Hoc igitur desiderio commoti tam circa ipsam veritatem quam circa sapientiam administrationemque quas pulcher in rebus universis manifestat ordo id studere impellimur, his incensi, ut illius compotes fiamus cuius gratia desiderium cepimus. Quod cum mystice intellexerint studiosi et ambitiosi veritatis amatores, unam sibi collocaverunt scholam et studii assiduitatem gnavam circa hoc exercitationem, accurate ab ipsa rerum vera cognitione et legitima ratione edocti, quod, si hoc in saeculo futuram veritatem per pias contemplationes aliquatenus expressissent, desiderium quoque satiarent, postquam paratiorem, ut terrenis his rebus probe exercitatam, mentem nacti sint, sine ullo labore post hanc vitam in futuram perrecturi veritatem, quae iam pulchre ipsis per divinas cogitationes adumbrata est. Tum eos ad ipsam nempe veritatem deducet deus et salvator noster Iesus Christus, simplicemque et claram omnique difficultate symbolicaque varietate et omni obscuritate solutam eis repraesentabit, postquam aufugerint eos, ut activa pulsa virtute, aerumna et dolor et gemitus, ob perfectam impassibilitatem, ita contemplativa eiectae cognitione, obscuritas quoque omnis et angustia, ob sapientiam, nuda quidem veritate, cuius inde sint informationes capturi, iis apposita. Omni enim, inquit, qui habet, desiderium videlicet eorum quae futura sunt, dabitur, et apponetur omnino aeternorum bonorum fruitio. Dives enim cum noster sit deus, nunquam desinet eis qui dilexerint ipsum divina distribuere munera cognitionis, quae sane ne nominare quidem hoc saeculo licet, propter sublimitatem eorum et magnitudinem, si quidem vera pronuntiat magnus

Digitized by Google

Philipp. 2. 9. τητος ὁ μέγας ἀπόστολος ὑπεράνω παντὸς ὀνόματος ὀνομαζομένου αὐτὴν εἶναι, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι τὴν μετὰ πᾶσαν πάντων τῶν χαρισμάτων διανομήν τε καὶ ἀνάβασιν δειχθησομένην τῶν ἀγαθῶν ἀκροτάτην κορυφὴν αἰνιττόμενος, τὴν μηδενὶ λόγῳ ἢ νῷ ρη-
Cod. f. 245 a. θῆναι ἢ γνωσθῆναι | δυναμένην, τῶν τε κατὰ τὸν αἰῶνα τοῦτον ἡμῖν ἐφικτῶν, τῶν τε κατὰ τὸν μέλλοντα δειχθησομένων, καὶ ὀνομασθῆναι καὶ γνωσθῆναι τυχὸν ἡμῖν δυναμένων. Ἀεὶ γὰρ ὁ διεληλυθὼς τοὺς οὐρανοὺς Ἰησοῦς, ὁ τοῦ θεοῦ λόγος, καὶ ὑπεράνω πάντων τῶν οὐρανῶν γενόμενος, τοὺς ἀκολουθοῦντας αὐτῷ διὰ πράξεως καὶ θεωρίας μεταβιβάζει τε καὶ μετατίθησιν ἀπὸ τῶν ἡττόνων ἐπὶ τὰ κρείττονα, καὶ ἀπὸ τούτων πάλιν ἐπὶ τὰ ἔτι τούτων ἀνώτερα, καὶ ἁπλῶς εἰπεῖν, ἐπιλείψει με ὁ χρόνος λέγοντα τὰς θείας τῶν ἁγίων ἀναβάσεις τε καὶ ἀποκαλύψεις κατὰ τὴν ἀπὸ δόξης εἰς δόξαν ἀλλοίωσιν, ἕως ἕκαστος τὴν ἐν τῷ ἰδίῳ τάγματι, ἁρμόζουσαν δέξοιτο θέωσιν. Τὸν τοίνυν προρρηθέντα περὶ θεοῦ φυσικὸν πόθον ἔχοντας ἡμᾶς εἰδὼς οὗτος ὁ μέγας διδάσκαλος προτρέπει τε πάντας καὶ καλεῖ διὰ τῆς αὐτοῦ διδασκαλίας πρὸς τὴν πνευματικὴν βρῶσιν τοῦ ὑπὲρ ἡμῶν σφαγιασθέντος ἀμνοῦ, φυλάξαι τε εὐκρινῶς καὶ εὐχρήστως ὑποτίθεται τῶν αὐτοῦ, τοῦ ἀμνοῦ δηλονότι, μελῶν τὴν ἁρμονίαν ἄθραυστον καὶ ἀσύμφυρτον, ἵνα μὴ καταχριθῶμεν ὡς διασπῶντες καὶ διασπαράττοντες τὴν εὔθετον ἁρμονίαν τοῦ θείου σώματος, ἢ θρασέως, ὡς ὑπὲρ δύναμιν, ἢ ἀνιέρως, ὡς παρὰ δύναμιν, τοῦ ἀμνοῦ καὶ λόγου τὰς σάρκας ἐσθίοντες· ἀλλ' ἕκαστος κατὰ τὴν αὐτοῦ δύναμίν τε καὶ τάξιν, καὶ τὴν ἐπιβάλλουσαν αὐτῷ χάριν τοῦ πνεύματος, μεταλαμβανέτω τοῦ θείου λόγου κατὰ τὴν ἑκάστου μέλους ἐπίνοιαν. Οἷον κεφαλῆς μὲν ὁ ἐξ ἀναποδείκτων ἀρχῶν ἀφέτους παντελῶς ἔχουσαν τοὺς περὶ θεολογίας λόγους πίστιν κεκτημένος μεταλήψεται, ἐξ ἧς τὸ πᾶν σῶμα τῶν ἀρετῶν τε καὶ τῶν γνώσεων συμβιβαζόμενον
Cod. f. 245 b. αὔξει τὴν πνευματικὴν αὔξησιν. Ὤτων δὲ μεταλήψεται | ὁ τοὺς θείους λόγους πνευματικῶς μετ' ἐπιστήμης ὑποδεχόμενος, καὶ εὐπειθὴς καὶ ὑπήκοος θεῷ δι' αὐτοὺς μέχρι θανάτου διὰ τῶν ἔργων γινόμενος· ὀφθαλμῶν δὲ, ὁ τὴν κτίσιν πνευματικῶς κατανοῶν, καὶ πάντας τοὺς κατ' αἴσθησίν τε καὶ νοῦν λόγους ἀπροσκόπως εἰς μίαν δόξης θεοῦ συνάγων ἐκπλήρωσιν. Στήθους δὲ μεταλήψεται ὁ τὴν καρδίαν θεολογικῶν πληρώσας θεωρημάτων, κατὰ τὸν μέγαν εὐαγγελιστὴν Ἰωάννην, καὶ πηγῆς ἀεννάου δίκην τὸν περιεκτικὸν τῆς τοῦ παντὸς προνοίας εὐσεβῶς προχέων τοῖς μανθάνουσι λόγον τε καὶ τρόπον. Χειρῶν δ' αὖ μεταλαμβάνει δεόντως ὁ μηδὲν τῶν κατ' ἐντολὴν ἀνειμένως ἔργων καὶ ἠμελημένως ἐπιτελῶν, ἀλλ' ὅλην ἔχων ἑτοίμην καὶ εὔτονον πρὸς ἐκπλήρωσιν τῶν θείων νόμων τῆς ψυχῆς τὴν κατὰ τὴν πρᾶξιν ἐνέργειαν· κοιλίας δὲ, ὁ τὸ γόνιμον τῆς ψυχῆς ἀείβλυστον ἔχων, καὶ πλη-

Digitized by Google

apostolus, extremam beatitudinem dicens omni quo nominetur nomine superiorem esse, non solum in hoc aevo, sed etiam in futuro significans summum post universa dona gratiae plene distributa, postque factam ascensionem, manifestatum iri bonorum culmen, quod nullo verbo aut notione dici aut intellegi queat, tam eorum bonorum quae hoc aevo possint attingi quam eorum quae in futuro sint apparitura, ac fortasse nominari a nobis et intellegi capiant. Semper enim qui caelos pertransivit Iesus, dei Sermo, et cunctis caelis superior factus, eos qui actione et contemplatione ipsum sequuntur de peioribus ad meliora transfert atque transponit, et de his ad alia quae etiam his superiora sunt, et ut breviter dicam, tempus deficeret, si divinas sanctorum ascensiones et revelationes per singulas de gloria ad gloriam immutationes enarrare vellem, donec suam quisque et convenientem suo ordini accepisset deificationem. Itaque magnus hic doctor eius quod circa deum habemus naturalis desiderii, de quo supra diximus, gnarus adhortatur omnes et per doctrinam suam vocat ad spiritualem agni pro nobis mactati gustationem, servareque diserte atque utiliter commendat membrorum suorum, hoc est agni, compaginem integram et inconfusam, ne condemnemur quod divini corporis compaginem concinnam distrahamus et lancinemus, audacterve, ut supra facultatem, aut nefarie, ut contra facultatem, agni et sermonis carnes comedamus: verum unusquisque pro facultate sua et ordine, proque spiritus gratia, quae ei obtigit, divinum sermonem participato, pro singulorum membrorum significatu. Sic caput quidem participabit is qui ex principiis quae demonstrari nequeunt fidem sibi quaesivit plane liberas habentem circa theologiam rationes, unde coagmentatum totum virtutum corpus et cognitionum spiritualiter auget. Aures vero participabit is qui divinas rationes spiritualiter cum intellegentia recepit, perque eos ad mortem usque factis suis oboedit deo atque morigeratur. Oculos porro, qui conditionem spiritualiter intuetur, omnesque et sensuales et intellectuales rationes sine offendiculo ad consummandam unice cogit dei gloriam. Pectus autem participabit qui animum theologicis contemplationibus expletus, secundum magnum evangelistam Ioannem, adinstar fontis perennis rationem suam et modum, cunctorum providentiam complectentem, pie discentibus profundit. Manus rursus, ut par est, participat qui actionum divinitus prohibitarum, sive per ignaviam sive per neglegentiam perpetrat nullam, sed omnes animae in agendo vires ad perficienda dei mandata paratas habet atque intentas. Ventrem vero, qui animae, quod semper scaturiat,

Digitized by Google

θυνόμενος τοῖς πνευματικοῖς θεωρήμασι, καὶ ἀκατάσβεστον τὸν καυστικώτατον τῆς πρὸς τὴν θείαν συνουσίαν ἀπαθοῦς ἐφέσεως ἔρωτα κεκτημένος. Ἐνδοσθίων δὲ μεταλήψεται προσηκόντως, ὁ τῇ κρυφιωτέρᾳ ζητήσει τε καὶ γνώσει τοῦ νοῦ τὰ βάθη τοῦ θεοῦ διερευνώμενος, καὶ ἀποῤῥήτων ἐμφορούμενος μυστηρίων. Τολμήσει [1] τι μεῖζον ὁ λόγος. Τῶν [2] κάτω τοῦ λόγου μερῶν μεταλαμβανέτω σωφρόνως, ὁ λογικῶς κατὰ τῆς ὕλης ἱστάμενος, καὶ παντάπασιν ἀμόλυντον [3] μετὰ τῆς ψυχῆς τὴν σάρκα διατηρῶν, καὶ ὅλον ἀπαραλείπτως αὐτῇ τὸν λόγον ταῖς ἀρεταῖς διαμορφῶν σάρκα γενόμενον. Μηρῶν δὲ μεταλήψεται ὁ τὸν λόγον ἐπικείμενόν ἔχων τῷ τῆς ψυχῆς παθητικῷ μέρει, καὶ παντελῶς ἐκτέμνων αὐτῆς τὴν πρόςυλον κίνη-
Cod. f. 246 a. σιν· γονάτων δὲ, ὁ πρὸς τοὺς κειμένους καὶ ἀσθενοῦντας | τῇ πίστει συμπαθῶς κατὰ πρόνοιαν ἐπικλινόμενος, καὶ τὴν πρὸς ἡμᾶς τοῦ λόγου μιμούμενος συγκατάβασιν. Κνημῶν δὲ καὶ ποδῶν μεταλαμβανέτω πρὸς τούτοις, ὁ ἐπὶ τῆς πίστεως καὶ τῆς ἀρετῆς καὶ τῆς γνώσεως ἀσαλεύτους ἔχων τῆς ψυχῆς τὰς βάσεις καὶ ἀκλονήτους, καὶ κατὰ σκοπὸν πρὸς τὸ βραβεῖον τῆς ἄνω κλήσεως ἐπειγόμενος, καὶ τῆς ἀγνοίας τὰ ὄρη καὶ τοὺς βουνοὺς τῆς κακίας ὑπερπηδῶν μετὰ τοῦ λόγου καὶ διαλλόμενος. Ἀλλὰ τίς δυνήσεται πᾶσας τοῦ σωτῆρος ἡμῶν θεοῦ τὰς δι' ἡμᾶς ἐπινοίας ἐξαριθμῆσαι καθ' ἃς ἐδώδιμον ἑαυτὸν καὶ μεταληπτὸν ἀναλόγως ἑκάστῳ πεποίηκεν. Ἔτι γὰρ ἔχει πρὸς τούτοις πᾶσιν ὁ κύριος βοστρύχους καὶ ῥῖνας καὶ χεῖλη, τράχηλόν τε καὶ ὤμους καὶ δακτύλους, καὶ ὅσα τῆς ἡμετέρας κατασκευῆς ἐπ' αὐτοῦ λέγεται τροπολογικῶς. Ὧν προσφυῶς τε καὶ εὐχρήστως μεταλαμβάνουσιν οἱ πρὸς ἕκαστον καὶ δι' ἑκάστου μέλους σημαινόμενον πνευματικὸν μεταποιούμενοι λόγον. Οὕτως ὁ ἀμνὸς τοῦ θεοῦ βιβρώσκεται, κατὰ τὸν ἅγιον τοῦτον καὶ μέγαν διδάσκαλον, καὶ εἰς πέψιν πνευματικὴν ἀναδίδοται, μεταποιῶν πρὸς ἑαυτὸν τῷ πνεύματι τοὺς μεταλαμβάνοντας, ἕκαστον αὐτῶν εἰς τὸν τοῦ βρωθέντος ὑπ' αὐτοῦ πνευματικῶς μέλους τόπον κατὰ τὴν θέσιν τῆς σωματικῆς ἁρμονίας ἐνάγων τε καὶ μετατιθέμενος, ὥστε φιλανθρώπως τὸν ἐν τοῖς ὅλοις λόγον τοῖς πράγμασιν οὐσίαν γίνεσθαι τὸν μόνον ὑπὲρ φύσιν καὶ λόγον.

Idem ibid. cap. 18. p. 859. tom. I. Opp. ed. Bened.

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ, Νεκρώσας τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, καὶ τὴν ζώνην Ἰωάννου μιμούμενος, τοῦ ἐρημικοῦ καὶ προδρόμου καὶ μεγάλου τῆς ἀληθείας κήρυκος.

Ὁ τὴν Ἰωάννου ζώνην μιμούμενός ἐστιν ὁ τῇ δυνάμει τοῦ λόγου τὸ γόνιμον τῆς ψυχῆς διὰ γνώσεως πρακτικῶς ἐπισφίγγων, καὶ ἀδιάχυτον αὐτὸ πρὸς τὴν ὕλην διαφυλάττων.
Cod. f. 246 b. Ἐρημικὸς δέ ἐστιν | ὁ παθῶν καθαρεύουσαν τὴν ἕξιν κτησά-

Digitized by Google

genitale habet, qui spiritualibus abundat contemplationibus, qui inextinguibilem et flagrantissimum impassibilis appetitus cum deo coeundi amorem habet. Intestina vero participabit convenienter, qui indagatione magis occulta et cognitione intellectuali profunda dei pervestigat, et ineffabilibus mysteriis saturatur. Maius quid sermo audebit. Inferiores sermonis partes participabit sapienter is qui rationaliter contra materiam stat, et impollutam omnino cum anima carnem conservat, et totum ac sine defectu ea sermonem, qui caro est factus, virtutibus effingit. Femora autem participabit qui sermonem in passibili animae parte habet impositum, ac motionem eius in materiam pronam prorsus exstirpat: genua contra, qui ad iacentes et fide labantes misericorditer de providentia inclinat, atque sermonis ad nos condescensionem imitatur. Tibias denique et pedes participato ad haec, qui intrepidos et inconcussos in fide et virtute et cognitione habet animae gressus, et iuxta propositum approperat ad praemium vocationis in caelum, quique ignorantiae montes nequitiaeque colles transilit cum ratione. Sed quis omnia salvatoris nostri dei propter nos cogitata enumerare poterit quibus esculentum sese atque fruendum convenienter unicuique effecerit? Habet enim dominus ad omnia haec cincinnos et nares et labra, cervicem humerosque ac digitos, et quaecunque nostrae constitutionis de eo figurate praedicari solent. Ea convenienter atque utiliter participant qui in quamque et per quodque membrum significatam rationem instaurantur. Ita agnus dei comedetur, secundum hunc sanctum et magnum doctorem, et in concoctionem spiritualem digeretur, dum participantes se spiritu in se ipsum immutat atque regenerat, unumquemque eorum in membri ab eo vorati locum pro corporalis ordinis et coagmentationis positione attrahens atque transponens, ita ut humaniter ea quae universis inest ratio in rebus essentia fiat, quae ratio sola superat naturam itemque sermonem.

## Ex eodem sermone, in illud, ‚Mortificatus membra, quae sunt super terram, et solitarii illius Ioannis et praecursoris magnique veritatis praeconis, praecinctionem imitans.'

Ioannis zonam imitatur qui rationis virtute genitale animae per cognitionem active constringit, et inconfusum contra materiam servat. Solitarius autem est qui purum affectibus

---

1. τί habet cod. Gud. 2. Ita rescripsi. Apographum habet λόγος. τῶν. καὶ τῶν τοῦ λόγου. 3. Apographum habet μετὰ τῆς κατὰ τῆς ψυχῆς.

Digitized by Google

μενος. Πρόδρομος δὲ ὁ διὰ τῆς γνησίας μετανοίας τὴν ἐπακολουθοῦσαν αὐτῇ δικαιοσύνην, καὶ διὰ τῆς φαινομένης ἀρετῆς τὴν ἐπιδημεῖν αὐτῶν μέλλουσαν γνῶσιν προμηνύων. Μέγας δὲ τῆς ἀληθείας κῆρυξ ἐστιν ὁ τῷ οἰκείῳ βίῳ [1] τὸν ὑπ' αὐτοῦ λαλούμενον τῆς διδασκαλίας λόγον πιστούμενος.

Idem ibid. cap. 19. p. 860. tom. I. Opp. ed. Bened.

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ, Καὶ εἴ τις μαθητὴς ἐπὶ τὸ εὐαγγέλιον πέμπεται, φιλοσόφως καὶ ἀπερίττως· ὃν δεῖ πρὸς τῷ ἀχάλκῳ καὶ ἀράβδῳ καὶ μονοχίτωνι, ἔτι καὶ γυμνοποδεῖν, ἵνα φανῶσιν οἱ πόδες ὡραῖοι τῶν εὐαγγελιζομένων εἰρήνην.

Εὐαγγέλιόν ἐστιν ὁ περὶ τῆς τοῦ Θεοῦ βασιλείας ὑψηλότερος λόγος· βασιλεία δέ ἐστι Θεοῦ ἡ πάσης ὕλης καὶ πασῶν τῶν κατ' αὐτὴν φαντασιῶν καθαρεύουσα λῆξις. Μαθητὴς οὖν ἐπὶ τὸ εὐαγγέλιον πεμπόμενος εἰκότως ἐστὶν ὁ τοῖς τρόποις παντελῶς τὴν πρὸς τὸν κόσμον τοῦτον ἐπιδεικνύμενος ἀλλοτρίωσιν τῷ τε ἀχάλκῳ καὶ ἀράβδῳ καὶ μονοχίτωνι τήν τε φιλαργυρίαν καὶ τὸν θυμὸν ἢ τὴν ἐπὶ δυναστείᾳ τινὶ πεποίθησιν ἑαυτοῦ περικόψας, ἀτέχναστόν τε καὶ ἄπλαστον καὶ μονότροπον καὶ πάσης ἐλευθέραν διπλόης τὴν ἠθικήν, ὥσπερ ἓν χιτώνιον, μετιὼν φιλοσοφίαν, μηδὲν τὸ σύνολον νεκρότητος τῷ ἴχνει τῆς ψυχῆς, ὥσπερ ὑπόδημα, σύμβολον ἐναφεὶς, οἷα τῆς μεγάλης εἰρήνης ὑπάρχων ἄγγελος, καὶ τῆς μηκέτι φοβουμένης τὸν ἐκ τῶν παθῶν πόλεμον, μηδὲ θάνατον σώματος ὑποστελλομένης καταστάσεως κῆρυξ, ὥστε δύνασθαι τοὺς εἰς αὐτὸν συνετῶς ὁρῶντας ἐκ τῆς κατ' ἀρετὴν περὶ τὸν βίον ἀναλλοιώτου ταὐτότητος τὴν ἐν [1] ἀγγέλοις περὶ Θεὸν εὐπρεπεστάτην εἰκονίζεσθαι πολιτείαν τε καὶ εὐστάτειαν.

Ἄλλο εἰς τὸ αὐτὸ Θεώρημα.

Ἢ μήποτε διὰ τὸ ἁπλῶς εἰπεῖν, καὶ κατὰ μίμησιν τῆς Ἰωάννου ζώνης, καὶ πάλιν εὐαγγελικῶς δύνασθαι τὸ πάσχα ἐσθίεσθαι, τάς τε διαφορὰς τῶν μεταλαμβανόντων καὶ τοὺς τρόπους αὐτοῦ τοῦ πάσχα διδασκαλικῶς ὁ πατὴρ παρηνίξατο. Τρία γὰρ πάσχα παραδίδωσιν [1] ὁ παλαιᾶς γραφῆς λόγος, ἓν κατὰ τὴν Αἴγυπτον ἐπιτελούμενον, καὶ ἕτερον κατὰ τὴν ἔρημον, καὶ τὸ ἄλλο κατὰ τὴν γῆν τῆς ἐπαγγελίας. Ἡ μὲν οὖν Αἴγυπτος κατὰ μίαν τῶν περὶ αὐτὴν ἐπινοιῶν ἀλληγορουμένη τοῦτον δηλοῖ τὸν κόσμον, ἡ δὲ ἔρημος ὡσαύτως κατὰ μίαν τῶν ἐπ' αὐτῆς θεωριῶν τὴν μετὰ θάνατον κατάστασιν τῶν ψυχῶν ἀλληγορικῶς ὑποφαίνει, ἡ δὲ γῆ τῆς ἐπαγγελίας τὸν

Cod. I. 247. a

1. Cod. Gud. habet quidem τὸν ἐπ' αὐτοῦ, sed vocum ἐπ' αὐτοῦ para prior punctis subterpositis sunt notata. Aliena manus aliquid rescripture fuisse videtur.

Digitized by Google

habitum sibi quaesivit. Praecursor vero est qui sincerae paenitentiae ope iustitiam, quae illam subsequitur, conspicuaque virtute futuram ad quam sit accessurus cognitionem praenuntiat. Magnus denique veritatis praeco est qui doctrinae sermonem a semetipso praedicatum sua propria vita confirmat.

Ex eodem sermone, in illud, ‚Et si quis discipulus ad praedicandum evangelium mittitur, frugalitati ac simplicitati studeat: quem praeter quod nec aes, nec baculum, nec duplicem tunicam habeat, etiam nudis pedibus iter facere oporteat, ut pulchri pedes evangelizantium pacem appareant.'

Evangelium est sublimior de dei regno sermo; regnum autem dei est omnis materiae omniumque vanitatum de ea conceptarum pura condicio. Discipulus igitur ad evangelium praedicandum missus, uti videtur, is est qui moribus suis prorsus sese ab hoc mundo abalienatum demonstrat, eo quod aeris sit expers et baculi, quodque unam tantum tunicam habeat, pecuniae cupidinem et iracundiam vel imperii alicuius confidentiam suam circumcidens, moralem, philosophiam neque dolosam neque effictam, simplicem eam omnique versutia liberam, veluti unam tuniculam, profitens, nullum omnino mortalitatis signum animae vestigio veluti calceum indutus, utpote qui magnae pacis existat nuntius, atque status praeco qui non timeat amplius bellum passionum aut corporis mortem reformidet, adeo ut qui prudenter in eum oculos figunt ex immutabili vitae per virtutem identitate angelorum in dei comitatu conversationem dignissimam atque stabilitatem exprimant.

## Alia in idem contemplatio.

Aut fortasse per simplicitatem orationis et zonam Ioannis imitando, et rursus ad facultatem faciendam evangelice pascha edendi, et participantium differentias et ipsius paschatis modos pater per aenigma praecipiendo significavit. Tria enim pascha antiquior tradit sacra scriptura, unum quidem esse perfectum in Aegypto, et alterum in deserto, et tertium in terra annuntiationis. Aegyptus igitur secundum unam cogitationem figurata hunc mundum significat, desertum vero pariter secundum alteram illarum contemplationum animarum post mortem statum allegorice denotat, terra autem annun-

1. Cod. Gud. *ἀγγέλοις περὶ θεόν*. Punctis ab aliena et recentiore manu positis subscripta est emendatio quam extricasse mihi non contigit.

1. Apographum habet *ὁ πατὴρ γραφῆς λόγος*. Correxi *ὁ παλαιᾶς γραφῆς λόγος*.



Digitized by Google

μέλλοντα προτυποῖ. Τρεῖς γὰρ τόποι καὶ καταστάσεις εἰσὶν ἐν οἷς οἱ ἄνθρωποι γινόμεθα, οὗτος ὁ ἐν ᾧ τὸ εἶναι λαμβάνοντες γεννώμεθα κόσμος, καὶ ὁ μετὰ θάνατον ἐν ᾧ ἐντεῦθεν ἀπιόντες γινόμεθα τόπος, καὶ ὁ μέλλων αἰὼν, ἐν ᾧ μετὰ ψυχῶν συγκλειόμεθα καὶ σωμάτων. Ἐφ' ὅσον οὖν χρόνον ἐσμὲν ἐν τῷ κόσμῳ τούτῳ, ἐν Αἰγύπτῳ ἄγομεν τὸ πάσχα, τῶν καθ' ἁμαρτίαν κηλίδων ἐκκαθαιρόμενοι· ἐπὰν δὲ ταύτην διὰ θανάτου περάσωμεν τὴν ζωὴν, ὡς ἐν ἐρήμῳ πάλιν ἄγομεν ἕτερον πάσχα, τρανοτέρους τοὺς τῶν ὄντων λόγους, χωρὶς συμβόλων καὶ αἰνιγμάτων καὶ τῆς δι' αἰσθήσεως ποικιλίας, νοητῶς τε καὶ ἀσωμάτως μανθάνοντες· καὶ αὖθις κατὰ τὸν μέλλοντα τῶν θείων ἐπαγγελιῶν αἰῶνα ἑορτάζομεν τὸ πάσχα, τὸν ἀκρότατον ἀμέσως ἐσθίοντες τῆς σοφίας λόγον, πρὸς ὃν μεταποιηθέντες κατὰ χάριν θεούμεθα, τὴν πρὸς ἄλλο πάσχα διάβασιν καθ' ὁτιοῦν ἄλλην οὐκ ἔχοντες, πλὴν ὅτι καὶ ἐνταῦθα παροῦσιν ἡμῖν δυνατόν ἐστι πρὸς τὴν ἑκάστου κατάστασιν εἰκονισθῆναι τῶν εἰρημένων τόπων τὴν ἰδιότητα. Ὁ γὰρ ἑκάστου ἡμῶν βίος χαρακτηριστικός ἐστι τοῦ ἐν ᾧ ἐστι τόπου. Οἷον, εἰ μὲν τὴν πρακτικὴν ἀνδρικῶς μετερχόμεθα φιλοσοφίαν, ἐν Αἰγύπτῳ τὸ πάσχα καλῶς ἐπιτελοῦμεν, μετὰ τῶν Αἰγυπτίων μὲν ὑπάρχοντες, οὐκ Αἰγύπτιοι δὲ τυγχάνοντες, ὡς ἐν σαρκὶ μὲν ὄντες, οὐ κατὰ σάρκα δὲ στρατευόμενοι.
Cod. f. 247 b. Εἰ δὲ τὴν φυσικὴν ἐν πνεύματι θεωρίαν εὐσεβῶς ἐξασκούμεθα, ὅπλα τῷ θεῷ δυνατὰ τὰς τῆς ψυχῆς ποιούμενοι δυνάμεις, πρὸς καθαίρεσιν μὲν ὀχυρωμάτων καὶ παντὸς ὑψώματος ἐπαιρομένου κατὰ τῆς γνώσεως τοῦ θεοῦ, θεωρίαν δὲ τῶν ἐν τοῖς οὖσι πνευματικῶν λόγων, ὥσπερ γυμνοὶ σώματος καὶ τῆς κατὰ τὴν αἴσθησιν ἀπατηλῆς φαντασίας ἐλεύθεροι, τὴν πρὸς τὰς θείας ἐπαγγελίας γνωστικῶς ποιούμενοι πορείαν, ἐσμὲν ἐν τῇ ἐρήμῳ, τῇ παθῶν λέγω, καὶ πάσης ὑλικῆς φαντασίας καθαρευούσῃ καταστάσει. Εἰ δὲ τὴν θεολογικὴν μυσταγωγίαν ἀῤῥήτοις νοὸς κινήμασι μορφαζόμεθα, τί τὸ πλάτος καὶ μῆκος καὶ βάθος καὶ τὸ ὑπερβάλλον εἰς ἡμᾶς μέγεθος τῆς τοῦ θεοῦ σοφίας κατὰ τὸ ἐφικτὸν ἀνθρώποις οὐκ ἀγνοοῦντες, ἐσμὲν ἐν τῇ γῇ τῆς ἐπαγγελίας. Τὴν πρακτικὴν οὖν καὶ τὴν φυσικὴν καὶ τὴν θεολογικὴν φιλοσοφίαν οἶμαι διὰ τῆς διαιρέσεως τῶν τριῶν προσώπων τὸν διδάσκαλον παραινίττεσθαι, δι' ὧν ἀναλόγως ἕκαστος κατὰ τὴν ὑποῦσαν αὐτῷ δύναμιν τὸ νοητὸν ἐσθίει πάσχα.

Idem ibid. cap. 21., p. 861. tom. I. Opp. ed. Bened. Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ, Εἰ μέν τις εἶ Ῥαχὴλ ἢ Λεία, ψυχὴ πατριαρχικὴ καὶ μεγάλη, καὶ τὰ εἴδωλα κλέψον ἅπερ ἂν εὕρῃς τοῦ σοῦ πατρὸς, οὐχ ἵνα φυλάξῃς, ἀλλ' ἵνα ἀφανίσῃς· εἰ δὲ Ἰσραηλίτης σοφὸς, πρὸς τὴν γῆν τῆς ἐπαγγελίας μετένεγκαι.

Ῥαχὴλ μὲν, ὥς φασιν, ἀμνὰς ἢ ποιμαίνουσα ἑρμηνεύεται, ἡ δὲ Λεία κοπουμένη ἢ κόπωσις ἑρμηνεύεται. Ποιμαίνεται οὖν

tionis futurum aevum designat. Tres enim loci et status sunt in quibus versamur homines, id est hic mundus, in quo existentia impertiti generamur, et ille locus quo post mortem pergimus abeuntes, et futurum aevum, in quo cum animabus atque corporibus coercemur. Quamdiu igitur in hoc mundo versamur, in Aegypto agimus pascha, de peccati maculis dum purgamur; verum quando morte hanc vitam finivimus, tanquam in deserto rursus agimus alterum pascha, dum clarius eorum quae sunt rationes, symbolis et aenigmatis et sensuali varietate exutas intellectualiter et corporis expertes ediscimus; et rursus in futuro divinarum annuntiationum aevo pascha celebramus, dum extremam edimus immediate sapientiae sermonem, ad quem regenerati per gratiam deificamur; nec ullum ad alterum pascha transitum alium habentes, praeter quod nobis etiam in hac vita ad uniuscuiusque statum locorum, quae dixi, proprietas per imaginem repraesentari potest. Nam uniuscuiusque nostrum vita eius in quo versatur loci quasi imaginem praebet. Velut, si practicam, quae dicitur, philosophiam fortiter tractamus, in Aegypto pascha probe obimus, inter Aegyptios quidem versantes, nec tamen Aegyptii ipsi, ut in carne quidem versantes, nec tamen carnaliter militantes. Si vero naturalem in spiritu contemplationem pie exercemus, arma deo fortia reddentes animae facultates, ad expugnanda praesidia omnemque summitatem contra dei cognitionem erectam, et ad contemplandas spirituales in eis quae existunt rationes, veluti corpore nudi ac sensuali imaginationis fraude liberi, ad divinas annuntiationes gnostice iter facientes, tum in deserto sumus, in statu, inquam, ab affectibus et omni materiali vanitate puro. Si denique theologicam initiationem ineffabilibus mentis motionibus imitamur, quaenam sit latitudo et longitudo et altitudo et redundans in nos magnitudo sapientiae dei, quoad possint homines, haud ignorantes, in terra sumus annuntiationis. Practicam igitur et naturalem et theologicam philosophiam per trium personarum differentiam a magistro significari mihi videtur, quibus convenienter pro sua quisque facultate intellectualem comedat pascha.

Ex eodem sermone, in illud, ‚Si Rachel quaedam es, aut Lia, hoc est patriarchica et magna anima, patris quoque tui idola, quaecunque inveneris, surripe, non ut serves, sed ut deleas: si autem sapiens Israëlita, ad terram promissionis transfer.‘

Rachel quidem, ut tradunt, agna vel pascens oves explicatur, Liam vero fatigatam vel fatigationem interpretantur.



Digitized by Google

καὶ ποιμαίνει καὶ ἄγεται καὶ ἄγει ἡ Ῥαχὴλ, κατὰ τὴν τῆς προσηγορίας δύναμιν. Ῥαχὴλ οὖν ἐστι πᾶσα ψυχὴ θεωρητικὴ, ἡ τῷ νόμῳ τοῦ θεοῦ ὡς ἀμνὰς ποιμαινομένη τε καὶ ἀγομένη, καὶ κατὰ τὸν νόμον τοῦ θεοῦ τοῖς κατὰ πρᾶξιν θεσμοῖς ποιμαίνουσά τε καὶ ἄγουσα αὐτῆς τὰ κινήματα καὶ τὰ διανοήματα, καὶ τὰ πάθη τῆς σαρκὸς τῷ | γονίμῳ τῆς ἀρετῆς ὑποτάσσουσα τέως, καὶ οὕτως μετὰ τὴν εἰς γνῶσιν εἴσοδον παντελῶς ἀφανίζουσα. Λεία δέ ἐστι πᾶσα ψυχὴ πρακτικὴ, τὴν ὑπὲρ ἀρετῆς ἔχουσα κόπωσιν, ἣν μάλιστα πρώτην πᾶς τις τὴν θείαν μετιὼν φιλοσοφίαν γαμικῶς εἰσοικίζεται. Ἰσραηλίτης δὲ σοφός ἐστι νοῦς θεωρητικὸς τὰ τοῦ αἰῶνος τούτου νοήματα πρὸς τὴν χώραν τῆς γνώσεως μεταβιβάζων κατὰ τὸν μέγαν ἐκεῖνον Ἰακὼβ, τὸν πάντα τὰ τοῦ Λάβαν πρὸς τὴν γῆν τῶν πατέρων μετακομίσαντα. Καθάπερ γὰρ ἐκεῖνος ὁ θαυμαστὸς Ἰακὼβ ἱστορικῶς τὰς ῥάβδους λεπίσας καὶ ὑποθεὶς ταῖς ληνοῖς τῶν ὑδάτων πρὸς αὐτὰς ἐγχισσᾶν ἐποίει τὰ πίνοντα πρόβατα, οὕτω καὶ πᾶς ἐν πνεύματι σοφώτατος νοῦς τῆς περικειμένης ὕλης τοὺς τῶν ὄντων θειοτέρους λόγους ἀπογυμνώσας, καὶ τοῖς κατὰ τὴν θεωρίαν τρόποις τῆς γνώσεως ὑποθέμενος, τὴν τῶν ἀσωμάτων κατάστασιν μορφοῦσθαι, τούς τε μανθάνοντας πάντας καὶ τὰ τῆς ἑαυτοῦ ψυχῆς ἐκδιδάσκει κινήματα. Πατριάρχης οὖν τῶν μὲν διὰ τῆς πρακτικῆς κοπώσεως τὴν ἀρετὴν κατορθούντων ἐστὶν ἡ Λεία, τῶν δὲ διὰ τῆς φυσικῆς θεωρίας τὴν ἀρετὴν λογικῶς μετιόντων ἐστὶν ἡ Ῥαχὴλ, ὡς εὐπειθῶς ἀγομένη τῷ νόμῳ τοῦ θεοῦ καὶ πράως κατ' αὐτὸν ἄγουσα. Τῶν δὲ κατὰ θεωρίαν πνευματικὴν τὸ ὕψος μεταδιωκόντων τῆς γνώσεως, Ἰακὼβ ὁ πανεύφημος, τῶν μὴ τὰ φαινόμενα καθὼς φαίνονται παντελῶς, ἀλλὰ καθὼς νοοῦνται, θεωμένων τε καὶ γινωσκόντων, καὶ μετὰ τῶν ἐν τούτοις νοημάτων πλουσίως πρὸς τὴν ἄϋλον καὶ ἀσώματον μεταβιβαζομένων γνῶσιν.

Idem ibid. cap. 24, p. 864. tom. I. Opp. ed. Bened. *Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ, Ἄν Σίμων ἧς Κυρηναῖος, τὸν σταυρὸν ἆρον καὶ ἀκολούθησον.*

Σίμων μὲν ὑπακοὴ, Κυρηναῖος δὲ ἑτοιμότης, ὥς φασιν,
Cod. f. 248 b. ἑρμηνεύεται. | Πᾶς οὖν ἕτοιμος πρὸς ὑπακοὴν τοῦ εὐαγγελίου, καὶ προθύμως διὰ νεκρώσεως τῶν ἐπὶ γῆς μελῶν τὴν ὑπὲρ ἀρετῆς κατὰ τὴν πρακτικὴν φιλοσοφίαν ὑπερχόμενος κάκωσιν, Σίμων γέγονε Κυρηναῖος, ἑκούσιον μετερχόμενος ἀρετὴν, ἐπ' ὤμων τε τὸν σταυρὸν ἔχων καὶ ἀκολουθῶν τῷ Χριστῷ ἀνεσταλμένην παντελῶς τῆς γῆς τοῦ κατὰ θεὸν βίου τὴν ἀγωγὴν ἐπιδεικνύμενος.

Idem ibid. cap. 24., p. 864. tom. I. Opp. edit. Bened. *Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ, Ἐὰν συσταυρωθῇς ὡς ληστὴς, ὡς εὐγνώμων τὸν θεὸν γνώρισον.*

Ληστὴς ἐστιν εὐγνώμων συσταυρούμενος τῷ Χριστῷ πᾶς ἄνθρωπος ὑπὲρ ἁμαρτιῶν πάσχων κακῶς ὡς ὑπεύθυνος,

Digitized by Google

Pascitur igitur et pascit, et agitur et agit, Rachel, secundum vocis significationem. Rachel igitur est omnis anima contemplativa, quae lege dei tanquam agna pasta et acta, et iuxta legem dei praeceptis eis quae ad actionem pertinent et pascit et agit motiones suas cogitationesque, atque carnis affectus fecunditati virtutis interim subicit, adeoque postquam ingressa in cognitionem est, prorsus extinguit. Lia autem est omnis anima strenua pro virtute laborans, quam omnis maxime divinae philosophiae sectator in matrimonium apud se excipit. Israelita autem sapiens est mens contemplativa aevi huius cogitationes in terram cognitionis transferens ad exemplum magni illius Iacobi, qui totam Labani substantiam ad terram patrum transportavit. Quemadmodum enim admirandus ille Iacobus, ut traditum est, virgas decorticatas aquarum canalibus iniecit et concipere ad eas fecit oves bibentes, sic omnis mens in spiritu sapientissima quoque rationes rerum quae sunt diviniores a materia circumvestiente denudatas modis cognitionis contemplativis subicit, et incorporalium statum formare quemque discentem et animae suae ipsius motiones edocet. Patriarcha itaque eorum quidem qui per activum laborem virtuti operam navant Lea est, contra eorum qui per naturalem contemplationem rationaliter virtutem colunt Rachel est, utpote dei lege oboedienter gubernata, ac leniter secundum eam gubernans. Eorum vero qui iuxta contemplationem spiritualem petunt sublimitatem cognitionis Iacobus est ille eximia laude praedicandus, hoc est eorum qui ea quae videntur non ita ut videntur, sed ut intellectui repraesentantur inspiciunt atque cognoscunt, et cum cogitationibus inde repetitis divites ad immaterialem et incorporalem cognitionem transeunt.

## Ex eodem sermone, in illud, ‚Si Simon Cyrenaeus sis, crucem tolle, ac sequere.'

Simon quidem est oboedientia, Cyrenaeus autem, ut tradunt, explicatur paratus animus. Quicunque igitur ad oboediendum evangelio paratus, terrenis mortificatis membris per practicam philosophiam pro virtute lubenter subit vexationem, Simon factus est Cyrenaeus, voluntariam sectans virtutem, in humeris dum fert crucem et Christum sequitur, conversationem vitae deo convenientis terrena prorsus aversatam ostendens.

## Ex eodem sermone, in illud, ‚Si ut latro cruci simul affixus fueris, ut vir probus, deum agnosce.'

Latro probus cum Christo simul cruci affixus omnis est homo qui pro peccatis male patitur ut obnoxius, simul male

Digitized by Google

τῷ ἀνευθύνως δι' αὐτὸν κακοπαθοῦντι λόγῳ συγκακοπαθῶν καὶ φέρων μετ' εὐχαριστίας, καὶ τὸν κατὰ πρόνοιαν τῆς δικαίας κρίσεως λόγον συνόντα γνωρίζον, καὶ ὁμολογῶν τὴν ὑπὲρ ὧν πάσχει κακῶς αἰτίαν, καὶ αἰτῶν ὥςπερ αὐτῷ τοῦ πάθους ἐκοινώνησεν ἀνεύθυνος ὢν ὁ λόγος, οὕτω δι' ἑαυτὸν τὸν λόγον τῆς οἰκείας εὐπαθείας ἀναξίῳ τυγχάνοντι μεταδοῦναι, καὶ τὴν ἐκ περιστάσεως νέκρωσιν εἰς ἑκούσιον αὐτοῦ ἀρετὴν διὰ τὴν εὐγνωμοσύνην λογίσασθαι, ἡνίκα τῆς προνοίας τὰ σοφὰ τοῦ λόγου προκαλύμματα πέρας λαβόντα τῆς αὐτοῦ βασιλείας τὸ φῶς φανῇ τὸ ἀπρόςιτον. Οὕτω περιίσταται αὐτῷ πάσχοντι δι' ἁμαρτίας ἡ ἐκ περιστάσεως τῶν μελῶν τοῦ σώματος νέκρωσις, δι' εὐγνώμονος εὐχαριστίας εἰς αὐθαίρετον ἀρετὴν μεταπίπτουσα, καθ' ἣν τῶν καθ' ἁμαρτίαν πολλῶν ἀπολυόμενος ὀφλημάτων μετὰ τοῦ λόγου δικαίως εἴςεισιν εἰς τὴν χώραν τῆς γνώσεως, φημὶ δὲ τὸν παράδεισον, ἐν ᾗ γενόμενος γνώσεται τὴν αἰτίαν τῆς ἐν ᾗ καθείργμεθα τῶν καταδίκης καὶ κακοπαθείας. Ληστὴς δὲ ἀγνώμων ἐστὶν ὁ δι' ἁμαρτίας πάσχων κακῶς ὡς ὑπεύθυνος, καὶ μὴ γνωρίζων
Cod. f. 249 a. διὰ | φιλαπεχθήμονα γνώμην τὸν ἀνευθύνως ὑπὲρ φιλανθρωπίας αὐτῳ συμπάσχοντα τῆς δικαιοσύνης λόγον, ἀλλὰ βλασφήμως ἀποπεμπόμενος τὸν ἐπ' αὐτῷ κατὰ πρόνοιαν δικαίως ὁρισθέντα τῆς κρίσεως λόγον, ὃς ἐπειδὴ μὴ ἐγνώρισε τὸν ἀτίμως αὐτῷ κατὰ βούλησιν συγκαταδικασθέντα λόγον καὶ ᾐτήσατο χάριν ὧν ἐπλημμέλησεν, ἀφίσται τῆς βασιλείας ἀλλότριος, οὐδεμίαν τοῦ ποτε ταύτης τεύξεσθαι παρὰ τοῦ λόγου λαβὼν ἐπάγγελον.

## Ἄλλο εἰς τὸ αὐτὸ θεώρημα.

Καὶ πάλιν ληστής ἐστιν εὐγνώμων ὁ κἂν ἐπ' αὐτὸ τὸ πέρας τῆς παρούσης αὐτῷ γενόμενος ζωῆς ἐλθὼν εἰς συναίσθησιν τῶν πλημμεληθέντων αὐτῷ, καὶ γνωρίζων μετὰ συνέσεως τὸν ἐπ' αὐτῷ δικαίως ὡρισμένον ἐνταῦθα τῆς θείας κρίσεως συντελούμενον αὐτῷ λόγον, καὶ αἰτῶν συγγνώμην εἰλικρινῶς ἐκ βάθους ψυχῆς ὧν ἥμαρτεν. Ἀγνώμων δὲ ληστής ἐστιν ὁ κατ' αὐτὸ τὸ πέρας τῆς παρούσης αὐτῷ ζωῆς γενόμενος καὶ τὸν κατὰ ψῆφον δικαίαν τοῦ θεοῦ τεθέντα σοφῶς τοῦ μερισμοῦ τῆς ψυχῆς ἀπὸ τοῦ σώματος νόμον τε καὶ ὅρον ὡς μὴ καλῶς δοθέντα διὰ φιλοζωΐαν μεμφόμενος.

## Ἄλλο εἰς τὸ αὐτὸ θεώρημα.

Καὶ πάλιν ἐπειδήπερ ἕκαστος ἡμῶν διπλοῦς ἐστι τὴν φύσιν, ἐκ ψυχῆς καὶ σώματος συνεστώς, λῃστὴς ἐστιν ὁ καθ' ἑκάτερον τῶν ἐξ ὧν συνέστηκε κατὰ τὴν θατέρου φύσιν νόμον ὑπὲρ ἀρετῆς τῷ λόγῳ μυστικῶς συσταυρούμενος, καὶ τὸν μὲν τῆς σαρκὸς νόμον ὥςπερ ἀγνώμονα λῃστὴν τῷ λόγῳ τῆς ἀρετῆς ἀντιπίπτοντα, τὸν δὲ τοῦ πνεύματος νόμον ὥςπερ λῃστὴν ἔχων εὐγνώμονα, καὶ τὸν σωτῆρα λόγον διὰ τῶν κατὰ τὴν

Digitized by Google

patiens cum Sermone ipsius gratia innoxie male patiente, et cum grata beneficii recordatione ferens, iustique iudicii secundum providentiam secum esse Sermonem agnoscens, et culpam quam male patiendo luit confitens, ac precans ut Sermo quemadmodum quamvis innoxius passionem suam communicarit, ita sibi quamvis indigno per semetipsum velit gaudium suum et oblectationem communicare, et mortificationem ex circumstantia in voluntariam ipsius virtutem benigne adnumerare, quando Sermonis velaminibus, quae sapienter induerat providentia, demptis regni eius lux inaccessa apparuerit. Sic circumstat eum peccati causa patientem corporis membrorum de circumstantia mortificatio, quae per fidelem gratamque beneficii recordationem in voluntariam mutatur virtutem, qua debitis peccati multis solutus in regionem cognitionis cum Sermone iure intrat, hoc est in paradisum, ubi certior fiet de causa nostrae damnationis atque miseriae, quibus nunc tanquam in carcere cohibemur. Latro improbus contra est qui peccati causa obnoxius patitur, quique propter voluntatis malignitatem iustitiae sermonem non agnoscit una cum se, sed sine culpa, patientem pro benignitate sua, immo cum convicio repudiat iudicii sermonem merito ei de providentia definitum: qui cum Sermonem contumeliose secum, et sua ipsius sponte, condemnatum non cognosset nec delictorum suorum veniam rogavisset, e regno eicitur, ut alienus, nullam unquam se civitatem eius recepturum esse laetum accepturus nuntium.

## Alia in idem contemplatio.

Atque iterum latro probus est qui, etiam si in ipso demum fine praesentis vitae, venit in peccatorum suorum reputationem prudenterque agnovit verbum divini iudicii in se hic consummatum, quod ei merito erat definitum, quique sincere ex intimo corde eorum quae deliquerit veniam petit. Improbus contra latro est qui vel in ipso vitae praesentis fine dei legem ac definitionem animae a corpore separandae, quamvis iusto iudicio ac sapienter sancitam, vitae amore tanquam male institutam vituperat.

## Alia in idem contemplatio.

Atque rursus cum nostrum unusquisque duplicem habeat naturam, ex anima atque corpore consistens, latro est qui secundum utramque eorum ex quibus constat pro alterius natura legem pro virtute cum Sermone mystice cruci affigitur, et carnis quidem legem veluti improbum latronem virtutis sermoni obnitentem, spiritus vero legem veluti probum latronem habet, quique salvatorem sermonem par practicae

Digitized by Google

πρακτικὴν τρόπων, κἂν ἐπίπονοι ὦσιν, ἀποδεχόμενον, ᾧ συνειςέρχεται γεγηθὼς εἰς τὸν τῆς εὐωχίας τόπον τὸν πάσης κατάκορον γνώσεως, τοῦ κατὰ σάρκα φρονήματος παντελῶς ἀπηλλαγμένος. |

Cod. f. 249 b. Ἄλλο εἰς τὸ αὐτὸ θεώρημα.

Καὶ αὖθις λῃστής ἐστιν εὐγνώμων ὁ καταξιωθεὶς συσταυρωθῆναι Χριστῷ διὰ τῆς παντελοῦς καὶ ὁλοκλήρου τῶν παθῶν νεκρώσεως, καὶ δεξιῶς αὐτῷ συσταυρούμενος, τουτέστι μετὰ λόγου καὶ γνώσεως πᾶσαν διεξιὼν ἀρετὴν, καὶ ἀπρόσκοπον πᾶσιν ἀνθρώποις τὸν βίον διατηρῶν, καὶ μηδεμίαν ἔχων τὸ παράπαν τῆς τοῦ λόγου πραότητος ἀπάδουσαν δι' αὐστηρότητα κίνησιν. Ἀγνώμων δὲ λῃστής ἐστιν ὁ δόξης ἕνεκεν ἢ λημμάτων ἀδροτέρων τοῖς φαινομένοις τρόποις ὑπούλως τὸν κατ' ἀρετὴν βίον ὑποχρινόμενος, καὶ ἕνα καὶ μόνον πρὸς τοὺς ἔξω τὸν κόλακα λόγον ἀντὶ πάσης ἀρετῆς τε καὶ γνώσεως μετερχόμενος, πρὸς δὲ τοὺς συνήθεις σκόλιός τις τὴν γνώμην παντάπασιν ὢν καὶ δυςάντητος, ὃν δεῖ μάλα γε τὴν ὁδὸν τοῦ θεοῦ βλασφημοῦντα μετὰ συνέσεως ἐπιστομίζειν. Ἴσως γὰρ παύσεται τοῦ διαβάλλειν διὰ τῆς οἰκείας ἀναστροφῆς τὸν λόγον τῇ παραινέσει τοῦ ἐπιπλήσσοντος, ὥςπερ ἐπὶ τοῦ σταυροῦ πέπονθεν ὁ τὴν βλασφημίαν ἀδεῶς προσενέγκας λῃστής. Τὸ γὰρ μὴ ἀντιφθέγξασθαι τῷ ἐπιπλήξαντι σημεῖον ἔχει τῆς τοῦ ῥηθέντος ἀποδοχῆς λόγου τὴν σιωπήν. Καθ' ἥντινα γοῦν τῶν εἰρημένων θεωρίαν τῷ Χριστῷ συσταυρούμεθα, σπουδάσωμεν, ὡς ἐσμεν ἐνταῦθα, τὸν συσταυρούμενον ἡμῖν ἱλεώσασθαι λόγον, καὶ τὴν ἀψευδῆ δέξασθαι κατὰ συνείδησιν καθαρθεῖσαν τῶν πλησσόντων αὐτὴν νοημάτων τῆς ἀναπαύσεως ἐπαγγελίαν, εἴπερ ἡ σήμερον τὴν ἐνεστῶσαν τούτου τοῦ αἰῶνος ἡμέραν ἐνδείκνυται (σήμερον γὰρ, φησὶν, ἔσῃ μετ' ἐμοῦ ἐν τῷ παραδείσῳ), ἡ δὲ αὔριον τὴν τοῦ μέλλοντος, καθ' ἣν οὐδεμίαν μὲν ἄφεσιν ἁμαρτημάτων ἐκδέχεσθαι χρὴ, μόνην δὲ τῆς ἑκάστῳ πρεπούσης κατ' ἀξίαν ἀμοιβῆς τῶν βεβιωμένων ἀντίδοσιν.

Cod. f. 250 a.

Idem ibid. cap. 24., p. 864. tom. I. Opp. ed. Bened. Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ, Κἂν Ἰωσὴφ ἧς ὁ ἀπὸ Ἁριμαθαίας, αἴτησαι τὸ σῶμα παρὰ τοῦ σταυροῦντος.

Τὸ σῶμα τοῦ Χριστοῦ ἐστιν ἡ ψυχὴ, ἢ αἱ ταύτης δυνάμεις, ἢ αἱ αἰσθήσεις, ἢ τὸ σῶμα τοῦ καθ' ἕκαστον, ἢ τὰ μέλη τοῦ σώματος, ἢ αἱ ἐντολαὶ, ἢ αἱ ἀρεταὶ, ἢ οἱ λόγοι τῶν γεγονότων, ἢ ἁπλῶς εἰπεῖν ἀληθέστερον, ἰδίᾳ τε καὶ κοινῇ, ταῦτα πάντα καὶ τούτων ἕκαστον ἐστὶ τὸ σῶμα τοῦ Χριστοῦ. Σταυροῖ δὲ τοῦτο, ἤγουν ταῦτα πάντα ὁ διάβολος, ἐν τῷ παραδεξαμένῳ τούτων τὴν σταύρωσιν, οὐκ ἐῶν αὐτὰ κατὰ φύσιν ἐνεργεῖσθαι. Ἰωσὴφ δὲ ἑρμηνεύεται κατὰ τὴν Ἑβραίων φωνὴν, Πρόσθεσις, Ἁριμαθία δὲ, Ἄρον ἐκεῖνο. Πῶς οὖν;

Digitized by Google

philosophiae modos, etsi magno cum labore sint coniuncti, recipit, quocum simul ingreditur laetus in oblectationis locum, omni cognitione refertum, carnali sensu ac cogitatione plane liberatus.

## Alia in idem contemplatio.

Atque rursus latro probus est is qui cum Christo simul cruci affigi meruit per plenam atque perfectam passionum mortificationem, quique ad dextram eius est cruci affixus, hoc est qui cum ratione et cognitione omnem persequitur virtutem, cunctisque hominibus inoffensam servat vitam, quique nullam prorsus quae austeritate a sermonis lenitate discrepet habet motionem. Improbus contra latro est qui gloriae lautiorumve emolumentorum gratia speciosis modis subdole simulat vitam secundum virtutem institutam, unicoque ac soli pro omni virtute et cognitione in conversatione cum alienis sermoni adulatori dat operam, erga necessarios contra pravum se gerit voluntate ac moribus et illiberalem prorsus, cui praesertim viae dei calumniatori prudenter est os obturandum. Fortasse enim desinet quod in sua revertatur calumniari Sermonem ab increpante admonitus, quemadmodum in cruce contigit illi qui sine verecundia blasphemiam protulerat latro. Quod enim non oblocutus est increpanti, id sermonem qui prolatus erat tacite probatum significat. Quacunque utique contemplationis ratione cum Christo simul cruci adfigimur, dum ibi sumus, Sermonem una cum nobis cruci affixum placare studeamus, ac veracem conscientia a cogitationibus eam increpantibus purgata accipere quietis annuntiationem, siquidem hodierna dies praesentem huius aevi diem denotat, (nam, ‚Hodie', inquit, ‚mecum eris in paradiso'), crastina vero futuram, qua non peccatorum remissio expectanda est ulla, sed sola vitae ex merito conveniens retributio.

## Ex eodem sermone, in illud, ‚Si Iosephus Arimathaeus sis, ab eo qui cruci affixit corpus pete.'

Corpus Christi est anima, vel facultates eius, vel sensus, vel singulorum corpus, vel corporis membra, vel mandata, vel virtutes, vel rationes eorum quae facta sunt, vel ut verius simpliciter dicam, privatim et in commune, haec omnia et horum singula quaeque sunt corpus Christi. Quod cruci affigit, nempe haec omnia, diabolus, in eo qui talem horum crucifixionem admittit, secundum naturam ea operari prohibens. Iosephus autem explicatur secundum Hebraicam linguam ‚Additio', Arimathia vero ‚Tolle illud.' Qui igitur?

Digitized by Google

ἄνθρωπος προσθήκας πίστεως ἔχων καὶ γνώσεως, καὶ τοῖς κατ' ἀρετὴν [1] ἠὐξημένος τρόποις, καὶ πᾶσαν ἀπάτην τῶν ὑλικῶν ἑαυτοῦ περιελόμενος, οὗτος Ἰωσὴφ ἐστι πνευματικὸς, δυνάμενος τὸ σῶμα λαβεῖν τοῦ Χριστοῦ καὶ καλῶς ἐνταφιάσαι καὶ ἐνθεῖναι τῇ ἐκ πίστεως λελατομημένῃ καρδίᾳ, τό τε σῶμα τὸ ἑαυτοῦ ὡς Χριστοῦ σῶμα διὰ τὴν χάριν, καὶ τὰ τοῦ σώματος μέλη ὅπλα δικαιοσύνης τῷ Θεῷ εἰς ἁγιασμὸν ποιούμενος, τὰς δὲ αἰσθήσεις τοῦ σώματος ὑπουργοὺς εἶναι τῇ ψυχῇ κατὰ τὸν ἔμφυτον λόγον πρὸς τὴν ἐν πνεύματι φυσικὴν θεωρίαν παρασκευάζων, αὐτὴν δὲ τὴν ψυχὴν ἰσονομεῖν ταῖς δυνάμεσι ποιῶν πρὸς τὴν τῶν ἀρετῶν ἐκπλήρωσιν, καὶ ἔτι τὴν ψυχήν τε καὶ τὰς αὐτῆς δυνάμεις δουλώσας ταῖς ἐντολαῖς τοῦ Θεοῦ, αὐτὰς δὲ τὰς ἐντολὰς φυσικὰς τῆς ψυχῆς ἀποδεικνὺς ἐνεργείας, καὶ διὰ τῆς κατ' ἀρετὴν ἀμεταθέτου καὶ παγίας ἕξεως εἰς κατανόησιν αὖ καὶ ὑποδοχὴν τῶν ἐγκεκρυμμένων ταῖς ἐντολαῖς θειοτέρων λόγων διεγειρόμενος, καὶ ὥσπερ σινδόνι τινὶ τοῖς περὶ τὸν αἰῶνα τοῦτον πνευματικοῖς λόγοις περιβάλλειν τὸν πρῶτον, ἐξ οὗ καὶ δι' οὗ καὶ εἰς ὃν τὰ πάντα, λόγον. Ὁ ταύτην οὕτω τηρήσας τὴν εὔκοσμον εὐταξίαν Ἰωσήφ ἐστι, τὸ μυστικὸν σῶμα τοῦ Χριστοῦ μυστικῶς ἐνταφιάζων.

### Ἄλλο εἰς τὸ αὐτὸ Θεώρημα.

Καὶ ἔτι συντόμως εἰπεῖν, ὁ πράξει καὶ θεωρία τοὺς
Cod. f. 250 b. περὶ τοῦ σταυροῦ τοῖς ἀκούουσι θαυμαστῶς λόγους | ἀποδιδοὺς, οὗτος Ἰωσὴφ μὲν γέγονεν ἄλλος διὰ τῆς προσθήκης τῶν κατὰ τὴν θεωρίαν ἀγαθῶν εἰς γνῶσιν ἐπαυξήσας πνευματικὴν, Ἀριμαθαῖος δὲ διὰ τῆς γνησίας τῶν ἀρετῶν οἰκειότητος κατὰ τὴν πρᾶξιν πᾶσαν τῶν ὑλικῶν ἑαυτοῦ περιτέμνων τὴν προσπάθειαν.

### Ἄλλο Θεώρημα εἰς τὸ αὐτό.

Σταυροῦσι δὲ πάλιν τὸν Χριστὸν οἱ βλασφήμως τοὺς περὶ τῆς ἐνσωματώσεως τοῦ Θεοῦ διδάσκοντες λόγους, ἐνταφιάζει δὲ πάλιν ὁ τοὺς περὶ τῆς σαρκώσεως τοῦ Θεοῦ λόγους μετὰ παῤῥησίας πᾶσιν εὐσεβῶς ἀνακηρύττων.

Idem ibid. cap. 24., p. 864. tom. I. Opp. edit. Bened.

### Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ, Κἂν Νικόδημος ᾖς ὁ νυκτερινὸς Θεοσεβὴς, μύροις αὐτὸν ἐνταφίασον.

Νικόδημός ἐστιν, νυκτερινὸς Θεοσεβὴς καὶ μύροις τὸ σῶμα τοῦ Χριστοῦ ἐνταφιάζων, ὁ κατὰ διάνοιαν μὲν ἐῤῥωμένος εἰς τὴν ἐπίγνωσιν τοῦ Χριστοῦ, τὴν δὲ τῆς πράξεως τῶν ἐντολῶν φιλοτιμίαν ὡς δειλὸς διὰ τὸν φόβον τῶν Ἰουδαίων (λέγω δὲ τῶν παθῶν ἢ τῶν δαιμόνων τὰς προσβολὰς) φειδοῖ τῆς σαρκὸς παραιτούμενος, ᾧ μέγα πρὸς ἀποδοχὴν κἂν τὸ καλὰ φρονεῖν περὶ Χριστοῦ καὶ μὴ βλασφήμους προιέσθαι λόγους.

Digitized by Google

Homo fidei additamenta habens et cognitionis, et virtutis modis auctus, omnemque materialium fraudem in se profligans, Iosephus hic est spiritualis, qui Christi corpus desumptum laute pollingere potest inque corde condere ex fidei tanquam lapide structo, ipsius corpus ad instar Christi corpus per gratiam, et corporis membra iustitiae arma deo in sanctificationem efficiens, sensus vero corporis secundum innatam rationem ad naturalem in spiritu contemplationem animae ministerio sistens, ipsique animae ad virtutes perficiendas parem atque facultatibus attribuens conditionem, ac praeterea animam atque facultates eius dei mandatis subiciens, ipsa vero mandata naturales animae virtutes probans, ac per immutabilem secundum virtutem et stabilem habitum ad percipiendas rursus et recipiendas diviniores quae in dei mandatis latent rationes exstimulatus, ut tanquam sindone quodam spiritualibus circa hoc aevum sermonibus circumvestiat primum, ex quo et per quem et in quem universa decurrunt, Sermonem. Qui tam decoram servat disciplinam, is Iosephus est, mysticum Christi corpus sepeliens.

## Alia in idem contemplatio.

Praeterea, ut breviter dicam, qui actione et contemplatione de cruce sermones egregie tradit audientibus, is Iosephus alter factus est contemplationis bonis sibi additis auctus in spiritualem cognitionem, Arimathaeus vero qui sincera cum virtutibus iunctus necessitudine secundum actionem in se omnem qua materialibus est addictus et obnoxius tollit affectionem.

## Alia in idem contemplatio.

Cruci rursus affigunt Christum qui contumeliose de dei incorporatione tradunt, sepulchro autem rursus praeparat qui doctrinam de deo incorporato aperte et palam omnibus pie praedicat.

## Ex eodem sermone, in illud, ‚Si Nicodemus sis, nocturnus ille dei cultor, funebribus unguentis ipsum ungue.‘

Nicodemus nocturnus dei cultor, et unguentis Christi corpus praeparans ad sepulturam, est qui mente quidem ad cognoscendum Christum fortis et impiger est, at mandatorum exsequendorum studium ut ignavus de Iudaeorum (passionum inquam, vel daemonum incursationes) metu, carnis cura recusat, cui magnum est ad commendationem vel bene de Christo sentire nec contumeliose de eo loqui.

1. Apographum habet εὐξημένος.

Digitized by Google

Idem ibid cap. 24., p. 864. tom. I. Opp. ed. Bened.

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ, Κἂν Μαρία τις ᾖς, κἂν ἡ ἄλλη Μαρία, κἂν Σαλώμη, κἂν Ἰωάννα, δάκρυσον ὀρθρία. Ἴδε πρώτη τὸν λίθον ἠρμένον, τυχὸν δὲ καὶ τοὺς ἀγγέλους, καὶ Ἰησοῦν αὐτόν.

Μαρία ἡ πρώτη, ἐξ ἧς ἐκβέβληκεν ὁ λόγος ἑπτὰ δαιμόνια, ἐστὶ πᾶσα πρακτικὴ ψυχὴ, διὰ τοῦ λόγου τῶν εὐαγγελικῶν ἐντολῶν τῆς περὶ τὸν αἰῶνα τοῦτον καθαρθεῖσα πτοήσεως. Ἑβδοματικὸς γὰρ οὗτος ὁ αἰὼν, τῇ εἰς ἑαυτὸν τοῦ χρόνου περιελίξει πληρούμενος, οὕτινος ἐλευθεροῖ τοὺς ἑαυτοῦ θιασώτας ὁ λόγος, πάντως αὐτοὺς ὑπεράνω τιθεὶς τῶν ὑπὸ χρόνον. Ἡ δὲ ἄλλη Μαρία ἐστὶ πᾶσα ψυχὴ θεωρητικὴ, διὰ γνώσεως ἀληθοῦς τὴν πρὸς τὸν λόγον κατὰ χάριν κτησαμένη συγγένειαν. Σαλώμη δέ ἐστιν, ἥτις ἑρμηνεύεται
Cod. f. 251 a. εἰρήνη ἢ πληρεστάτη, πᾶσα ψυχὴ διὰ μὲν | τῆς ἀποβολῆς τῶν παθῶν εἰρηνεύουσα, καὶ τῇ περιουσίᾳ τῶν πρακτικῶν ἀρετῶν τὸ φρόνημα τῆς σαρκὸς καθυποτάξασα τῷ νόμῳ τοῦ πνεύματος, διὰ δὲ τῆς πληρώσεως τῶν κατὰ θεωρίαν πνευματικῶν νοημάτων τὴν τῶν ὄντων γνῶσιν κατὰ τὸ δυνατὸν σοφῶς περιλαβοῦσα. Ἰωάννα δέ ἐστιν, ἥτις ἑρμηνεύεται περιστερὰ, τὸ πρᾶον ζῶον καὶ ἄχολον καὶ πολύγονον, πᾶσα ψυχὴ διὰ πραότητος τὸ ἐμπαθὲς ἀποθεμένη, καὶ τὴν ἐν γνώσει πολυγονίαν τοῦ πνεύματος διάπυρον ἔχουσα. Αὗται δὲ δακρύουσιν ὄρθριαι, τουτέστι δάκρυα προχέουσι γνωστικὰ, ζητοῦσαι τὸν πάσης ἀρετῆς τε καὶ γνώσεως ἀρχικώτατον λόγον. Καὶ πρῶτον ὁρῶσι τὸν λίθον ἐκ τῆς θύρας ἠρμένον τοῦ μνημείου, τουτέστι τὴν ἐπικειμένην τῇ καρδίᾳ τῆς ἀσαφείας τοῦ λόγου πώρωσιν· εἶτα τοὺς ἀγγέλους, τουτέστι τοὺς ἐν πνεύματι τῶν ὄντων φυσικοὺς λόγους, σιωπῇ κηρύττοντας τὸν παναίτιον λόγον.

Ἄλλο Θεώρημα εἰς τοὺς ἀγγέλους.

Ἢ τοὺς λόγους τῆς ἁγίας γραφῆς, τὴν περὶ τοῦ Χριστοῦ ὡς θεοῦ καὶ ἀνθρώπου, ἤγουν τὴν περὶ θεολογίας καὶ οἰκονομίας, τρανοτέραν αὐταῖς παρεχομένους ἔννοιαν. Ἕνα γάρ φησιν ὁ λόγος αὐτὰς ἑωρακέναι πρὸς τῇ κεφαλῇ, καὶ ἕνα πρὸς τοῖς ποσί. Πρὸς τῇ κεφαλῇ γὰρ εἶναι τὸν τῆς θεολογίας λόγον διὰ τὴν θεότητα τοῦ Χριστοῦ, πρὸς δὲ τοῖς ποσὶ τὸν τῆς οἰκονομίας διὰ τὴν σάρκωσιν, καὶ Χριστοῦ μὲν κεφαλὴν τὴν θεότητα αὐτοῦ, πόδας δὲ τὴν ἀνθρωπότητα αὐτοῦ λέγων τις τοῦ εἰκότος οὐχ ἁμαρτήσεται.

Ἄλλο Θεώρημα εἰς τοὺς αὐτούς.

Ἢ τυχὸν τὰς κατὰ συνείδησιν περὶ τὸν λόγον τῆς εὐσεβείας κινήσεις εἶναι τοὺς ἀγγέλους, διὰ τὴν παντελῆ τῆς κακίας τε καὶ ἀγνωσίας ἀποβολήν. κηρυττούσας αὐταῖς νοη-

Digitized by Google

Ex eodem sermone, in illud, ‚Si Maria quaedam sis, si alia Maria, si Salome, si Ioanna, diluculo lacrimas profunde. Fac ut prima sublatum lapidem, angelos etiam fortasse, atque adeo Iesum ipsum videas.‘

Prima Maria ex qua Sermo septem eiecit daemonia est omnis activa anima, per sermonem evangelicorum mandatorum a consternatione circa hoc aevum purgata. Hebdomaticum enim hoc est aevum, quod temporis in se ipsum circumvolutione consummatur, a quo Sermo suimetipsius cultores liberat, supra omnia temporalia eos omnino collocans. Altera vero Maria est omnis anima contemplativa quae verae cognitionis ope cognationem cum Sermone per gratiam sibi quaesivit. Salome autem, quam interpretantur Pacem, vel Plenissimam, est omnis anima passionibus abiectis pacata, et practicarum virtutum copia carnis cogitata spiritus legi subiciens, per expletionem vero contemplativarum spiritualium cogitationum rerum quae existunt cognitionem pro virili sapienter comprehendens parte. Ioanna autem, quae explicatur Columba, animal mite, bilis expers et fecundum, omnis anima est quae per mansuetudinem exuit affectus, atque spiritus in cognitione fecunditatem ferventem habet. Hae autem mane flent, hoc est lacrimas gnosticas profundunt, dum Sermonem quaerunt omnis virtutis et cognitionis summum principem. Et primae vident lapidem de ianua sepulchri sublatum, hoc est obscuritatis Sermonis quae cordi incubat indurationem; deinde angelos, hoc est naturales rerum quae existunt in spiritu rationes, Sermonem rerum universarum causam tacite praedicantes.

## Alia in angelos contemplatio.

Vel sacrae scripturae sermones qui apertiorem eis de Christo ut deo et homine, id est de theologia atque divino incarnationis consilio praebet interpretationem. Unum enim narrat scriptura eas vidisse capiti adstantem, et alterum ad pedes. Etenim qui capiti adstare theologiae sermonem propter Christi deitatem, pedibus adstare dispensationis propter incarnationem, et qui Christi quidem caput divinitatem eius, pedes humanitatem eius dixerit, is a vero non aberrabit.

## Alia in eosdem contemplatio.

Vel fortasse circa pietatis sermonem motiones in conscientia angelos esse, propter perfectam nequitiae et ignorantiae depositionem, intellectualiter eis praedicantes sermonis

1. Apographum *τὼν*.

Digitized by Google

τῆς τοῦ ποτὲ διὰ κακίαν ἐν αὐταῖς νεκρωθέντος λόγου τὴν ἀνάστασιν. Καὶ τέλος αὐτὸν ὁρῶσι τὸν λόγον διαῤῥήδην αὐταῖς ἐμφανιζόμενον, συμβόλων δίχα καὶ τύπων, καὶ πλη-
Cod. f. 251 b. ροῦντα χαρᾶς | νοητῆς τὰς νοερὰς αὐτῶν χωρήσεις.

Idem ibid. cap. 24., p. 864. tom. I. Opp. ed. Bened. Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ, Ἐνοῦ Πέτρος ἢ Ἰωάννης· ἐπὶ τὸν τάφον ἐπείχθητι, ἀντιτρέχων, συντρέχων, τὴν καλὴν ἅμιλλαν ἀμιλλώμενος.

Πέτρος μέν ἐστι πᾶς ἄνθρωπος τὸ στερέωμα τῆς εἰς Χριστὸν πίστεως κατὰ τὴν ἀναστροφὴν τοῦ βίου κτησάμενος· Ἰωάννης δὲ ὁ διὰ πραότητα πολλὴν καὶ τὴν ἐκ ταύτης ἀκραιφνῆ καθαρότητα τῆς καρδίας ἀγαπώμενος τῷ λόγῳ, καὶ διὰ τοῦτο τοὺς τῆς σοφίας καὶ τῆς γνώσεως θησαυροὺς πιστευόμενος, καὶ τῇ ἐπὶ τὸ στῆθος ἀναπτώσει ἐξ αὐτῆς τοῦ λόγου τῆς κρυφίας θεότητος τὴν τῆς θεολογίας κομισάμενος δύναμιν. Ἀντιτρέχουσι δὲ ἀλλήλοις οὗτοι, ὁ μὲν κατὰ τὴν ἐνάρετον πρᾶξιν τὴν τοῦ ἑτέρου θεωρίαν νικῆσαι φιλονεικῶν, ὁ δὲ κατὰ τὴν γνωστικὴν θεωρίαν τὴν πρᾶξιν τοῦ ἄλλου παραδραμεῖν ἐπειγόμενος. Συντρέχουσι δὲ κατὰ τὴν πρόθεσιν ἀλλήλοις, ἑκάτερος κατὰ τὸ ἴσον περὶ τὸ οἰκεῖον ἀγαθὸν εὐοδούμενος.

Ἄλλο Θεώρημα εἰς τοὺς αὐτούς.

Πέτρος δέ ἐστι πάλιν, καὶ Ἰωάννης, ἕκαστος ἄνθρωπος θεῷ πλησιάζειν ἠξιωμένος, καὶ τὸ μὲν πρακτικὸν τῆς ψυχῆς οἱόντινα Πέτρον, τὸ δὲ θεωρητικὸν οἱόντινα Ἰωάννην, ἀλλήλοις κατὰ τὸν λόγον ἔχων συντρέχοντα, δίχα τῆς θατέρου πρὸς τὸ ἕτερον ὑπερβολῆς καὶ ἐλλείψεως· καὶ πάλιν ἀλλήλοις κατὰ τὴν πρόθεσιν ἀντιτρέχοντα τῷ περὶ ἑκάτερον ἄκρῳ παραδραμεῖσθαι θάτερον ὑπὸ θατέρου νομίζεται.

Idem ibid. cap. 24., p. 864. tom. I. Opp. ed. Bened. Ἐκ τοῦ αὐτοῦ, εἰς τὸ, Κἂν ὡς Θωμᾶς ἀπολειφθῇς τῶν μαθητῶν οἷς Χριστὸς ἐμφανίζεται, ὅταν ἴδῃς, μὴ ἀπιστήσῃς. Κἂν ἀπιστήσῃς, τοῖς λέγουσι πίστευσον. Εἰ δὲ μὴ τούτοις, τοῖς τύποις τῶν ἥλων πιστώθητι.

Θωμᾶς ἑρμηνεύεται δίδυμος, ὅ ἐστι διστάγμὸς ἢ διστάζων τοῖς λογισμοῖς, καὶ διὰ τοῦτο χωρὶς τῆς τῶν τύπων τῶν ἥλων ψηλαφήσεως μηδὲ πιστεύων γεγονέναι τοῦ λόγου τὴν ἀνάστασιν. Θωμᾶς οὖν ἐστι πᾶς διστακτικὸς ἄνθρωπος τὴ
Cod. f. 252 a. τοῦ ἐν αὐτῷ λόγου τῆς ἀρετῆς καὶ τῆς γνώσεως | γίνεσθαι δυσκόλως πιστεύων ἀνάστασιν, ὄντινα μόνον αἱ μνῆμαι τῶν προγεγονότων ἁμαρτημάτων, ἀπαθῶς τυπούμεναι κατὰ διάνοιαν, πείθουσι τοῦ ἐν αὐτῷ θείου λόγου δέξασθαι τὴν ἀνά-

Digitized by Google

ob nequitiam olim in ipsis mortificati resurrectionem. Atque postremo ipsum vident sermonem clare eis manifestatum, sine symbolis et imaginibus, atque intellegibili gaudio reptentem intellectuales earum sensus.

Ex eodem sermone, in illud, ‚Petrum vel Ioannem imitare, ad sepulchrum propera, simulac certatim currens, atque honesta aemulatione contendens.‘

Petrus quidem est omnis homo qui fidei in Christum firmamentum per vitae rationem sibi acquirit: Ioannes vero qui propter multam mansuetudinem atque puram cordis inde sinceritatem a domino diligitur, cuique propterea thesauri sapientiae et cognitionis sunt crediti, et qui ad pectus reclinando ex ipsa Sermonis occulta divinitate theologiae virtutem refert. Occurrunt autem hi sibi invicem, dum hic secundum actionem virtute institutam alterius contemplationem vincere studet, ille secundum gnosticam contemplationem alterius actionem antevertere properat. Concurrunt vero sibi invicem secundum propositionem, dum uterque ex aequo circa proprium bonum felici rerum successu utitur.

Altera in eosdem contemplatio.

Petrus vero rursus est, et Ioannes, omnis homo qui deo appropinquare meruit, quique practicum animae studium ad Petri instar, contemplativum vero ad Ioannis instar, invicem sibi secundum sermonem concurrentia habet, nullo alterius prae altero excessu aut defectu. Atque rursus eadem sibi invicem secundum propositionem occurrentia creduntur, cum uterque utrumque sua antevertat excellentia.

Ex eodem, in illud, ‚Quod si Thomae instar a coetu discipulorum, quibus apparuit Christus, abfueris, posteaquam videris, ne rei fidem abroges. Quod si id tibi fidem non facit, narrantibus saltem crede. Si ne his quidem, at certe clavorum impressionibus fidem habe.‘

Thomas explicatur Geminus, quod est dubitatio vel dubitans mente, et propterea clavorum impressionibus non contrectatis nec resurrexisse Sermonem credens. Thomas igitur est omnis homo in dubitationem proclivis qui Sermonis virtutis atque cognitionis quem in semetipso habet haud facile credit futuram esse resurrectionem, cui peccatorum solum antea factorum monumenta, sine affectu in mente impressa, divini in semetipso Sermonis resuscitationem futuram esse

Digitized by Google

στασιν, καὶ ὁμολογῆσαι αὐτὸν κύριον καὶ Θεὸν, κύριον μὲν ὡς τῆς κατὰ πρᾶξιν τελειότητος νομοθέτην, Θεὸν δὲ ὡς τῆς κατὰ τὴν θεωρίαν παντελοῦς μυσταγωγίας ὑφηγήτην. Ἀπαθὴς δὲ μνήμη ἐστὶ τῶν προγεγενημένων τύπωσις ἡ χωρὶς ἡδονῆς καὶ λύπης περὶ πρᾶξιν καὶ λόγον ἐγγινομένη τῇ ψυχῇ περὶ τῶν ἰδίων ἔργων ἢ νοημάτων διάγνωσις, τύπους, ἀλλ' οὐ τρήσεις ἔχουσα τῶν τραυμάτων διὰ τὴν ἐγγενομένην ἀπάθειαν συνουλωθέντων.

## Ἄλλο Θεώρημα εἰς τὸ αὐτό.

Ἢ πάλιν ἦλοι τυγχάνουσιν οἱ κατὰ τὴν πρακτικὴν φιλοσοφίαν τρόποι τῶν ἀρετῶν, προσηλωμένην μετὰ πόνου τῷ θείῳ φόβῳ κρατοῦντες τῆς ψυχῆς τὴν διάθεσιν, οὓς οἱ ἀπαθεῖς καὶ ἁπλοῖ καὶ ἀῤῥητοι τῆς γνώσεως διαδεξάμενοι λόγοι διαπρύσιον βοῶσι τὴν κατὰ τὴν θέωσιν τῆς ψυχῆς γενομένην αὐτῇ τοῦ θείου λόγου ἀνάστασιν, πιστῶς μαρτυροῦσαν προδεικνῦντες τῆς θεοειδοῦς ἕξεως τὴν ἀπάθειαν· ἣν ὁ μὴ παθὼν οὐδ' ἄλλῳ ποτὲ ἀφηγουμένῳ περὶ αὐτῆς πιστεύσειεν, ὥσπερ οὐδὲ Θωμᾶς ταύτην παθοῦσι τὴν ἀνάστασιν τοῖς ἀποστόλοις πρὸ τῆς διὰ τοῦ παθεῖν πείρας ἐπίστευσε λέγουσιν.

Idem ibid. cap. 24., p. 864. tom. I. Opp. ed. Bened.

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ, Ἂν εἰς ᾅδου κατίῃ, συγκάτηλθε. Γνῶθι καὶ τὰ ἐκεῖ τοῦ Θεοῦ μυστήρια, τίς ὁ λόγος τῆς διπλῆς καταβάσεως.

Ὁ πνευματικὸς ἄνθρωπος πανταχοῦ γινώσκων ἀχράντως ὑπάρχειν τὸν τοῦ Θεοῦ λόγον ἕπεται διὰ θεωρίας αὐτῷ, τῆς ἐπὶ πάντα προνοίας μετὰ συνέσεως τὴν ἐπιστήμην δρεπόμενος. Οὕτω καὶ εἰς ᾅδου κατερχομένῳ τῷ λόγῳ συγκάτεισιν, οὐκ ἐπὶ κακῷ δῆλον, ἀλλ' ἐπὶ τῷ ἐρευνῆσαι καὶ μαθεῖν τὸ μυστήριον τῆς εἰς τὸν ᾅδην τοῦ Θεοῦ καταβάσεως, καὶ τῶν ἐκεῖσε γινομένων τε καὶ ἐπιτελουμένων τὸν ὑπερφυᾶ διδαχθῆναι λόγον.

Cod. f. 252 b. Ἄλλο Θεώρημα εἰς τὸ αὐτό.

Ἢ πάλιν, ἐπειδὴ ᾅδης ἐστὶ πᾶσα ἁμαρτία, ζοφερὰν καὶ ἀειδῆ καὶ διεφθαρμένην τὴν ὑπ' αὐτῆς κρατουμένην ἀπεργαζομένη ψυχὴν, ὁ περὶ παθῶν διαλεγόμενος εἰς ᾅδην κατίοντι τῷ λόγῳ τῆς διδασκαλίας συγκάτεισι, τὴν ὑφ' ἑκάστης κακίας νεκρωθεῖσαν ἀρετὴν διὰ τοῦ λόγου ζωοποιῶν καὶ εἰς ἀνάστασιν ἄγων, καὶ τὰ δεσμὰ τῆς ὑλικῆς προσπαθείας τῶν ψυχῶν, ἀνδρικῶς τῷ λόγῳ συνδιαῤῥήσσων. Λόγος δὲ τῆς διπλῆς καταβάσεως κατὰ τὸν πρόχειρον νοῦν ἐστι, πρὸς μὲν τὴν πρώτην ἐπιβολὴν, τὸ καὶ μετὰ σωμάτων ψυχὰς σώζειν διὰ πίστεως καὶ ἀγωγῆς βίου καθαρᾶς, ἐπὶ τῆς γῆς, καὶ χωρὶς σωμάτων εἰς τὸν ᾅδην κατελθόντα τὸν λόγον τὰς ἐκεῖσε τῶν

Digitized by Google

persuadent ut credat, atque ut eum dominum ac deum esse accipiat, dominum quidem ut practicae, quam dicimus, perfectionis legislatorem, deum vero ut contemplativae ac plenae initiationis deductorem. Monumentum vero affectu carens est ante factorum impressio quod menti sine voluptate ac dolore circa actionem et Sermonem insidet propriorum factorum aut cogitatorum iudicium, impressiones, at non perforationes vulnerum habens, quae propter affectuum absentiam in cicatrices coiverunt.

## Alia in idem contemplatio.

Vel rursus clavi sunt virtutum secundum practicam philosophiam modi, animae affectum timoris dei clavis affixum cum labore tenentes, quos cognitionis rationes nulli passioni obnoxiae et simplices et ineffabiles excipiunt atque divini Sermonis secundum animae deificationem quae huic contigit resurrectionem propalant, et fide testificatum denuntiant divini quasi habitus statum illum passionis expertem: quam qui non passus est, nec alii unquam de ea narranti crediderit, uti nec Thomas apostolis hanc resurrectionem passis cum narrarent serius credidit quam patiendo eam ipse esset expertus.

## Ex eodem sermone, in illud, ‚Si in infernum descendat, simul descende. Ea quoque mysteria cognosce quae deus illic designavit, quae duplicis descensus sit ratio.‘

Spiritualis homo ubique inviolatum existere dei Sermonem videns per contemplationem eum sequitur, providentiae universalis cum intellegentia percipiens artem. Sic etiam in infernum descendenti Sermoni comes est, non mali causa videlicet, sed ad investigandum et discendum dei ad inferos descensus mysterium, et ad cognoscendam eorum quae illic fiant atque perficiantur admirandam rationem.

## Alia in idem contemplatio.

Vel rursus, cum infernum omne peccatum sit, quod tenebrosam et deformem et perditam reddat animam ab ipso obsessam, is qui de affectibus disputat Sermonem doctrinae in infernum descendentem comitatur, dum virtutem ab singulis nequitiis mortificatam Sermone vivificat et in resurrectionem deducit, et vincula status materiae obnoxii animarum fortiter Sermone rumpit. Ratio autem duplicis descensus secundum promptam interpretationem est, ad primum quidem propositum, ut cum corporibus animas fide et casta conversatione in terra salvas facere, et postquam Sermo in infer-



Digitized by Google

προτετελευτηκότων ψυχὰς διὰ μόνης περιποιεῖσθαι τῆς πίστεως δύνασθαι· πρὸς δὲ τὴν δευτέραν ἐπιβολὴν, τὸ καὶ τὴν ἕξιν τῆς κακίας καὶ τὴν ἐνέργειαν ὑπὸ τοῦ λόγου δέχεσθαι τὴν πρὸς ἀρετὴν καὶ γνῶσιν ἐπάνοδον.

Idem ibid. cap. 25., p. 865. tom. I. Opp. ed. Bened.

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ, Κἂν εἰς οὐρανοὺς ἀνίῃ, συνάνηλθε. Γενοῦ μετὰ τῶν παραπεμπόντων ἀγγέλων ἢ τῶν δεχομένων. ἀρθῆναι ταῖς πύλαις διακέλευσαι.

Ὁ διὰ πολλὴν περιουσίαν γνώσεως καὶ τὴν τοῦ πνεύματος τοῦ ἁγίου πλουσίαν μετοχὴν τὸν περὶ προνοίας ἀρκούντως κατὰ τὸ δυνατὸν περαιώσας λόγον, καὶ τὴν κατ' αὐτὸν ἐπιστήμην περιλαβὼν εἰς οὐρανοὺς ἀπὸ γῆς ἀνιόντι τῷ λόγῳ συνάνεισι, τὴν πάντων τῶν προνοουμένων φύσιν, ὁρατῶν τε καὶ ἀοράτων, μετὰ τῶν κατ' αὐτὴν λόγων γνωστικῶς διαπεράσας, καὶ εἰς τὴν οὐδ' ὅλως τὴν οἱανοῦν φορὰν ἢ κίνησιν ἔχουσαν, πρὸς ἣν ἠπείγετο μάλιστα, διὰ παντὸς λόγου τε καὶ τρόπου λῆξιν ἀναληφθεὶς, ἀπὸ τῶν παραπεμπόντων ὥςπερ ἀγγέλων τινῶν τῶν ἐν τοῖς οὖσι τῆς προνοίας λόγων ἐπὶ τὴν τῶν ὑποδεχομένων ἀῤῥήτων τῆς Θεολογίας
Cod. f. 253 a. λόγων τε καὶ μυστηρίων χώραν ἀναγόμενος, | καὶ ταῖς κατὰ μέρος ἀναβάσεσιν ὑψηλοτέρας ποιῶν πρὸ ὑποδοχὴν τοῦ θεαρχικωτάτου λόγου, τὰς νοερὰς τῆς ψυχῆς πύλας.

Ἄλλο Θεώρημα εἰς τὸ αὐτό.

Καὶ ἑτέρως δὲ πάλιν ἀνιόντι τῷ λόγῳ συνάνεισιν ὁ ἀπὸ τῶν κατ' ἀρετὴν τρόπων τῆς πρακτικῆς φιλοσοφίας ὥςπερ ἀπό τινος γῆς εἰς τινας οὐρανοὺς τοὺς κατὰ θεωρίαν πνευματικοὺς τῆς γνώσεως τῷ ἀνατατικῶς ἔλκοντι θείῳ συννεφούμενος λόγῳ.

Ἄλλο Θεώρημα εἰς τὸ αὐτό.

Καὶ μυστικώτερον ἔτι περὶ τούτων εἰπεῖν, ὁ δυνάμενος ἀπὸ τῆς κατὰ τὴν οἰκονομίαν γνώσεως, ἀφ' ἧς ὁ τῆς σαρκὸς τοῦ λόγου κόσμος γέγονε παρὰ τῷ πατρὶ, εἰς τὴν τῆς πρὸ τοῦ τὸν κόσμον τῆς τοῦ λόγου σαρκώσεως εἶναι παρὰ τῷ πατρὶ δόξης ἔννοιαν ἀναχθῆναι, κατὰ ἀλήθειαν οὗτος συνανῆλθεν εἰς οὐρανοὺς τῷ δι' αὐτὸν ἐπὶ γῆς κατελθόντι θεῷ καὶ λόγῳ, πληρώσας τῆς ἀνθρώποις χωρητῆς κατὰ τὸν αἰῶνα τοῦτον γνώσεως τὸ μέτρον, καὶ γενόμενος τοσοῦτον θεὸς ὅσον ἐκεῖνος ἄνθρωπος, τῷ ὑψωθῆναι τοσοῦτον ταῖς θείαις ἀναβάσεσι διὰ τὸν θεὸν, ὅσον διὰ τὸν ἄνθρωπον ὁ θεὸς πρὸς τὸ ἔσχατον τῆς ἡμετέρας φύσεως ἑαυτὸν ἀτρέπτως κενώσας κατελήλυθεν.

Digitized by Google

num descenderit, sine corporibus animas eorum qui ante sint mortui per solam fidem conservare possit: ad secundum vero propositum, quod nequitiae habitus et actio ab Sermone accipiat ad virtutem et cognitionem redeundi facultatem.

## Ex eodem sermone, in illud, ‚Si in caelos ascendat, simul ascende: comitantibus vel excipientibus angelis te adiunge: portis ut leventur impera.'

Qui propter abundantiam cognitionis ac spiritus sancti uberiorem participationem satis, quoad eius fieri potuit, penetravit rationem providentiae, et artem eius comprehendit, is cum Sermone in caelos ascendenti de terra unà ascendit, omnium eorum quibus providetur, tam visibilium quam invisibilium, natura cum rationibus suis gnostice penetrata, atque in statum cessationis omni omnino qualicunque impetu et motu carentem, quo maxime properabat, per omnem rationem ac modum assumptus, a comitantibus veluti angelis quibusdam providentiae in rebus existentibus rationibus ad excipientium ineffabilium theologiae rationum ac mysteriorum regionem subductus, et singulis quibusque gradatim ascensionibus magis in sublime levans intellectuales animae portas ad Sermonem recipiendum divinum.

## Alia in idem contemplatio.

Atque aliter rursus Sermonem comitatur ascendentem qui a practicae philosophiae secundum virtutem modis quasi a terra quadam in caelos quosdam secundum contemplationem spirituales cognitionis una cum Sermone divino in sublime evehitur.

## Alia in idem contemplatio.

Atque ut etiam magis mystice de his dicam, qui a cognitione secundum dispensationem, unde carnis Sermonis mundus apud patrem factus est, in cogitationem gloriae, antequam mundus Sermonis incarnati apud patrem fuerit, evehi potest, is revera unà in caelos ascendit cum deo ac Sermone, qui ipsius causa in terram descenderat, cognitionis qui hoc aevo hominibus concessus est modulo impleto, in tantum factus deus, in quantum ille homo, eo quod in tantum divinis ascensionibus dei causa est exaltatus, in quantum hominis causa deus ad nostrae naturae usque extremitatem exinanitus, sed nullam immutationem passus, devenerat.



Digitized by Google

Idem Orat. in Novam Dominicam cap. 2., p. 836. tom. I. Opp. edit. Bened.

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τὴν Καινὴν Κυριακὴν λόγου, εἰς τὸ, Ἐγκαινίζεται δὲ ἡ σκηνὴ τοῦ μαρτυρίου, καὶ λίαν πολυτελῶς, ἣν Θεὸς παρέδειξε, καὶ Βεσελεὴλ ἐτελείωσε, καὶ Μωϋσῆς ἐπήξατο.

Πολύτροπον ὄντα τὸν κατὰ τὴν σκηνὴν ἀναγωγικὸν τῆς θεωρίας λόγον ἐπὶ τοῦ παρόντος ὡς ἔλαβεν αὐτὸν ὁ διδάσκαλος καὶ ἡμεῖς θεωρήσωμεν αὐτόν. Σκηνὴ τοιγαροῦν τοῦ μαρτυρίου ἡ μυστηριώδης ἐστὶν οἰκονομία τῆς τοῦ Θεοῦ λόγου σαρκώσεως, ἣν ὁ Θεὸς καὶ πατὴρ εὐδοκήσας παρέδειξε, καὶ τὸ πνεῦμα τὸ ἅγιον διὰ τοῦ σοφοῦ Βεσελεὴλ προτυπούμενον συνεργῆσαν ἐτελείωσε, καὶ ὁ νοητὸς Μωυσῆς ὁ τοῦ Θεοῦ καὶ πατρὸς μονογενὴς υἱὸς αὐτούργησε, τὴν ἀνθρωπινὴν φύσιν ἐν ἑαυτῷ πηξάμενος ἑνώσει τῇ καθ' ὑπόστασιν.

Ἄλλο εἰς τὸ αὐτὸ θεώρημα.

Πλὴν ὅτι καὶ τῆς ὅλης κτίσεως νοητῆς τε καὶ αἰσθητῆς ἐστιν εἰκὼν ἡ σκηνὴ, ἣν ὁ Θεὸς καὶ πατὴρ οἷα νοῦς ἐνενόησε, καὶ ὁ υἱὸς οἷα λόγος ἐδημιούργησε, καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐτελείωσε. Καὶ αὖθις τῆς αἰσθητῆς μόνης φύσεως, καὶ μόνου τοῦ ἀνθρώπου τοῦ ἐκ ψυχῆς ὄντος καὶ σώματος, καὶ μόνης αὖ τῆς ψυχῆς καθ' ἑαυτὴν τῷ λόγῳ θεωρουμένης, ἐστὶν εἰκὼν ἡ σκηνὴ, κατὰ τὸν ἑκάστῳ πρέποντα δηλαδὴ θεωρουμένη λόγον.

Idem ibid. cap. 2., p. 836 tom. I. Opp. edit. Bened.

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ, Ἐγκαινίζεται δὲ ἡ βασιλεία Δαβὶδ, καὶ οὐχ ἅπαξ, ἀλλὰ χριομένου τὸ πρότερον, καὶ ἀναγορευομένου τὸ δεύτερον.

Ὁμοίως καὶ τὸν μέγαν Δαβὶδ τὸν προφήτην καὶ βασιλέα, πολύσημον ἔχοντα τὸν ἐπ' αὐτῷ τῆς ἀναγωγῆς λόγον, καθ' ὃν ἐπὶ τοῦ παρόντος αὐτὸν ὁ διδάσκαλος ἐθεώρησε, καὶ ἡμεῖς ἐκδεξώμεθα. Δαβὶδ τοίνυν ἐστὶ νοητὸς ὁ ἀληθινὸς βασιλεὺς τοῦ Ἰσραὴλ καὶ ὁρῶντος Θεὸν Ἰησοῦς Χριστὸς, κατὰ μὲν τὴν πρώτην αὐτοῦ παρουσίαν τῇ ἐπινοίᾳ τῆς ἀνθρωπότητος χριόμενος, ὥςπερ ἀλλαχοῦ φησιν ὁ διδάσκαλος, χρίσας τὴν ἀνθρωπότητα τῇ θεότητι, καὶ ποιήσας ὅπερ τὸ χρίσαν· κατὰ δὲ τὴν δευτέραν αὐτοῦ καὶ ἔνδοξον ἐπιφάνειαν, ὡς Θεὸς καὶ κύριος καὶ πάσης κτίσεως βασιλεὺς, καὶ ὑπάρχων καὶ ἀναγορευόμενος.

Greg. Naz. Or. Theol. IV. de Filio. cap. 3., p. 541. tom. I. Opp. edit. Bened.

Εἰς τὸν παρόντα λόγον τινὲς ἀποροῦσι φάσκοντες, Τί δήποτε φήσας ὁ διδάσκαλος ὑπερβαίνειν τὴν ἀναστάσιμον ἡμέραν πάσας τὰς ἐπὶ γῆς ἑορτὰς, οὐ τὰς ἀνθρωπικὰς μόνον καὶ χαμαὶ ἐρχομένας, ἀλλ' ἤδη καὶ τὰς αὐτοῦ τοῦ Χριστοῦ καὶ ἐπ' αὐτῷ τελουμένας, ὥςπερ ἐπιλαθόμενος τῆς ἰδίας ἀποφάσεως, τὴν

Digitized by Google

Eiusdem ex sermone in Novam Dominicam, in illud. ‚Innovatur vero tabernaculum testimonii, et quidem magnificis sumptibus, quod deus ostendit, et Beseleel confecit, et Moyses fixit.‘

Mysticam de tabernaculo contemplationis rationis varietatem impraesentiarum quomodo interpretatus sit doctor, nos quoque contemplemur. Tabernaculum igitur testimonii mysticum est dei Sermonis incarnationis consilium, quod deus probans ostendit atque sanctus spiritus per sapientem Beseleel praeformatum adiuvans perfecit, et intellectualis Moyses dei ac patris unigenitus filius per sese operatus est, cum humanam naturam substantiali unitione in se fixit.

Alia in idem contemplatio.

Sed etiam universae conditionis et intellectualis et sensibilis imago est tabernaculum, quod deus et pater tanquam mens cogitavit, et filius tanquam sermo operatus est, et spiritus sanctus perfecit. Atque rursus visibilis solius naturae ac solius hominis ex corpore et anima constantis, et solius rursus animae quam per se ipsam contemplatur sermo, imago tabernaculum est, spectatum videlicet secundum rationem unicuique convenientem.

Ex eodem sermone, in illud, ‚Innovatur autem regnum David, neque id semel, sed prius cum ungeretur, ac postea cum rex salutaretur.‘

Pari modo magnum Davidem quoque prophetam atque regem, augusto spiritualis sensus ac mystici nomine ornatum, quo eum in praesenti loco magister contemplatus est, nos quoque accipiamus. David igitur intellectualis est verus rex Israelis et deum videntis Iesus Christus, pro priore quidem suo adventu humanitatis opinione unctus, ut doctor alibi ait, humanitatem ungens deitate, et faciens quod unguentum: pro altero vero et praeclaro adventu, ut deus ac dominus atque omnis conditionis rex et existens et appellatus.

In praesentem sermonem sunt qui quaerunt dicentes, Quid tandem dicens magister resurrectionis diem superare omnes super terram festivitates, non solum humanas et in terra futuras, sed iam vel quae ipsius Christi 'sint et in Christo consummentur, veluti suae ipsius oblitus sententiae, encaeniorum

Digitized by Google

τῶν ἐγκαινίων ἡμέραν ταύτης ὑπερτίθησιν εἰπών, Ὑψηλῆς ὑψηλοτέρα, καὶ θαυμασίας θαυμασιοτέρα, ὡς ἐκ τούτου νομισθῆναι ἑαυτῷ περιπίπτειν τὸν διδάσκαλον.

Greg. Naz. Or. in Nov. Dominicam cap. 5., p. 838. tom. I. Opp edit. Bened.

Πρὸς ταῦτα λεκτέον, ὡς αὐτὸς ὁ διδάσκαλος ἐν τῷ αὐτῷ λόγῳ | μετά τινά φησιν, Οὐ βούλεταί σε ὁ λόγος ποτὲ ἐν τῷ αὐτῷ μένειν, ἀλλ' ἀεὶ κινητὸν εἶναι, εὐκίνητον, πάντως νεόκτιστον. Ὥσπερ οὖν τὸν ἐγκαινιζόμενον ὑψηλότερον ἑαυτοῦ γίνεσθαι καὶ θεοειδέστερον ταῖς εἰς ἀρετὴν προκοπαῖς φαιδρυνόμενον γινώσκομεν, οὕτω δὴ καὶ πᾶσαν δι' ἡμᾶς ἐπινοηθεῖσαν ἑορτῆς ἡμέραν ἐν ἡμῖν καὶ δι' ἡμῶν ἑαυτῆς ὑψηλοτέραν γίνεσθαι πιστεύειν ἡμᾶς χρὴ, τοῦ δι' αὐτῆς σημαινομένου μυστηρίου τὴν οἰκείαν δύναμιν ἐν ἡμῖν πρὸς τελείωσιν ἄγοντος. Εἰκότως οὖν ὑψηλῆς ὑψηλοτέραν τὴν καινὴν ὁ διδάσκαλος ἔφη κυριακὴν, ὡς ἀεὶ τῆς αὐτῆς ἡμῖν συνυψουμένης, καὶ ἑαυτὴν ὑπερβαινούσης· οἷα τῆς ἀναστάσεως, λέγω δὲ τῆς πρώτης κυριακῆς, κρυφίως διὰ τοῦ κατ' αὐτὴν μυστηρίου πάσης προσύλου μόνον φαντασίας παντάπασι καθαρεύουσαν ζωὴν δωρουμένης τοῖς οὕτω τὸ κατ' αὐτὴν πνευματικῶς ἐπιτελοῦσι μυστήριον, τῆς δὲ νέας κυριακῆς πρὸς τούτοις καὶ πάσης αὐτοὺς ἐν μετουσίᾳ ποιούσης τῆς ὧν ἡ πρὸ αὐτῆς ἀπήρξατο θείων ἀγαθῶν ἀπολαύσεως.

Cod. f. 254 a.

Idem ibid. cap. 8., p. 840. tom. I. Opp. ed. Bened.

Ἄλλη Θεώρημα εἰς τὸ αὐτό.

Εἰ δέ τῳ πιστὸν εἶναι δοκεῖ τὸ λεγόμενον, φασὶ τὴν μὲν πρώτην κυριακὴν τύπον εἶναι τῆς κατὰ τὴν προαίρεσιν εἰς ἀρετὴν ἀναστάσεως, τὴν δὲ δευτέραν τῆς κατὰ προαίρεσιν ἕξεως εἰς γνῶσιν τελειότητος.

Ἄλλη Θεώρημα εἰς τὸ αὐτό.

Καὶ αὖθις τὴν μὲν πρώτην κυριακὴν τῆς μελλούσης φυσικῆς ἀναστάσεως καὶ ἀφθαρσίας εἶναι σύμβολον, τὴν δὲ δευτέραν τῆς κατὰ χάριν μελλούσης θεώσεως φέρειν εἰκόνα. Εἰ τοίνυν τῆς μὲν καθαρευούσης κακῶν ἕξεως ἡ τῶν ἀγαθῶν ἀπόλαυσίς ἐστι τιμιωτέρα, τῆς δὲ κατ' ἀρετὴν ὑγιοῦς προαιρέσεως ἕξις τῆς κατὰ τὴν ἀληθῆ γνῶσιν τελειότητος, καὶ τῆς φυσικῆς ἀφθαρσίας· ἡ ἐν χάριτι πρὸς τὸν θεὸν κατὰ τὴν θέωσιν μεταποίησις, ὧν ἡ μὲν πρώτη κυριακὴ φέρει τύπον, | ἡ δὲ δευτέρα τυγχάνει σύμβολον, εἰκότως ὑψηλῆς ὑψηλοτέραν ἀγόμενος πνεύματι, τὴν καινὴν ὁ διδάσκαλος ἔφη κυριακήν.

Cod. f. 254 b.

Idem ibid. cap. 8., tom. I. Opp. ed. Bened.

Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ, Μισῶ καὶ τὴν δι' ἀέρος συνήθειαν.

Πρὸς γυναῖκας, καὶ μάλιστα τὸν μονήρη βίον ἐπανηρημένας, πολὺν περὶ κατορθώσεως ἠθῶν ἀποτείνας λόγον δι'

Digitized by Google

diem huic praeponit, dicens, ‚Sublimi sublimior, et admirabili admirabilior', adeo ut hinc sibi ipsi adversari magister videri possit.

Ad haec dicendum est, quod ipse magister in eodem sermone interiectis quibusdam dicit, ‚Non vult sermo ut in eodem semper statu maneas, sed ut perpetuo ac laudabili motu agiteris, ac nova prorsus creatura sis.' Ut igitur innovatum se ipso sublimiorem atque dei magis similem profectibus ad virtutem expurgatum fieri animadvertimus, sic iam omnem quoque quamcunque cogitamus festi diem in nobis ac per nos semetipsa sublimiorem fieri credere debemus, cum mysterium quod per eam significatur propriam suam in nobis virtutem ad perfectionem agat. Recte igitur sublimi sublimiorem novam magister dixit dominicam, quoniam eadem semper nobiscum una exaltetur seque ipsam transgrediatur. Quippe resurrectionis, id est prima, dominica occulte per suum mysterium eis qui hoc spiritualiter celebrant vitam solum ab omni quod materiae adhaeret ludibrio et vanitate liberam donat, nova vero dominica insuper divinorum bonorum plene fruendorum eos in consortium deducit, quorum bonorum primitias illa prior obtulerat.

## Alia in idem contemplatio.

Sed si cui fida videtur interpretatio, primam dominicam dicunt imaginem esse voluntariae in virtutem resurrectionis, alteram vero voluntarii habitus in cognitionem consummati.

## Alia in idem contemplatio.

Atque rursus primam dominicam naturalis quae futura est resurrectionis et incorruptibilitatis esse symbolum volunt, alteram vero ferre imaginem deificationis quae secundum gratiam futura est. Quod si habitu a malis purgato praestat bonorum fruitio, sana autem per virtutem voluntate praestat habitus perfectae per veritatem cognitionis, ac naturali incorruptibilitate praestat regeneratio in gratia ad deum quae fit per deificationem, quarum prior dominica fert imaginem, altera vero est symbolum, recte sublimi sublimiorem spiritu agitatus doctor novam dixit dominicam.

## Ex eodem sermone, in illud, ‚Eam quoque familiaritatem quae per aerem contrahitur, odi ac detestor.'

Ad mulieres, ac praesertim eas quae solitariae vitae sese addixerunt, multa de corrigendis moribus se convertens

1. Apographum habet *Εἰ δὲ τῷ*.

Digitized by Google

ἐμφάσεως ὁ διδάσκαλος ἠπίως οἶμαι παραινεῖ, μὴ δεῖν τὰς ἀσχουμένας οἴκοθεν θυρίσι κατοπτεύειν τινὰ παντελῶς, καὶ μάλιστα τοὺς παριόντας, ὡς ἂν μὴ λάβοιεν κέντρα θανάτου διὰ τῆς ἀκαίρου θεωρίας.

Idem Orat. in Pentecosten. cap. 2., p. 732. tom. I. Opp. edit. Bened.

*Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τὴν ἁγίαν Πεντηκοστὴν λόγου, εἰς τὸ, Μιᾶς δεούσης ἡμέρας, ἣν ἐκ τοῦ μέλλοντος αἰῶνος προσειλήφαμεν, ὀγδόην τε οὖσαν τὴν αὐτὴν καὶ πρώτην, μᾶλλον δὲ μίαν καὶ ἀκατάλυτον. Ἀεὶ γὰρ ἐκεῖσε καταλῆξαι τὸν ἐνταῦθα σαββατισμὸν τῶν ψυχῶν.*

*Ὁ ἑπτὰ κατὰ τὴν ἁγίαν γραφὴν, ὡς μὲν ἀριθμὸς μόνον λαμβανόμενος, πολλὴν ἔχει φυσικῶς τὴν ἐπ' αὐτῷ κειμένην τῶν φιλοπονούντων τὰ θεῖα μυστικὴν θεωρίαν. Σημαίνει γὰρ καὶ χρόνον, καὶ αἰῶνα, καὶ αἰῶνας, κίνησίν τε καὶ περιοχὴν, καὶ μέτρον, καὶ ὅρον, καὶ πρόνοιαν, καὶ ἕτερα πολλὰ, κατὰ τὸν ἑκάστου λόγον καλῶς θεωρούμενος. Ὡς ἀνάπαυσις δὲ μόνον σκοπούμενος, καὶ οὕτω πολλὴν ἔχει τὴν ἐπ' αὐτῷ μυσταγωγουμένην γνῶσιν. Ἀλλ' ἵνα μὴ καθ' ἕκαστον διεξιὼν φορτικὸν τὸν λόγον ποιήσωμαι, τὸ δοκοῦν ὑψηλότερον τῶν ἄλλων εἶναι γυμνάσωμεν. Τρεῖς γάρ φασι τρόπους οἱ τῶν θείων ἐπιστήμονες. Ὁ σύμπας τῆς ὅλης τῶν λογικῶν οὐσιῶν γενέσεως ἔχων θεωρεῖται λόγος τὸν τοῦ εἶναι, τὸν τοῦ εὖ εἶναι, καὶ τὸν τοῦ ἀεὶ εἶναι, καὶ τὸν μὲν τοῦ εἶναι πρῶτον κατ' οὐσίαν δεδωρῆσθαι τοῖς οὖσι, τὸν δὲ τοῦ εἶναι δεύτερον δέδοσθαι κατὰ προαίρεσιν αὐτοῖς ὡς αὐτοκινήτοις, τὸν δὲ τοῦ ἀεὶ εἶναι τρίτον αὐτοῖς κατὰ χάριν*

Cod. f. 255 a. *περιλοτιμῆσθαι. Καὶ τὸν μὲν πρῶτον δυνάμεως, | τὸν δὲ δεύτερον ἐνεργείας, τὸν δὲ τρίτον ἀργίας εἶναι περιεκτικόν. Οἷον ὁ μὲν τοῦ εἶναι λόγος μόνην φυσικῶς ἔχων τὴν πρὸς ἐνέργειαν δύναμιν, αὐτὴν πληρεστάτην δίχα τῆς προαιρέσεως τὴν ἐνέργειαν ἔχειν οὐ δύναται παντελῶς· ὁ δὲ τοῦ εὖ εἶναι αὐτὴν μόνην γνωμικῶς ἔχων τῆς φυσικῆς δυνάμεως τὴν ἐνέργειαν, αὐτὴν ὁλόκληρον τὴν δύναμιν τὸ σύνολον χωρὶς οὐκ ἔχει τῆς φύσεως· ὁ δὲ τοῦ ἀεὶ εἶναι τῶν πρὸ αὐτοῦ καθ' ὅλου περιγράφων, τοῦ μὲν τὴν δύναμιν, τοῦ δὲ τὴν ἐνέργειαν, οὔτε φυσικῶς κατὰ δύναμιν τοῖς οὖσιν ἐνυπάρχει παντελῶς, οὔτε μὴν ἐξ ἀνάγκης τὸ παράπαν θελήσει προαιρέσεως ἕπεται (πῶς γὰρ τοῖς ἀρχὴν κατὰ φύσιν καὶ τέλος κατὰ κίνησιν ἔχουσιν οἷόν τε ἐνεῖναι τὸ ἀεὶ ὂν καὶ ἀρχὴν καὶ τέλος οὐκ ἔχων;), ἀλλ' ὅρος ἐστὶ, στάσιμον ποιῶν τὴν μὲν φύσιν κατὰ τὴν δύναμιν, τὴν δὲ προαίρεσιν κατὰ τὴν ἐνέργειαν, οὐδ' ἑτέρας ἀμείβων παντάπασι τὸν καθ' ὃν ἐστι λό-*

Digitized by Google

oratione ac tacite quid significans doctor, uti videtur, leniter admonet, haudquaquam licere eis quae se severiori vitae regulae adstrinxerint ex domibus per fenestras speculari quemquam, ac praesertim praetereuntes, ne forte per intempestivum conspectum mortis aculeos capiant.

Eiusdem ex sermone in sanctam Pentecosten, in illud, ‚Uno die excepto, quem ex futuro saeculo adsumpsimus, octavum eundem et primum, vel, ut rectius loquar, et sempiternum. Illic enim praesens animarum nostrarum sabbatismus desinat necesse est.‘

Septenarius secundum sacram scripturam, ut numerus solummodo si spectatur, multam naturaliter in se collocatam habet eorum qui res divinas gnaviter tractant mysticam contemplationem. Significat enim et tempus, et saeculum, et saecula, motionem atque comprehensionem, et modulum, et finem, et providentiam, et alia multa, quando secundum uniuscuiusque rationem bene spectatur. Sed quando ut requies solum spectatur, vel sic multam continet in se cognitionem mystice explicatam. Sed ne singula persequendo molestum reddam et operosum sermonem, quod ceteris praestare videtur illustremus. Tres enim qui rerum divinarum periti sunt statuunt modos. Universa totius rationabilium essentiarum generationis ratione continere videmus rationem existendi, bene existendi, et semper existendi, atque primam quidem, id est existendi, primum esse eis qui sunt essentialiter donatam, alteram eis de voluntate, utpote quae propriae motionis compotes sunt, esse datam, tertiam denique, id est semper existendi, eis secundum gratiam esse concessam. Atque primam quidem volunt esse facultatis, alteram actionis, tertiam virtutis conservatricem. Sic existendi ratio, quae solam naturaliter habet actionis facultatem, ipsam plenissimam sine voluntatis proposito actionem nequaquam potest habere: ratio autem bene existendi, solam hanc de voluntate habens naturalis facultatis actionem, plenam facultatem sine natura prorsus non habet: semper existendi denique ratio earum quae praegrediuntur generaliter circumcludens, unius quidem facultatem, alterius rationem, neque naturaliter omnino secundum facultatem inest in eis quae existunt, neque profecto de necessitate prorsus voluntatis propositum sequitur (quomodo enim in eis quae initium secundum naturam et finem et motionem habent potest inesse id quod semper existit atque initium et finem non habet?), sed terminus est, stabilem reddens naturam quidem secundum facultatem, voluntatem vero secundum actionem, neu-

Digitized by Google

γον, καὶ πᾶσι πάντας αἰῶνάς τε καὶ χρόνους ὁρίζων. Καὶ τοῦτό ἐστιν, ὡς οἶμαι, τυχὸν τὸ μυστικῶς εὐλογημένον σάββατον, καὶ ἡ μεγάλη τῆς τῶν θείων ἔργων καταπαύσεως ἡμέρα, ἥτις κατὰ τὴν γραφὴν τῆς κοσμογενείας οὔτε ἀρχὴν οὔτε τέλος οὔτε γένεσιν ἔχουσα φαίνεται, ἡ μετὰ τὴν τῶν ἐν μέτρῳ διωρισμένων κίνησιν τῶν ὑπὲρ ὅρον καὶ μέτρησιν ἔκφανσις, καὶ ἡ μετὰ τὴν τῶν κεχωρημένων καὶ περιγραμμένων ποσότητα τῶν ἀχωρήτων καὶ ἀπεριγράφων ἄπειρος ταὐτότης. Ὡς ἂν οὖν ἡ κατὰ προαίρεσιν ἐνέργεια χρήσαιτο τῇ δυνάμει τῆς φύσεως, εἴτε κατὰ φύσιν, εἴτε παρὰ φύσιν, τὸ εὖ ἢ τὸ φεῦ εἶναι τὸ πέρας αὐτὴν ἔχουσαν ὑποδέξεται, ὅπερ ἐστὶ τὸ ἀεὶ εἶναι. ἐν ᾧ σαββατίζουσιν αἱ ψυχαὶ, πάσης λαβοῦσαι παῦλαν κινήσεως. Ὁδὸς καὶ πρώτη, μᾶλλον δὲ
Cod. f. 25 b. μία καὶ ἀκατάλυτος ἡμέρα | ἡ ἀκραιφνὴς ἐστι τοῦ θεοῦ καὶ παμφαὴς παρουσία, μετὰ τὴν τῶν κινουμένων στάσιν γινομένη, καὶ τοῖς μὲν τῷ τοῦ εἶναι λόγῳ κατὰ φύσιν προαιρετικῶς χρησαμένοις, ὅλου προεκκύντος ὅλοις ἐπιδημοῦντος, καὶ τὸ ἀεὶ εὖ εἶναι παρέχοντος διὰ τῆς οἰκείας μετοχῆς, ὡς μόνου κυρίως καὶ ὄντος καὶ ἀεὶ ὄντος καὶ εὖ ὄντος, τοῖς δὲ παρὰ φύσιν τῷ τοῦ εἶναι λόγῳ γνωμικῶς χρησαμένοις, ἀντὶ τοῦ εὖ τὸ ἀεὶ φεῦ εἶναι κατὰ τὸ εἰκὸς ἀπονέμοντος, ὡς οὐκ ὄντος αὐτοῖς λοιπὸν χωρητοῦ τοῦ εὖ εἶναι, ἐναντίως πρὸς αὐτὸ διακειμένοις, καὶ κίνησιν παντελῶς οὐκ ἔχουσι μετὰ τὴν τοῦ ζητουμένου φανέρωσιν, καθ' ἣν τοῖς ζητοῦσι πέφυκε φανεροῦσθαι τὸ ζητητόν.

## Ἄλλο εἰς τὸ αὐτὸ θεώρημα.

Καὶ πάλιν ἑβδόμη καὶ σάββατόν ἐστιν ἡ τῶν κατ' ἀρετὴν ἁπάντων τρόπων καὶ τῶν κατὰ θεωρίαν γνωστικῶν λόγων διάβασις. Ὁδὸς δέ ἐστιν ἡ πρὸς τὴν ἀρχὴν καὶ αἰτίαν τῶν πρακτικῶς πεποιημένων καὶ τῶν θεωρητικῶς ἐγνωσμένων κατὰ τὴν χάριν ἀληθὴς μεταποίησις.

## Ἄλλη εἰς τὸ αὐτὸ θεωρία.

Ἔστι μὲν οὖν καὶ αὖθις ἑβδόμη καὶ σάββατον ἡ τὴν κατ' ἀρετὴν διαδεχομένη πρακτικὴν φιλοσοφίαν ἀπάθεια. Ὁδὸς δὲ καὶ πρώτη ἐστὶν, ὡς μία καὶ ἀκατάλυτος, ἡ μετὰ τὴν γνωστικὴν θεωρίαν ἐπιγινομένη σοφία. Καὶ κατ' ἄλλους δὲ τρόπους παντοδαπούς ἐστι δυνατὸν τοῖς τῶν θείων φιλοθεάμοσι τὸν περὶ τῶν τοιούτων ἐκδέχεσθαι λόγον, καὶ πολλὰς καλάς τε καὶ ἀληθεῖς ἐφευρεῖν θεωρίας.

Idem ibid. cap. 4.. p. 734. tom. 1. Opp. ed. Bened.

Ἐκ τοῦ αὐτοῦ λόγου, πῶς τὸ, Δισσώσατε καὶ τρισσώσατε, λαβὼν ὁ διδάσκαλος εἰς τὸ περὶ τῆς ἑβδόμης μυστήριόν φησιν, Ὡς δὲ καὶ τὴν ἑβδόμην

Digitized by Google

trius prorsus secundum quam est commutans rationem, et omnibus omnia saecula et tempora definiens. Atque hoc est fortasse, uti videtur, illud sabbatum mystice celebratum, et magnus de divinis operibus requiescendi dies, quae secundum Genesis scripturam neque initium neque finem neque generationem habere videtur, eorum quae definitionis ac mensionis expertia sunt post motionem eorum quae in mensura definita sunt manifestatio, et infinita eorum quae comprehendi ac circumscribi non possunt post qualitatem eorum quae comprehensa et circumscripta sunt identitas. Utut igitur voluntatis actio facultate naturae utitur, sive secundum naturam, sive contra naturam, bonae aut miserae existentiae finem suscipiet eam habentem, quae est sempiterna existentia, in qua sabbatum celebrant animae, ab omni motione requiescentes. Octava et prima, vel potius una et non dissolvenda dies purus est omniaque luce sua collustrans dei adventus, qui post rerum motarum stationem evenit, et eis quidem qui existendi ratione secundum naturam voluntate fuerint usi, totus convenienter totis advenit, atque bonam existentiam sempiternam sui participatione et communione praebet, ut qui solus proprie et existit et semper existit et bene existit, eis autem qui contra naturam existendi ratione suopte consilio fuerint usi miseram pro beata existentia merito retribuit, ut quibus beatam existentiam, cui iam adversi stant, capere non liceat, quique quominus id quod quaeritur manifestetur motione prorsus carent, qua quaerentibus id quod quaeritur manifestari potest.

## Alia in idem contemplatio.

Atque rursus septima et sabbatum est modorum omnium secundum virtutem et gnosticarum rationum secundum contemplationem transgressus. Octava autem est vera ad principium et causam eorum quae active sunt facta et contemplative sunt cognita per gratiam regeneratio.

## Alia in idem contemplatio.

Est igitur rursus etiam septima et sabbatum impassibilitas quae activam philosophiam secundum virtutem excipit. Octava vero et prima est, ut una atque indissolubilis, sapientia quae post gnosticam contemplationem subsequitur. Sed aliis quoque et perquam variis modis rerum divinarum studiosi sermonem de talibus accipere possunt, multas et pulchras et veras adinventuri contemplationes.

## Ex eodem sermone, quomodo illud, ‚Duplicate et triplicate', capiens magister in mysterium de hebdomade dicat, ‚Consimili modo et septenam Eliae

Digitized by Google

ἀναστροφὴν Ἠλίου τοῦ προφήτου, τῷ τῆς Σαρα-
Cod. f. 256 a. φθίας υἱῷ, τὸ ζῆν ἐμπνεύσασαν, | καὶ τοῦ αὐτοῦ
τὴν ἰσάριθμον κατὰ τῶν σχιδάκων ἐπίκλυσιν.

Ὁ μακάριος γέρων παρ' ἐμοῦ τοῦτο ἐρωτηθεὶς ἔφη, Κατὰ τοῦτο τυχὸν περὶ τοῦ ἑπτὰ διεξιόντα τὸν διδάσκαλον ἀριθμοῦ τεκμήρασθαι δυνατόν. Πρῶτον μὲν κατὰ τοὺς λεγομένους ἀριθμητικούς. Φασὶ γὰρ ἐκεῖνοι συνίστασθαί τινας ἀριθμοὺς ἐκ δισσουμένων καὶ τρισσουμένων ἑτέρων, τῆς μονάδος τελευταῖον προστιθεμένης. Οἷον ἐκ δισσουμένων μὲν ὁ [1] ξδ' συνίσταται, τῆς μονάδος δισσουμένης μετὰ τῶν ἓξ ἀριθμῶν, προστιθεμένης καὶ τῆς μονάδος, καὶ οὕτως ἡ ἑβδομὰς πληροῦται, οἷον δὶς α' β', δὶς β' δ', δὶς δ' η', δὶς η' ις', δὶς ις' λβ', δὶς λβ' ξδ'. Τούτων οὕτω διαπλασθέντων δι' ἓξ ἀριθμῶν δοκοῦσι συντεθεῖσθαι, ἀλλὰ παραλαμβανομένη τελευταῖον καὶ ἡ μονὰς πληροῖ τὸν ἑπτὰ, ἐξ ἧς τὴν ἀρχὴν ὁ διπλασιασμὸς εἴληφεν. Οὕτως οὖν κἀνταῦθα τὸν αὐτὸν κάνονα κατασχόντες ἀπαρτίσομεν τὸν ἑπτὰ ἀριθμόν. Φησὶ γὰρ, Ἐχέατε, δισσώσατε καὶ τρισσώσατε. Δὶς οὖν μία β', τρὶς β' ἓξ, καὶ ἡ πρώτη μονὰς προστιθεμένη τοῖς ἑξάσιν ἀπαρτίζει τὸν ἑπτὰ ἀριθμόν. Φασὶ δὲ καὶ συγγενείαν τινὰ πνευματικὴν κατὰ μυστικὴν θεωρίαν πρὸς τὸν ζ' ἀριθμὸν ἔχειν τὸν γ' κατὰ τοιόνδε τρόπον, τῷ τὴν πάνσεπτον καὶ προσκυνητὴν τριάδα διὰ τοῦ γ' σημαίνεσθαι, καὶ πάλιν τὴν αὐτὴν διὰ τοῦ ζ, τῷ τὸν ζ' ἀριθμὸν παρθένον εἶναι. Τῶν γὰρ ἐντὸς δεκάδος ἀριθμῶν μόνος οὗτος οὔτε γεννᾷ, οὔτε γεννᾶται. Τοῦτο δὲ σαφῶς ἐνδείκνυται διεξιὼν ἐν τῇ βίβλῳ τῶν ἐπῶν περὶ Παρθενίας, οὕτωσι λέγων, Πρώτη παρθένος ἐστὶν ἁγνὴ τριάς.

Ἄλλο θεώρημα εἰς τὸ αὐτό.

Ἢ καὶ οὕτως. Τῇ ἁγίᾳ τριάδι μυστικῶς τῷ λόγῳ τὴν αὐτῆς ἐπιθεωρήσας ἐνέργειαν, φημὶ δὲ τὸ ἀγαθὸν ὅπερ τὰς τέσσαρας ἐμφαίνει γενικὰς ἀρετὰς, τὸν ἑπτὰ πληρώσεις
Cod. f. 256 b. ἀριθμόν. Τῇ γὰρ ἁγίᾳ καὶ παρυμνήτῳ τριάδι | μυστικῶς τὴν αὐτῆς ἐπιθεωροῦντες ἐνέργειαν τὸν ἑπτὰ παρθένον ἀπαρτίζομεν ἀριθμόν.

Idem ibid. cap. 4., p. 734. tom. 1. Opp. ed. Bened. Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ, Ἰησοῦς δὲ αὐτὸς, ἡ καθαρὰ τελειότης, οἷδε μὲν τρέφειν ἐν ἐρημίᾳ καὶ πέντε ἄρτοις πεντακισχιλίους, οἷδε δὲ πάλιν καὶ ἑπτὰ τετρακισχιλίους· καὶ τὰ τοῦ κόρου λείψανα ἐκεῖ μὲν δώδεκα κόφινοι, ἐνταῦθα δὲ σπυρίδες ζ. Οὐθέτερον ἀλόγως οἶμαι, οὐδὲ ἀναξίως τοῦ πνεύματος.

1. Antiqua manus in marg. libri Gud. adscripsit τῆς ἑβδομάδος.

Digitized by Google

prophetae conversionem, qua Sarephtanae viduae filio vita inspirata est, eiusdemque numero parem super assulas proluvionem.'

Beatus senex ille a me de hoc interrogatus respondit, hoc loco videri fortasse posse quod doctor de septenario persecutus numero coniecturam fecerit. Primum quidem secundum arithmeticae artis peritos. Illi enim quosdam numeros ex duplicatis et triplicatis aliis, unitate in extremo superaddita, constare docent. Sic ex duplicatis constat numerus LXIV, unitate videlicet duplicata cum sex numeris et unitate in extremo adiecta, qua ratione septenarius completur numerus; nam I bis sumptus efficit II, II bis IV, IV bis VIII, VIII bis XVI, XVI bis XXXII, XXXII bis LXIV. Hi ita duplicati per sex numeros videntur compositi, sed unitas in extremo adsumpta, ex qua duplicandi initium factum erat, complet septenarium. Pari igitur hic quoque modo eandem normam secuti septenarium absolvemus numerum. ‚Effundite', enim inquit, ‚duplicate et triplicate.' Itaque unitate duplicata fit II, triplicata II fit VI, et prima unitas addita senariis numeris absolvit septenarium numerum. Tradunt vero etiam spiritualem quandam secundum mysticam contemplationem intercedere cognationem inter ternarium ac septenarium numerum hoc fere modo, quod summe veneranda et adoranda trinitas per ternarium numerum, et iterum per septenarium significetur, eo quod septenarius numerus virgo sit. Omnium enim intra decadem numerorum is solus non generat, neque generatur. Quod clare demonstrat pertractans in libro carmine scripto de Virginitate, ubi dicit, ‚Prima virgo est sancta trinitas.'

## Alia in idem contemplatio.

Vel etiam in hunc modum. Cum sancta trinitate mystice eius simul intuens animo virtutem, bonum inquam quod generales quattuor virtutes repraesentat, septenarium complebis numerum. Cum sancta etenim et concelebranda laudibus trinitate dum mystice simul intuemur virtutem ipsius, septenarium virginem numerum consummamus.

Ex eodem sermone, in illud, ‚Iesus vero ipse, qui pura perfectio est, quinque panibus in deserto quinque hominum milia nutrire novit, ac rursus septem panibus quattuor milia. Atque saturitatis reliquiae illic quidem duodecim cophini, hic autem septem sportae. Neutrum, opinor, temere, nec aliter quam Spiritu dignum erat.'

Digitized by Google

Γυμνασθεῖσαν ἤδη πρὸς θεωρητικὴν ἕξιν ἐν τοῖς προλαβοῦσι διὰ πλάτους, ὡς οἷόν τε ἦν, εἰρημένοις τὴν διάνοιαν, πλήθει λόγων αὐτὴν, εἰ δοκεῖ, μὴ βαρήσωμεν, δυναμένην λοιπὸν καὶ κατ' ἐπιτομὴν τὴν τῶν θείων ἐπιστημόνως δέχεσθαι θεωρίαν. Οἱ κρίθινοι τοιγαροῦν πέντε ἄρτοι τοὺς προχείρους τῆς φυσικῆς θεωρίας παραθηλοῦσι λόγους. Οἱ δὲ τούτοις τρεφόμενοι πεντακισχίλιοι ἄνδρες τοὺς περὶ φύσιν μὲν κινουμένους, οὔπω δὲ πάντη τῆς περὶ τὸ παθητικὸν καὶ ἄλογον τῆς ψυχῆς μέρος ἐκκαθέντας σχετικῆς διαθέσεως ἐμφαίνουσι. Ὡς νοεῖν δίδωσι τοῖς τῶν τοιούτων λόγων θεάμασι ἐκ κριθῆς εἶναι τοὺς ἄρτους, κοινὸν δὲ τοῦτο κτηνῶν τε καὶ ἀνθρώπων εἶδος ὑπάρχει τροφῆς, καὶ τὸ σὺν γυναιξὶν εἶναι καὶ παισὶν, ὅπερ δηλοῖ σαφῶς μὴ τῶν καθ' ἡδονὴν παντελῶς ἐπιθυμιῶν καὶ τῆς ἀτελοῦς τῶν λογισμῶν νηπιότητος αὐτοὺς ἠλλοτριῶσθαι. Ἡ δὲ ἔρημός ἐστιν ἡ κόσμος οὗτος, ἐν ᾧ τοῖς διὰ τῆς φυσικῆς θεωρίας περὶ τὸ θεῶν κινουμένοις τοὺς τῆς φύσεως πνευματικῶς διαθρύπτων λόγους ὁ τοῦ θεοῦ λόγος πᾶσαν ἀγαθῶν χαρίζεται πλησμονὴν, ὡς δηλοῦσιν οἱ τῶν περισσευμάτων κόφινοι, δώδεκα ὄντες τὸν ἀριθμόν.

## Θεωρία εἰς τὸν ιβ' ἀριθμόν.

Ἐμφαίνει δὲ ὁ δώδεκα ἀριθμὸς, ἢ τοὺς κατὰ χρόνον καὶ φύσιν λόγους, ὡς ἐκ πέντε καὶ ἑπτὰ κατὰ σύνθεσιν συμπληρούμενος. Ἑβδοματικὸς γὰρ ὁ χρόνος, ὡς κυκλικῶς
Cod. f. 257 v. κινούμενος, καὶ τὴν πρὸς τὸ κινεῖσθαι προσφυῶς ἔχων ἐπιτηδειότητα, τὴν τῶν ἄκρων ἀπὸ τοῦ μέσου κατὰ τὸν ἀριθμὸν τοῦτον ἴσην ἀπόστασιν. Πενταδικὴ ἡ φύσις, ὑπὸ τὸν ἀριθμὸν τὸν πέντε πεφυκυῖα τάττεσθαι, διά τε τὴν αἴσθησιν ὑφ' ἣν τελεῖ πενταχῶς διαιρουμένην, διά τε τὸ πλέον τῆς ἁπλῶς λεγομένης ὕλης τῆς τετραχῶς διαιρουμένης ἔχειν τὸ εἶδος. Ἡ φύσις γὰρ οὐδὲν ἄλλο καθέστηκεν οὖσα ἢ ὕλη μετ' εἴδους, ἢ ὕλη εἰδοποιημένη. Τὸ γὰρ εἶδος τῇ ὕλῃ προστεθὲν φύσιν ἀπεργάζεται.

## Ἄλλο θεώρημα εἰς τὸ αὐτό.

Ἢ τὰς τῶν ὄντων γενητῶν καὶ αἰωνίων νοήσεις, ὡς κινουμένων καὶ περιεγραμμένων, καὶ τὸν τοῦ τί καὶ ποῖον καὶ πῶς εἶναι λόγον ἐπιδεχομένων. Πᾶν γὰρ κινητόν τε καὶ γενητὸν ὑπάρχει, καὶ διὰ τοῦτο πάντως καὶ ὑπὸ χρόνον ἐστὶ, κἂν εἰ μὴ τὸν κινήσει μετρούμενον. Ἀρχὴν γὰρ ἔχει τοῦ εἶναι πᾶν γενητὸν ὡς ἠργμένον τοῦ εἶναι, καὶ διάστημα, ἀφ' οὗ τοῦ εἶναι ἤρξατο. Εἰ δὲ καὶ ἔστι καὶ κινεῖται πᾶν γενητὸν, καὶ ὑπὸ φύσιν πάντως ἐστὶ καὶ χρόνον, τὴν μὲν διὰ τὸ εἶναι, [1] τὸν δὲ διὰ τὸ κινεῖσθαι, δι' ὧν κατὰ συμ-

1. τὴν habet Apographum.

Digitized by Google

Exercitatam iam ad contemplativum habitum in eis quae copiose, ut fieri potuit, disputata sunt, quaeque iam anticiparunt ipsam, mentem sermonum copia, si videtur, ne gravemus, cum divinarum rerum de reliquo, vel in compendium contractarum, contemplationem perite capere queat. Hordeacei igitur quinque panes naturalis denotant contemplationis notas rationes. Quinque autem milia hominum qui eis in deserto aluntur eos significant qui circa naturam quidem moventur, sed nondum penitus sunt ab relativa in passibili et irrationali animae parte purgati affectione. Sic enim docemur in his rationibus contemplandis eo quod de hordeo sunt illi panes, quod genus frumenti cibus bestiis est cum hominibus communis, et quod cum mulleribus erant atque liberis. Hoc enim clare ostendit eos non alienatos plane fuisse a voluptuariis cupiditatibus et ab infantili ac vana cogitationum stoliditate. Desertum vero est hic mundus, in quo eis qui per naturalem contemplationem circa deum commoventur dei Sermo, naturae rationes spiritualiter confringens, omnem bonorum plenitudinem gratificatur, ut docent reliquiarum cophini, duodecim numero.

## Contemplatio in duodenarium numerum.

Duodenarius numerus vero significat rationes temporales et naturales, ut qui ex quinque est et septem per compositionem completus. Septenarium enim tempus est, utpote per orbem sese circumvolvens, et ad motionem congruenter aptum per extremitatum a medio secundum numerum eum aequam distantiam. Quinaria vero est natura et ita comparata ut sub hunc numerum cadat, et propter sensum quo pertinet quinquetariam divisum, et quod materia, quae simpliciter appellatur, quaeque quadrifariam divisa est, formam habet superiorem. Natura enim nihil aliud est quam materia cum forma, sive materia formata. Nam forma materiae adiecta naturam efficit.

## Alia in idem contemplatio.

Vel significat eorum quae facta et quae aeterna sunt cogitationes, utpote quae moventur et circumscripta sunt, et essentiae et qualitatis et modi rationem capiunt. Omne enim mobile et factum existit, et idcirco fieri non potest quin tempori subiectum sit, etiam si non ei quod motione mensuratur. Initium enim habet existentiae quodcunque factum est, quippe quod in existentiam intravit, itemque distantiam vel spatium ex quo existere incepit. Quod si et existit et movetur omne factum, necesse est etiam ut sub naturam et tempus cadat, sub alteram ob existentiam, sub alterum

Digitized by Google

πλοκὴν ὁ τοῦ δώδεκα κατὰ τὸν ἀποδοθέντα τρόπον συμπληροῦται λόγος.

## Ἄλλη θεωρία.

Ἡ τὴν ἠθικὴν καὶ φυσικὴν καὶ θεολογικὴν φιλοσοφίαν ὁ ἀριθμὸς οὗτος δηλοῖ, ὡς ἐκ τεσσάρων καὶ πέντε καὶ τριῶν συναγόμενος. Τετραδικὴ γὰρ διὰ τὰς δ΄ γενικὰς ἀρετάς ἐστιν ἡ ἐν τοῖς πράγμασι κατ' ἦθος ἀκριβὴς φιλοσοφία. Πενταδικὴ δὲ ἡ φυσικὴ θεωρία διὰ τὴν εἰρημένην αἰτίαν, φημὶ δὲ τὴν πενταχῶς κατὰ φύσιν διαιρουμένην αἴσθησιν. Τριαδικὴ δὲ ἡ μυστικὴ θεολογία, διὰ τὰς ὁμουσίους ἁγίας τρεῖς ὑποστάσεις τῆς παναγίου μονάδος, ἢ ἐν αἷς ἡ ἁγία μονὰς, ἢ, κυριώτερον εἰπεῖν, ἅπερ ἡ ἁγία μονάς.

## Ἄλλη θεωρία.

Cod. f. 257 b. Ἡ τὴν καθόλου καὶ γενικωτάτην | ἀρετὴν καὶ γνῶσιν, τὴν μὲν ὡς ἐνταῦθα διὰ τῶν δ΄ ἀρετῶν κατορθουμένην, τὴν δὲ ὡς διὰ τῶν ὀκτὼ τὴν θεωτέραν τῶν μελλόντων μυστικῶς [1] παραδηλούσων κατάστασιν σημαινομένην, ἐξ ὧν ὁ δώδεκα κατὰ σύνθεσιν ἀριθμὸς ἀπαρτίζεται.

## Ἄλλη θεωρία.

Ἡ τὰ παρόντα τε καὶ τὰ μέλλοντα, ὡς τῶν μὲν παρόντων τὸν δ΄ στοιχειώδη τε καὶ ὑλικὸν ἀριθμὸν ὄντα φυσικῶς παραδεχομένων, τῶν δὲ μελλόντων μυστικῶς ἐπιθεωρούμενον αὐτοῖς ἐπιδεχομένων τὸν ὀκτὼ ἀριθμὸν, ὡς τῆς κατὰ χρόνον ἑβδοματικῆς [1] ὑπερθετικῆς ἰδιότητος.

## Ἄλλη θεωρία.

Ἡ τοὺς περὶ νοητῶν καὶ αἰσθητῶν κρίσεώς τε καὶ προνοίας τριττοὺς λόγους ὁ δώδεκα σαφῶς ἀριθμὸς παραδηλοῖ. Ἕκαστον γὰρ τούτων ἐφ' ἑαυτὸ τοῦ εἶναι τοῦθ' ὅπερ ἐστὶ τρεῖς ἐπιδέχεται λόγους, καθὼς τοῖς ἄκροις λόγοις τῶν θείων μύσταις καὶ μυσταγωγοῖς διὰ πολλὴν ἄσκησιν τῶν λογίων ἐκ πολλῶν κατάδηλον γέγονε. Τριπλασιάζοντες οὖν ἑαυτοῖς οἱ καθόλου τριττοὶ τῶν ὄντων λόγοι τὰ ἐφ' οἷς θεωροῦνται δ΄ ὄντα, ἢ τὸ ἔμπαλιν τοῖς ὧν εἰσιν αὐτοὶ τετραπλούμενοι, τὸν δώδεκα ποιοῦσιν ἀριθμόν. Εἰ γὰρ τὰ ὄντα οὐσίαν ἔχει καὶ δύναμιν καὶ ἐνέργειαν, τριττὸν τὸν ἐπ' αὐτοῖς τοῦ εἶναι δηλονότι κέκτηνται λόγον. Εἰ δὲ τούτους συνδεῖ τοὺς λόγους πρὸς τὸ εἶναι δηλονότι καθό εἰσιν ἡ πρόνοια, τριπλοῦς καὶ ὁ αὐτῆς πάντως ὑπάρχων καθέστηκε λόγος. Εἰ δὲ τῶν λωβώσεων τῶν καθ' ἕνα τῶν εἰρημένων παρατραπόντων λόγων, παρελθουσῶν τε καὶ παρουσῶν καὶ

1. Apographum habet *παραδηλοῦσαν*.

Digitized by Google

ob motionem, quibus complicatis ratio duodenarii eo quo indicavi modo consummatur.

## Alia contemplatio.

Vel moralem et naturalem et theologicam philosophiam hic numerus monstrat, ut ex quattuor et quinque et tribus conflatus. Quaternaria enim ob generales quattuor virtutes in rebus est accurata moribus philosophia. Quinaria vero naturalis est contemplatio, de ea causa quam indicavi, sensu scilicet quinquefariam diviso. Ternaria denique mystica est theologia, ob sanctas tres coessentiales substantias sanctissimae unitatis, vel in quibus est sancta unitas, vel, ut magis proprie dicam, quae est sancta unitas.

## Alia contemplatio.

Vel universalem atque generalissimam significat virtutem et cognitionem, ut quarum altera hic per quattuor virtutes perficiatur, altera per octo quae diviniorem rerum futurarum statum mystice ostendunt, significata sit, ex quibus duodenarius numerus compositus perficitur.

## Alia contemplatio.

Vel praesentia atque futura significat, quia res praesentes quaternarium numerum elementarem et materialem naturaliter suscipiunt, res futurae autem octonarium sibi vindicant numerum mystice in sese spectatum, quippe qui eam habeat proprietatem ut hebdomaticam temporis superet.

## Alia contemplatio.

Vel ternas de intellectualibus et sensualibus iudicii ac providentiae rationes duodenarius clare numerus significat. Una enim quaeque istarum ad sese admittit tres eius quod est existendi rationes, quemadmodum ex summis doctrinae capitibus tam discipulis quam doctoribus de potiore in oraculis divinis exercitatione multifariam manifestum est. Triplicantes igitur semet ipsis eorum quae existunt rationes generales quattuor illa in quibus conspiciuntur existentia, vel rursus istis quorum sunt ipsae triplicatae, duodenarium efficiunt numerum. Nam si ea quae existunt essentiam habent et facultatem et virtutem, triplicem in se ipsis existendi nimirum habent rationem. Iam si has rationes ad existendum videlicet quemadmodum existunt providentia connectit, triplex etiam ipsius plane evadet ratio. At si corruptelas singularum quas dixi rationum cum deflexae fuerint, tam praeteritas

1. Sic Apographum. An forte reponendum ὑπερθετικὸν?



Digitized by Google

μελλουσῶν, ἡ κρίσις ἐστὶ τιμωρητικὴ ὡς κακίας κολαστικὴ, τριπλοῦν ἔχει καὶ αὐτὴ τὸν ἐπ' αὐτῇ τῆς θεωρίας λόγον, καθ' ὃν οὐσίαν τε καὶ δύναμιν καὶ ἐνέργειαν τῶν ὄντων περιγράφουσα μένει τὴν οἰκείαν εἰς τὸ διηνεκὲς ἀοριστίαν φυλάττουσα. |

Cod. f. 258 a. Ἄλλη θεωρία.

Ἢ πάλιν τὴν ἐφικτὴν τοῦ αἰτίου καὶ τῶν αἰτιατῶν τελείαν ἐπίγνωσιν ὁ ἀριθμὸς οὗτος δηλοῖ. Δεκάδι γὰρ προστεθεῖσα δυὰς ποεῖ τὸν ιβ'· δεκὰς δέ ἐστιν Ἰησοῦς ὁ κύριος καὶ θεὸς τῶν ὅλων, ὡς ἀνεκφοιτήτως ταῖς ἀπὸ μονάδος προόδοις πρὸς ἑαυτὸν μοναδικῶς πάλιν ἀποκαθιστάμενος. Μονὰς γὰρ καὶ ἡ δεκὰς, καὶ ὡς ὅρος τῶν ὁριζομένων καὶ περιοχὴ τῶν κλινουμένων καὶ πέρας πάσης ἀριθμητικῆς ἀποπερατώσεως. Καὶ δυάς ἐστι πάλιν πᾶσα τῶν μετὰ θεὸν ὄντων ἡ σύμπηξις, οἷον τὰ μὲν αἰσθητὰ πάντα ὡς ἐξ ὕλης συνεστηκότα καὶ εἴδους ἐστὶ δυὰς, τὰ δὲ νοητὰ, ὡςαύτως ἐξουσίας καὶ τοῦ εἰδοποιοῦντος αὐτὰ [1] οὐσιωδῶς συμβεβηκότος. Οὐδὲ γάρ ἐστι τὸ παράπαν γενητὸν κυρίως ἁπλοῦν, ὅτι μὴ τόδε μόνον ἐστὶν ἢ τόδε, ἀλλ' ὡς ἐν ὑποκειμένῳ τῇ οὐσίᾳ ἔχει τὴν συστατικήν τε καὶ ἀφοριστικὴν διαφορὰν συνεπιθεωρουμένην, τὴν αὐτὸ μὲν ἐκεῖνο συνιστῶσαν, ἄλλου δὲ αὐτὸ φανερῶς διακρίνουσαν. Οὐδὲν δὲ καθ' οἱονδήποτε τρόπον οὐσιωδῶς ἔχον συνεπιθεωρούμενόν τι πρὸς δήλωσιν τῆς οἰκείας ὑπάρξεως δύναται κυρίως εἶναι ἁπλοῦν.

Ἄλλη θεωρία.

Ἢ πάλιν τὴν θείαν οὐσίαν καὶ τὴν αὐτῆς δραστικὴν ἐνέργειαν ἐπικεκρυμμένως ὁ ἀριθμὸς οὗτος ὑποσημαίνει. Τὴν μὲν θείαν οὐσίαν, διὰ τοῦ τρεῖς ἀριθμοῦ δηλουμένην ὡς τριαδικῶς ὑμνουμένην διὰ τὴν τρισυπόστατον ὕπαρξιν· τριὰς γάρ ἐστιν ἡ μονὰς ὡς ἐν τελείαις οὖσα τελεία ταῖς ὑποστάσεσιν, ἤγουν τῷ τῆς ὑπάρξεως τρόπῳ, καὶ μονάς ἐστιν ἡ τριὰς ἀληθῶς τῷ τῆς οὐσίας, ἤγουν τῷ τοῦ εἶναι λόγῳ. Τὴν δὲ δραστικὴν ἐνέργειαν διὰ τοῦ ἓξ ἀριθμοῦ μηνυομένην, ὡς μόνου τῶν ἐντὸς δεκάδος ἀριθμοῦ τελείου καὶ πλήρους, καὶ ἐκ τῶν οἰκείων συνισταμένου μερῶν, καὶ τῶν αὖ καθόλου καὶ ἀνίσων ἀριθμῶν περιεκτικοῦ, τοῦ ἀρτίου φημὶ καὶ τοῦ
od. f. 258 b. περιττοῦ, | ὡς καὶ μόνην τελείαν καὶ τελείων, καθ' ὃν εἰσι λόγον, ἀπεργαστικήν τε καὶ φρουρητικήν. Ἄνισα γὰρ τὰ μετὰ τοῖς ἄκροις κινούμενα πρὸς τὴν τῶν ἄκρων ἀεικίνητον στάσιν. Οἷον ἵν' ἐξ ἑνὸς καὶ τῶν λοιπῶν ποιήσωμαι τοῖς φιλοπόνοις τὴν ἔνστασιν, ἄκρον μὲν ἔστι τὸ, Καὶ εἶπεν ὁ θεὸς, Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ'

1. Apographum habet οὐσιώδους.

Digitized by Google

quam praesentes et futuras, iudicium vindicat pravitatem castigans, fit ut etiam ipsa habeat triplicem suam contemplationis rationem, qua dum essentiam et facultatem et virtutem rerum quae existunt definit, suam in perpetuum servat infinitatem.

## Alia contemplatio.

Vel rursus perfectam, quam nobis assequi licet, causae et eorum quae ex alio tanquam ex causa procedunt agnitionem iste numerus significat. Decadi enim dyas adiecta efficit XII numerum: decas vero est Iesus dominus et deus rerum universarum, quippe qui ab monade progressus, sic tamen ut foras non exiret, ad sese ipsum rursus et monadem revertit. Monas enim etiam decas est, et tanquam terminus eorum quae finiuntur et comprehensio ac munitio eorum quae flectuntur ac meta omnis arithmeticae terminationis. Atque dyas rursus est omnis eorum quae post deum sunt coagmentatio. Sic sensibilia cuncta, ut de materia ac forma constantia, dyas sunt, et intellectualia item, de potestatis et eius qui illa essentialiter format congregatione. Nequaquam enim quod factum est simplex est, eo quod non hoc solum vel illud est, sed tanquam in subiecto essentiae habet una cernendam tam constitutivam quam definitivam differentiam, quae ipsum illud constituat, ipsumque ab alio evidenter secernat. Nihil autem quod qualicunque modo suae existentiae manifestandae causa essentialiter aliquid quod simul cernitur habet proprie simplex esse potest.

## Alia contemplatio.

Vel rursus divinam essentiam hic numerus, et alacrem eius ad agendum virtutem occulte significat. Divinam quidem essentiam, per tres numerum indicatam, ut triplici modo celebratam propter extantiam per tres substantias; trinitas enim est unitas ut in perfectis substantiis ipsa perfecta, id est extantiae modo, et unitas trinitas vere est essentiae, id est existendi ratione. Alacrem vero agendi virtutem significat per sex numerum indicatam, ut qui solus intra denarium numerum perfectus ac plenus est, et ex propriis partibus constat, quique rursus tam generales quam inaequales comprehendit numeros, parem inquam et imparem, ut ipsam quoque solam perfectam et perfectorum, secundum quam sunt rationem, et operatricem et conservatricem. Inaequalia enim sunt quae inter extremitates motantur ad stationem extremitatum quae semper motatur. Quemadmodum ut ex uno reliqua quoque studiosis auspicer, extremitas est illud, ‚Et dixit deus, Faciamus hominem ad imaginem nostram et



Digitized by Google

ὁμοίωσιν, μέσον δὲ τὸ, Καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς, καὶ ἄκρον πάλιν, Ἐν γὰρ Χριστῷ Ἰησοῦ οὐκ ἔστιν οὔτε ἄρσεν οὔτε θῆλυ. Τῶν ἄκρων οὖν καὶ τῶν μέσων ἀνίσων ὄντων, ὡς τῶν μὲν τὸ ἄρρεν ἐχόντων καὶ τὸ θῆλυ, τῶν δὲ μὴ ἐχόντων, ἐστὶ ποιητικὴ τε καὶ περιεκτικὴ ἡ θεία ἐνέργεια, ἥντινα μυστικῶς, καθάπερ οἶμαι, μυηθεὶς ὁ σοφώτατος Μωυσῆς, καὶ τοῖς λοιποῖς τῶν ἀνθρώπων ἀγαθοπρεπῶς ὑπεμφαίνων, ἐν ἓξ ἡμέραις γέγραφε τὸν θεὸν πεποιηκέναι τὸν σύμπαντα κόσμον· ἥτινι καθ' εἰρμὸν καὶ τάξιν μετὰ τῆς προνοίας καὶ τῆς κρίσεως τῶν ὄντων πρεπόντως συνεπιθεωροῦντες τὴν γένεσιν (περιέχεται γὰρ αὐτῇ ταῦτα) τὸν ιβ' πληρέστατον ἀπαρτίζομεν ἀριθμόν.

## Θεωρία εἰς τοὺς κοφίνους.

Κοφίνους δέ φησιν ὁ λόγος, ἐν οἷς ἀπετέθη τὰ περισσεύσαντα, τὴν παιδευτικὴν οἰκονομίαν, τῶν πνευματικῶς τραφέντων τοὺς νοητοὺς τῶν εἰρημένων λόγους, διὰ τὸ μήπω τῆς παιδαγωγικῆς αὐτοὺς ὑπεράνω γενέσθαι διδασκαλίας, τῆς καὶ τὰ χρήσιμα δεόντως ὑποτιθεμένης, καὶ τὴν ἀλγεινὴν τοῖς οὕτω παιδευομένοις ἀγωγὴν προτεινούσης, ὡς νοεῖν δίδωσιν ἡ ἐξ ἧς οἰκοδομοῦνται οἱ κόφινοι ὕλη, πληκτικὴ κατὰ φύσιν ὑπάρχουσα.

## Θεωρία τῶν ζ' ἄρτων.

Οἱ δὲ ἑπτὰ τῶν τετρακισχιλίων ἄρτοι τὴν νομικὴν, ὡς οἶμαι, μυσταγωγίαν ὑποτυποῦσιν, ἤτοι τοὺς κατ' αὐτὴν θειοτέρους λόγους, οὕστινας τοῖς προσμένουσι τρεῖς ἡμέρας τῷ λόγῳ, τουτέστι μεθ' ὑπομονῆς τὸν περὶ τὴν ἠθικήν τε καὶ φυσικὴν καὶ θεολογικὴν φιλοσοφίαν περιποιητικὸν τοῦ φωτισμοῦ τῆς γνώσεως πόνον μακροθύμως φέρουσιν, ὁ λόγος μυστικῶς δίδωσιν.

## Ἄλλη Θεωρία περὶ τῶν τριῶν ἡμέρων.

Ἡ τὸν φυσικὸν τυχὸν καὶ γραπτὸν καὶ πνευματικὸν νόμον αἱ τρεῖς ἡμέραι παραδηλοῦσιν, ὡς ἑκάστου τοῦ κατ' αὐτὸν πνευματικωτέρου λόγου τὸν φωτισμὸν τοῖς φιλοπονοῦσι παρέχοντος, καθ' ἃς ἀμέμπτως οἱ καλῶς τε καὶ ἀληθῶς πεινῶντες τὰ θεῖα, τῷ θεῷ καὶ λόγῳ προσμένοντες, δέχονται τροφὴν μυστικὴν κατὰ ταὐτὸν νίκης τε καὶ βασιλείας ἔχουσαν σύμβολα τοῦ κόρου τὰ λείψανα. Αἱ γὰρ ἑπτὰ σπυρίδες ἐκ φοινίκων τὴν ὕλην ἔχουσαι (νίκης δὲ σύμβολον καὶ βασιλείας ὁ φοῖνιξ), πρὸς δὲ καὶ τῆς ἀκλονήτου πρὸς τὰς τῶν βιαίων πνευμάτων ἐμβολὰς ὑπὲρ ἀληθείας ἐνστάσεως δι' ἑαυτῶν τοὺς τραφέντας πάσης κακίας καὶ ἀγνωσίας νικητὰς ἀποφαίνουσιν, ὡς τὴν κατὰ παθῶν τε καὶ δαιμόνων παρὰ τοῦ θεοῦ λόγου ἀήττητον λαβόντας δυναστείαν.

Digitized by Google

ad similitudinem' medium vero, ‚Et fecit deus hominem, marem atque feminam fecit eos': atque iterum extremitas, ‚In Iesu Christo non est neque mas neque femina.' Cum igitur extremitates et medium sint inaequalia, cum altera masculum ac feminam habeant, altera non habeant, effectiva est atque comprehensiva dei virtus, quam mystice, uti mihi videtur, initiatus sapientissimus Moyses, et ceteris hominibus benigne significans, intra sex deum scripsit dies universum mundum condidisse: qua virtute per seriem et ordinem cum providentia et indicio rerum quae sunt creationem convenienter contemplantes (ista enim haec comprehenduntur) duodenarium plenissimum consummamus numerum.

## Contemplatio in cophinos.

Cophinos autem, in quibus repositae sunt reliquiae, sermo appellat dispensationem institutoriam, eorum qui spiritualiter sunt intellectualibus dictorum rationibus nutriti, propterea quod paedagogicam nondum superaverunt doctrinam, quae tam quae utilia sint recte suppeditat, quam gravem eis qui ita instituuntur conversationem proponit; quomodo intellegere nos iubet materia ex qua cophini construuntur, quae natura sua ad feriendum et percutiendum comparata est.

## Contemplatio septem panum.

Septem autem quattuor milium panes legalem, ut opinor, mystagogiam exprimunt, sive diviniores secundum eam rationes, quas eis qui tres dies apud sermonem maneant, id est qui laborem circa moralem et naturalem et theologicam philosophiam quo cognitionis lux comparetur cum patientia et aequo animo ferant, Sermo mystice tradit.

## Alia contemplatio de tribus diebus.

Vel naturalem fortasse et scriptam et spiritualem legem tres dies significant, cum singulae videlicet spiritualioris secundum ipsas rationis lucem eis qui gnaviter student praestent, quibus qui bene ac vere divina esuriunt Deo et Sermoni sine reprehensione adhaerentes mysticum accipiunt nutrimentum, quod eodem tempore et victoriae et regni fert symbolum, saturationis reliquias. Septem enim sportae e palmae ramis consertae (victoriae autem symbolum et regni palma est), inconcussae praeterea ac fortis cum violentis spiritibus incurrentibus contentionis eos qui per se nutriti sunt omnis pravitatis et ignorantiae victores significant, ut qui a deo Sermone invictam acceperint affectuum ac spirituum dominationem.

Digitized by Google

## *Θεωρία τοῦ ἀριθμοῦ τῶν τετρακισχιλίων ἀνδρῶν.*

*Καὶ ὁ αὐτῶν δὲ ἐκείνων τῶν τούτους τραφέντων τοὺς πνευματικοὺς λόγους ἀριθμὸς τῆς ἀληθοῦς αὐτῶν ἀρίθμιος μάρτυς ἐστὶ τελειότητος, ὡς τὰς τέσσαρας γενικὰς περιέχων μονάδας· ὧν πρώτη μὲν ἔστιν ἡ πρώτη μονὰς, δευτέρα δὲ μονάς ἐστιν ἡ δεκὰς, τρίτη δὲ μονάς ἐστιν ἡ ἑκατοντὰς, καὶ τετάρτη μονάς ἐστιν ἡ χιλιάς. Ἑκάστη γὰρ τούτων, χωρὶς τῆς πρώτης μονάδος, καὶ μονάς ἐστι καὶ δεκάς· μονὰς μὲν τῶν μετ' αὐτὴν, ὡς εἰς ἑαυτὴν συντιθεμένη· καὶ τῷ δεκαπλασιασμῷ τὴν αὐτῆς ἀπαρτίζουσα δεκάδα· δεκὰς δὲ, ὡς τῶν πρὸ αὐτῆς μονάδων τὴν σύνθεσιν εἰς ἑαυτὴν περιγράφουσα· χιλιὰς δὲ τετραπλουμένη τετρακισχιλίους ὑφίστησιν. Ἔστιν οὖν ἡ πρώτη μονὰς μυστικῆς θεολογίας σύμβολον, ἡ δὲ δευτέρα μονὰς θείας οἰκονομίας καὶ ἀγαθότητος τύπος, ἡ δὲ τρίτη μονὰς ἀρετῆς καὶ γνώσεως ἐστιν εἰκὼν, καὶ ἡ τετάρτη μονὰς τῆς καθόλου τῶν ὄντων θειοτέρας μεταποιήσεως δήλωσις.*

Cod. f. 260 b

## *Ἄλλη θεωρία εἰς τὸν ζ ἀριθμόν.*

*Ὁ δὲ ἑπτὰ ἀριθμὸς τῶν σπυρίδων κατ' ἄλλον πρὸς τῷ προτέρῳ θεωρούμενος τρόπῳ, ὥς φασιν, ἐμφαίνει σοφίαν καὶ φρόνησιν, τὴν μὲν ὡς περὶ τὴν αἰτίαν τρισσῶς κατὰ νοῦν κινουμένην, τὴν δὲ περὶ τὰ μετὰ τὴν αἰτίαν καὶ περὶ τὴν αἰτίαν ὄντα κατὰ λόγον διὰ τὴν αἰτίαν τετραχῶς κινουμένην. Οὐθέτερον οὖν ἀλόγως παρὰ τοῦ κυρίου γεγένηται κατὰ τὸν μέγαν τοῦτον διδάσκαλον, οὐδὲ ἀναξίως τοῦ πνεύματος.*

Greg. N. l. Oratt. in Pentecost. cap. 16, p. 743. tom. 1. Opp edit. Bened.

## *Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ, Καὶ ἔστι διαφορὰ χαρισμάτων, ἄλλου δεομένη χαρίσματος πρὸς διάκρισιν τοῦ βελτίονος.*

*Ἡ διαφορὰ τῶν χαρισμάτων ἡ ἄλλου δεομένη χαρίσματος πρὸς διάκρισιν κατὰ τὸν μέγαν τοῦτον διδάσκαλόν ἐστιν, ἡ προφητεία, καθὼς οἶμαι, καὶ τὸ λαλεῖν γλώσσαις. Ἡ μὲν γὰρ προφητεία δεῖται τοῦ χαρίσματος τῆς διακρίσεως τῶν πνευμάτων, πρὸς τὸ γνωσθῆναι τίς καὶ πόθεν καὶ ποῦ φέρουσα καὶ ποίου πνεύματός ἐστι, καὶ δι' ἣν αἰτίαν, μή πως φλήναφός ἐστι, μόνον εἰκῇ προφερομένη ἐκ τῆς κατὰ τὸ ἡγεμονικὸν βλάβης τοῦ λέγοντος, ἢ αὐτοκίνητός τις ὁρμὴ τοῦ δῆθεν προφητεύοντος, ἐξ ἀγχινοίας περί τινων φυσικῶς κατὰ λόγον διὰ πολυπειρίαν τεκμαιρομένου πραγμάτων, ἢ τοῦ πονηροῦ καὶ δαιμονιωδοῦς πνεύματος,* | *ὥςπερ ἐν Μοντανῷ καὶ τοῖς ἐκείνῳ παραπλησίοις ἐστὶ τερατολογία ἐν προφητείας εἴδει τὸ λεγόμενον, ἢ δόξης ἕνεκεν κενῆς τοῖς ἄλλων ἄλλος τυχὸν*

Cod. f. 260 a

Digitized by Google

## Contemplatio virorum quattuor milium numeri.

Atque ipsorum illorum numerus qui his spiritualibus rationibus sunt enutriti verae ipsorum perfectionis manifestus et locuples testis est, quippe qui quattuor generales continet unitates, quarum prima quidem est prima unitas, secunda vero est denarius numerus, tertia centenarius, quarta monas est millenarius numerus. Harum enim unaquaeque, prima monade excepta, et monas est et decas: monas quidem earum quae post se sequuntur, ut in se ipsa composita, atque decuplando ipsius decadem conficiens: decas vero, sive denarius numerus, ut earum quae ante se sunt compositionem in se ipsam circumcludens: millenarius vero numerus quadruplicatus efficit quattuor milia. Est igitur prima monas mysticae symbolum theologiae, altera divinae dispensationis et bonitatis imago, tertia monas virtutis et cognitionis est simulacrum, quarta denique monas generalis rerum quae existunt regenerationis divinioris manifestatio.

## Alia contemplatio in septenarium numerum.

Septenarius autem sportarum numerus alio secundum superiorem modo inspectus, ut dicunt, significat sapientiam et prudentiam, hanc quidem ut circa causam trifariam sese mente, illam circa ea quae post causam et circa causam sunt ratione per causam quadruplici modo se moventem. Neutrum igitur irrationaliter a domino factum est secundum magnum hunc magistrum, nec spiritu indigne.

## Ex eodem sermone, in illud, ‚Atque gratiorum diversitas est, alia gratia opus habens ad discernendum quaenam sit praestantior.'

Diversitas gratiarum quae alia gratia habet opus ad discernendum, secundum magnum hunc doctorem prophetia est, quemadmodum arbitror, et ‚linguis loqui.' Prophetia enim opus habet gratia spirituum discernendorum, ad cognoscendum quaenam et unde et quo ferens et cuiusmodi spiritus sit, et quam habent causam, ne forte nugax sit, temere solum prolata ex vitio principatus animi eius qui loquitur, aut motus spontaneus eius videlicet qui prophetat, ex ingenii sagacitate de multarum rerum experientia docti naturaliter de quibusdam rebus secundum rationem coniectantis, aut nequam et daemoniaci spiritus, sicut in Montano et eius similibus quod praedicatur prodigiosa oratio est prophetiae forma vestita, aut ne gloriolae vanae alienis alius, prout casus fert, se exornet, loquens magnifice atque iactans quae

1. Apographum habet προφερόμενος.

Digitized by Google

ἀβρύνεται, λέγων τε καὶ πομπεύων ἅπερ αὐτὸς οὐκ ἐγέννησεν, ὑπὲρ τοῦ θαυμασθῆναι ψευδόμενος, καὶ πατέρα νόθον ὀρφανῶν λόγων καὶ νοημάτων ἑαυτὸν ὑπὲρ τοῦ δόξαι σοφός
1 Corinth. 14, 29. τις εἶναι προβάλλεσθαι οὐκ αἰσχυνόμενος. Προφῆται γὰρ β', φησὶ ὁ θεῖος ἀπόστολος ἢ τρεῖς λαλείτωσαν, καὶ οἱ ἄλλοι διακρινέτωσαν. Τίνες δὲ τυγχάνουσιν οἱ ἄλλοι; δηλονότι οἱ τὸ χάρισμα τῆς διακρίσεως ἔχοντες τῶν πνευμάτων. Δεῖται τοίνυν ἡ μὲν προφητεία, καθὼς ἔφην, τῆς διακρίσεως τῶν πνευμάτων, ἵνα γνωσθῇ καὶ πιστευθῇ καὶ ἐγκριθῇ, τὸ δὲ χάρισμα τῶν γλωσσῶν δεῖται τοῦ χαρίσματος τῆς ἑρμηνείας, ἵνα μὴ ὀφέλῃ τοῖς παροῦσιν ὁ τοιοῦτος μαίνεσθαι, μὴ δυναμένου τινὸς τῶν ἀκουόντων παρακολουθῆσαι τοῖς λαλουμένοις.
1 Corinth. 14, 24. Ἐὰν γὰρ, φησὶν ὁ μέγας ἀπόστολος, λαλεῖτε γλώσσαις, εἰσέλθῃ δέ τις ἄπιστος ἢ ἰδιώτης, οὐκ ἐροῦσιν ὅτι μαίνεσθε; Καὶ κελεύει μᾶλλον σιωπᾶν τὸν λαλοῦντα γλώσσαις, ἐὰν μὴ ᾖ ὁ διερμηνεύων. Τὸ δὲ Πρὸς διάκρισιν φάναι τὸν διδάσκαλον τοῦ βελτίονος, φασὶν οἱ τοῖς θείοις τὸν νοῦν καταφωτίσαντες λόγοις ὑπερέχειν τὸ τῆς προφητείας καὶ τὸ τῶν γλωσσῶν χάρισμα τῶν ὧν πρὸς διάκρισίν τε καὶ διασάφησιν χρήζουσι χαρισμάτων, τουτέστι τῆς διακρίσεως τῶν πνευμάτων καὶ τῆς ἑρμηνείας. Ὅπερ εἰδὼς ὁ διδάσκαλος ἔφη, Πρὸς διάκρισιν τοῦ βελτίονος.

Greg. Nazianz. Orat. in Heronem Philos. cap. 6., p. 458. tom. I. Opp. ed. Bened. Cod. f. 280 b.

## Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς Ἥρωνα τὸν φιλόσοφον λόγου, εἰς τὸ, Συμβάματα καὶ παρασυμβάματα.

Σύμβαμά ἐστι κατὰ γραμματικοὺς πρότασις ἐξ ὀνόματος καὶ ῥήματος αὐτοτελῆ διάνοιαν ἀπαρτίζουσα, | οἷον Ἰωάννης περιπατεῖ. Παρασύμβαμα δέ ἐστι πρότασις ἐξ ὀνόματος καὶ ῥήματος οὐκ αὐτοτελῆ διάνοιαν ἀπαρτίζουσα, οἷον Ἰωάννῃ μέλει. Φήσας οὖν τις, Ἰωάννης περιπατεῖ, οὐδενὸς ἑτέρου χρήζειν ἔδειξεν, εἰπὼν δὲ, Ἰωάννῃ μέλει, περὶ τίνος αὐτῷ μέλει παρέλειψεν εἰπεῖν.

Greg. Naz. Or. Funebr. in M. Basilium cap. 1., p. 770. tom. I. Opp. ed. Bened.

## Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τὸν ἅγιον Βασίλειον ἐπιτάφιον, εἰς τὸ, Ἐπ' οὐδενὸς οὖν τῶν ἁπάντων οὐκ ἔστιν ἐφ' ὅτῳ οὐχὶ τῶν ἁπάντων.

Ὅτι ποτέ τις ἀποδέχεται τῶν καλῶν, κατ' ἐκεῖνο πάντως καὶ ποιεῖται τὴν ἐπίδοσιν καὶ τοῖς περὶ αὐτοῦ λεγομένοις δῆλον ἥδεται καὶ παρακαλεῖται. Ἥδεται μὲν προστιθέμενος αὐτῷ πλέον κατὰ ψυχὴν ὡς καταθυμίῳ πράγματι, παρακαλεῖται δὲ τῆς κατ' αὐτὸ πλείονος ἐπιδόσεως, ἐκ τοῦ περὶ αὐτοῦ δεχόμενος ἐπαίνου μείζονα προτροπήν. Ὧν γὰρ, φησὶν ὁ διδάσκαλος, τοὺς ἐπαίνους οἶδα, τούτων σαφῶς καὶ ἐπιδόσεις, τουτέστιν, ὧν οἶδα πραγμάτων τοὺς ἐπαίνους, καὶ τῶν ἀποδεχομένων αὐτὰ σαφῶς ἀνθρώπων τὰς εἰς ἀρετὴν ἐπιδόσεις, ἤγουν ἐπαυξήσεις, ἐπίσταμαι. Ἐπ' οὐδενὸς οὖν

Digitized by Google

ipse non pepererit, admirationis commovendae gratia mendax, quem non pudeat patrem sese nothum et adulterinum orbarum orationum ac cogitationum, ut sapiens aliquis esse videatur, repraesentasse. ‚Prophetae' enim ‚duo', ait divinus apostolus, ‚vel tres loquantur, et ceteri diiudicent.' Quinam vero sunt ceteri? nimirum illi qui diiudicandorum spirituum gratiam habent. Itaque prophetia, uti dicebam, opus habet ut spiritus iudicare possit, ut cognoscatur et credatur et approbetur, linguarum autem gratia opus habet interpretationis gratia, ne eis qui adsunt eiusmodi insanire videatur, cum audientium nemo assequi dicta possit. ‚Nam si', magnus inquit apostolus, ‚linguis loquamini, intret autem quis infidelis, vel idiota, nonne dicent quod insanitis'? Atque imperat potius ut taceat linguis loquens, nisi fuerit qui interpretur. Quod autem ‚Ad discernendum', dixit magister, ‚quaenam sit praestantior', quorum mens divina doctrina illuminata est, ii praestare dicunt prophetiae atque linguarum gratiam iis gratiis quibus ad discernendum et explicandum opus habent, hoc est discernendi spiritus et interpretandi. Quod intellegens doctor ait, ‚Ad discernendum quaenam praestantior sit.'

## Eiusdem, ex sermone in Heronem philosophum, in illud, ‚Symbamata et parasymbamata.'

Symbama secundum grammaticos est propositio ex nomine et verbo absolutam sententiam conficiens, ut exemplum afferam, ‚Ioannes deambulat.' Parasymbama autem est propositio ex nomine et verbo non absolutam conficiens sententiam, ut, ‚Ioanni curae est.' Itaque cum quis dicit, ‚Ioannes deambulat', nullo alio eum opus habere monstrat, cum autem, ‚Ioanni curae est', quid ei curae sit dicere omisit.

## Eiusdem ex funebri in sanctum Basilium oratione, in illud, ‚In nulla igitur re ex omnibus aliter accidit quin incrementum ex eo quod laudetur accipiat.'

Quod quis honestum recipit, pro eo omnino et incrementum facit et eis quae de isto praedicantur aperte laetatur et invitatur. Laetatur quidem auctus animo ut de re grata, invitatur vero ad maius incrementum inde capiendum, ex laude ea maiorem impulsum accipiens. ‚Quarum enim rerum', inquit magister, ‚laudes novi, earum quoque haud dubie incrementa explorata habeo', hoc est, Quarum rerum laudes novi, etiam hominum qui eas accipiunt manifesto ad virtutem incrementa novi. Omnium igitur rerum videlicet

Digitized by Google

τῶν πραγμάτων πάντων δηλονότι τῶν ἐπαινουμένων οὐκ ἔστιν ἐφ' ᾧτινι οὐχὶ πάντως τῶν ἐπ' αὐτοῖς ἡδομένων εὔροις τὴν ἐπαύξησιν· ἢ ἐπειδὴ τρία προθεὶς ὁ διδάσκαλος ἀνωτέρω, ἑαυτὸν, τοὺς λόγους, τοὺς τῆς ἀρετῆς ἐπαινέτας, ἐν τούτοις περιλαβὼν κατὰ ῥήτορας ἐξήπλωσε, τὰς ἐπαγωγὰς τοῖς τρισὶν ἐφαρμόσας, καὶ ἐξ ἑαυτοῦ πρότερον τῆς ἀποδόσεως ἀρξάμενος, εἶτα διὰ μέσων τῶν ἀρετῆς ἐπαινετῶν ἐλθὼν, εἰς τοὺς λόγους αὐτὰς ἐπλήρωσεν, ὡς τῆς κατὰ τὸν ἅγιον Βασίλειον ὑποθέσεως καὶ αὐτῷ πρεπούσης, ὡς διδασκάλῳ, καὶ τοῦ λόγου προβεβλημένῳ,
Cod. f. 261 a. καὶ τοῖς | ἀγαπῶσι τὴν ἀρετὴν, ἤγουν τοῖς αὐτῆς ἐπαινέταις, πεποθημένης, οἷα ποθοῦσι γνῶναι τοὺς τρόπους τῆς διὰ μιμήσεως εἰς ἀρετὴν ἐπιδόσεως, καὶ τοῖς λόγοις αὐτοῖς ἁρμοζούσης, ὡς ἐκφαντορικοῖς τῶν κατ' ἀρετὴν καλῶν. Παντὸς μὲν οὖν ἀνδρὸς βίον ἔχοντος κατὰ θεὸν ἐπαινούμενον, μάλιστα δὲ Βασιλείου τοῦ πάνυ, κἂν τε δυνηθῶσι πᾶσαν περιλαβεῖν, καὶ ὥσπερ εἰκόνα ζῶσαν καὶ ἔμψυχον ὑποδεῖξαι τοῖς ἐρασταῖς τὴν τοῦ ἀνδρὸς ἀρετὴν, κἂν τε μὴ δυνηθῶσι τοῦ ταύτης ἐφικέσθαι μεγέθους, ἐπ' οὐδενὸς οὖν οὐκ ἔστι τῶν ἁπάντων, καὶ λόγου καὶ λέγοντος καὶ ἀκούοντος, ἐφ' ᾧτινι τὸ τῆς ὑποθέσεως καλὸν οὐχ ἁρμόσει, ἢ καθὼς ἀνωτέρω ἀκριβέστερον μᾶλλον ἐξήτασται.

Greg. Nazianz. Praecepta ad Virg. v. 580, p. 372. tom II. Opp. edit. Bened. Τοῦ αὐτοῦ ἐκ τῶν Ἐπῶν, εἰς τὸ, *Παίζει γὰρ λόγος αἰπὺς ἐν εἴδεσι παντοδαποῖσι*, [1] Κρίνας, ὡς [2] ἐθέλοι, κόσμον [3] ἑὸν ἔνθα καὶ ἔνθα.

Ps. m. 42. 7. Ἡνίκα τὸν νοῦν ὡς διὰ κλείθρων τινῶν τῶν φαινομένων ὁ μέγας Δαβὶδ κατὰ μόνην πίστιν ἐν πνεύματι πρὸς τὰ νοητὰ διελάσας ἐδέξατό τινα παρὰ τῆς θείας σοφίας τῶν ἐφικτῶν ἀνθρώποις μυστηρίων ἔμφασιν, τότε, καθάπερ οἶμαι, φησὶν, Ἄβυσσος ἄβυσσον ἐπικαλεῖται εἰς φωνὴν τῶν καταῤῥακτῶν σου· τούτοις τυχὸν ἐνδεικνύμενος, ὅτι πᾶς νοῦς θεωρητικὸς, διά τε τὸ κατὰ φύσιν ἀόρατον καὶ τὸ βάθος καὶ πλῆθος τῶν νοημάτων ἀβύσσῳ παρεοικὼς, ἐπειδὰν τῶν φαινομένων διαβὰς πᾶσαν τὴν διακόσμησιν, καὶ εἰς τὴν τῶν νοητῶν χώραν γενόμενος, καὶ τούτων πάλιν κατὰ πίστιν τῷ σφοδρῷ τῆς κινήσεως ὑπερβὰς τὴν εὐπρέπειαν, ἐφ' ἑαυτὸν στῇ, πεπηγὼς παντάπασι καὶ ἀκίνητος, διὰ τὴν πάντων διάβασιν, τηνικαῦτα τὴν θείαν δεόντως ἐπικαλεῖται σοφίαν, τὴν
Cod. f. 261 b. ὄντως τε καὶ ἀληθῶς | κατὰ τὴν γνῶσιν ἀδιεξίτητον ἄβυσσον, φωνὴν αὐτῷ δοῦναι τῶν θείων καταῤῥακτῶν, ἀλλ' οὐκ αὐτοὺς τοὺς καταῤῥάκτας, ὅπερ ἐστὶν ἔμφασίν τινα πίστεως γνωστικὴν τῶν περὶ τὸ πᾶν τῆς θείας προνοίας τρόπων τε καὶ λόγων αἰτῶν ὑποδέξασθαι, δι' ἧς μνησθῆναι δυνήσεται τοῦ θεοῦ ἐκ γῆς Ἰορδάνου καὶ Ἑρμονιείμ, ἐν ᾗ τῆς θείας

1. Caillau ed. *Κιρνὰς*. 2. Caillau *ἐθέλει*, quod tertio loco et infra apud Maximum extat, sed altero item *ἐθέλοι*.

Digitized by Google

laudibus ornatarum nulla est omnino de qua non eorum qui iis laetantur incrementum invenias; vel cum in superioribus magister tria proposuisset, semetipsum, sermones, virtutis laudatores, in his complexus oratorum more explicuit, inductionibus ad ista tria accomodatis, de semetipso prius enarrare incipiens, deinde per medios virtutis laudatores percurrens, in sermones illas consummavit; cum argumentum ad sanctum Basilium accomodatum et ipsi conveniret, ut magistro, et sermonis proposito, et amatoribus virtutis, vel laudatoribus eius, desideratum, qua nosse desiderant incrementi in virtutem per imitationem capti modos, ipsisque sermonibus consentaneum, utpote praestantiarum virtutis commendatoribus. Enimvero cuiuslibet hominis vita secundum deum laudabili ornati, inprimis vero Basilii egregii illius, sive omnem complecti potuerint, et tanquam vivam et animatam virtutis amatoribus subicere imaginem, sive non potuerint ad huius magnitudinem penetrare, in nulla igitur re ex omnibus, et sermone et loquente et audiente, aliter accidit quin argumenti ornamentum convenienter participet, vel ut paulo supra accuratius quaesitum est.

## Eiusdem ex carminibus, in illud, ‚Ludit enim summa ratio omnimodis figuris, Discernens qualibet mundum suum hinc et illinc.

Quando mente veluti per ianuas quasdam eorum quae videntur ad intellectualia traiecta sola fide in spiritu magnus David a divina sapientia quandam mysteriorum quae quidem hominibus attingere licet interpretationem accepit, tum, puto, ait, ‚Abyssus abyssum invocat in vocem catarractarum tuarum': his fortasse significans omnem mentem contemplativam, eo quod naturaliter invisibilis sit et ob profunditatem et multitudinem cogitationum abysso similem, postquam universam earum quae videntur rerum constitutionem et ordinem traiecerit et in intellectualium regionem pervenerit, horumque decorem secundum fidem rursus motus vehementia superaverit, iamque in se ipsa stet, fixa prorsus atque immobilis, ob cuncta traiecta, tum divinam necessario invocare sapientiam, abyssum quae revera non possit cognitione transcurri, ut sibi divinarum catarractarum vocem dare velit, non vero ipsas catarractas, quod est significationem quandam fidei qua divinae circa universum providentiae modos et rationes noscamus precibus impetrare, qua dei meminisse queamus ex terra Iordanis et Hermonim, in qua divinae dei Sermonis ad

3. ὅλον edidit Caillau. Cum Maximo faciunt cod. Reg. 903. et Coisl. apud editorem novissimum.

Digitized by Google

πρὸς ἀνθρώπους τοῦ θεοῦ λόγου συγκαταβάσεως τὸ μέγα καὶ φρικτὸν διὰ σαρκὸς ἐτελέσθη μυστήριον, ἐν ᾧ τῆς εἰς θεὸν εὐσεβείας ἐδωρήθη τοῖς ἀνθρώποις τὸ ἀληθὲς, ὅπερ διὰ τὸ πᾶσαν ἐκβεβηκέναι φύσεως τάξιν καὶ δύναμιν. τῷ μὲν θείῳ καὶ τῆς θείας μύστι τε καὶ μυσταγωγῷ κρυφιογνώστου σοφίας Παύλῳ τῷ μεγάλῳ ἀποστόλῳ μωρία ὠνομάσθη θεοῦ καὶ ἀσθένεια, διὰ τὴν ὑπερβάλλουσαν οἶμαι σοφίαν καὶ δύναμιν. τῷ δὲ θεόφρονι μεγάλῳ Γρηγορίῳ παίγνιον προσηγορεύθη, διὰ τὴν
1 Corinth 1. 25. ὑπερβάλλουσαν φρόνησιν. Ὁ μὲν γάρ φησι, Τὸ μωρὸν τοῦ θεοῦ σοφώτερον τῶν ἀνθρώπων ἐστὶ, καὶ τὸ ἀσθενὲς τοῦ θεοῦ ἰσχυρότερον τῶν ἀνθρώπων ἐστί· ὁ δὲ, Παίζει γὰρ λόγος αἰπὺς ἐν εἴδεσι παντοδαποῖσι, Κρίνας ὡς ἐθέλοι κόσμον ἑὸν ἔνθα καὶ ἔνθα· ἑκάτερος τῇ στερήσει τῶν παρ' ἡμῖν κρατίστων θέσεων τὴν θείαν ἐνδεικνύμενος ἕξιν, καὶ ταῖς ἀποφάσεσι τῶν ἡμετέρων ποιούμενος τὴν τῶν θείων κατάφασιν. Μωρία γὰρ παρ' ἡμῖν καὶ ἀσθένεια καὶ παίγνιον στερήσεις εἰσὶν, ἡ μὲν σοφίας, ἡ δὲ δυνάμεως, ἡ δὲ φρονήσεως, ἐπὶ θεοῦ δὲ λεγόμεναι σοφίας καὶ δυνάμεως καὶ φρονήσεως ὑπερβολὴν σαφῶς ὑποδηλοῦσιν. Εἴ τι οὖν παρ' ἡμῖν κατὰ στέρησιν λέγοιτο, ἐπὶ θεοῦ λεγόμενον ἕξιν ὑποδηλοῦν πάντως ἐκδέχεσθαι δίκαιον, καὶ τὸ ἔμπαλιν, εἴ τι κατὰ ἕξιν
Cod. f. 262 r. ἐφ' ἡμῶν λέγοιτο, | ἐπὶ θεοῦ στέρησιν διὰ τὴν ὑπεροχὴν ἐκδέχεσθαι δηλοῦν πρεπωδέστατον. Αἱ γὰρ τῶν θείων ὑπερβολαὶ καὶ κατὰ στέρησιν δι' ἀντιφάσεως λεγόμεναι παρ' ἡμῶν ἀποδέουσι πολὺ τῆς ἀληθοῦς καθ' ὃν εἰσι λόγον ἐμφάσεως. Εἰ δὲ τοῦτο κατὰ τὸν εἰκότα λόγον ἐστὶν ἀληθὲς (οὐ γὰρ συμβαίνει πώποτε τὰ θεῖα τοῖς ἀνθρωπίνοις), ἄρα μωρία θεοῦ καὶ ἀσθένεια κατὰ τὸν ἅγιον ἀπόστολον Παῦλον, καὶ παίγνιον θεοῦ κατὰ Γρηγόριον τὸν θαυμαστὸν καὶ μέγαν διδάσκαλον, τὸ μυστήριόν ἐστι τῆς θείας ἐνανθρωπήσεως, ὡς πάσης φύσεως δυνάμεώς τε καὶ ἐνεργείας πᾶσαν ὑπερουσίως ἐκβεβηκὸς τάξιν καὶ ἁρμονίαν, ὅπερ πνεύματι θείῳ πόρρωθεν κατὰ νοῦν θεασάμενος καὶ μυηθεὶς ὁ θειότατος Δαβὶδ, καὶ οἷον τὴν τοῦ ἀποστόλου λεγομένην διὰ στερήσεως ὑπερβάλλουσαν ἕξιν τοῦ θεοῦ προερμηνεύων, Ἰουδαίων, σαφῶς οἶμαι, καταβοῶν, Ἐν τῷ πλήθει τῆς δυνάμεώς σου
Psalm. 66, 3. ψεύσονταί σε οἱ ἐχθροί σου. Πᾶς γὰρ ἄνθρωπος ἐχθρὸς πάντως τοῦ θεοῦ καὶ ψεύστης προδήλως καθίσταται ὁ τὸν θεὸν τῷ νόμῳ τῆς φύσεως ἀμαθῶς τε καὶ ἀσεβῶς περικλείων, καὶ ἀπαθῶς ὑπὲρ φύσιν ἐν τοῖς ὑπὸ φύσιν οὐσιωδῶς γενόμενον τὰ κατὰ φύσιν ὡς πάντα δυνάμενον ἐνεργῆσαι πιστεύειν μὴ ἀρχόμενος. Οὕτω μὲν οὖν κατὰ μίαν ἐπιβολὴν τέως θεωρῆσαι τὸ μωρὸν τοῦ θεοῦ καὶ τὸ ἀσθενὲς καὶ παίγνιον, στοχαστικῶς ὁ λόγος ἐτόλμησε, μεθ' ὧν παρεκβατικῶς, ὡς προθεωρίαν παραδειγματικὴν τοῦ προτεθέντος ἀπόρου, καὶ τὴν ἄβυσσον τὴν ἐπικαλουμένην τὴν ἄβυσσον εἰς φωνὴν τῶν θείων καταῤῥακτῶν λαβὼν ὁ λόγος νοῦν γνωστικὸν εἶναι σοφίαν

Digitized by Google

homines condescensionis magnum et horrendum per carnem est consummatum mysterium, in quo vera hominibus erga deum pietas donata est, quae cum omnem naturae ordinem ac potestatem exsuperarit, a divino atque divinae sapientiae sacerdote et doctore occultorum interprete Paulo, magno apostolo, Stultitia dei et infirmitas, ob superabundantem, puto, sapientiam ac virtutem, a magno contra ac divino Gregorio Lusus appellata est, ob superabundantem prudentiam. Ille enim, ‚Dei stultum', inquit, ‚sapientius hominibus, et infirmum dei fortius est hominibus': hic contra ait, ‚Ludit enim summa ratio in omnimodis figuris, discernens qualibet mundum suum hinc et illinc'; uterque fortissimas quibus nos utimur, positiones negando divinum habitum demonstrans, nostrorumque negationibus divina affirmans. Stultitia enim et infirmitas et lusus apud nos privationes sunt, una quidem sapientiae, altera fortitudinis, tertia prudentiae, sed de deo usurpatae eaedem sapientiae et fortitudinis et prudentiae superabundantiam clare significant. Quod si quid apud nos privative dicitur, de deo usurpatum idem habitus significationem habere iure interpretabimur, ac rursus, si quid secundum habitum de nobis dicitur, id de deo usurpatum ob eminentiam admittere privationem docere maxime consentaneum erit. Divinorum enim exsuperantiae, et privative per contradictionem apud nos dictae, a vero secundum quam sint rationem significatu multum absunt. Quod si, uti videtur, verum est (nusquam enim divina congruunt cum humanis), ergo stultitia dei et infirmitas secundum sanctum apostolum Paulum, et lusus dei secundum admirandum et magnum doctorem Gregorium, divinae incarnationis mysterium est, ut quod omnis naturae et potestatis et virtutis omnem ordinem congruentiamque supernaturaliter egressum est, quod quidem divino spiritu procul contemplatus mente et initiatus David, ac veluti praevius interpres dei habitus superabundantis ab apostolo per privationem indicati, de ludaeis, clare puto, vociferans, ‚In multitudine', inquit, ‚fortitudinis tuae mentientur tibi inimici tui.' Nullus enim homo non dei aperte hostis et infitiator evadit qui lege naturae inscienter et impie deum includit, et eum qui sine ullo affectu in rebus naturae subiectis essentialiter naturam supergressus est, naturalia, cum omnia posset, egisse credendi non initium facit. Sic igitur secundum unum interpretandi modum dei stultitiam et infirmitatem et lusum spectasse de coniectura sermo ausus est, cum quibus per digressionem, tanquam praeviam contemplationem propositae quaestionis exemplarem, abyssum quoque abyssum invocantem in vocem divinarum catarractarum sermo hanc mentem gnosticam esse, sapientiam invocantem, interpretatus exilem quandam myste-

Digitized by Google

ἐπικαλούμενον δέξασθαι, μικράν τινα τῶν ἐπὶ τῇ θείᾳ καὶ ἀφράστῳ συγκαταβάσει μυστηρίων ἔμφασιν παρεδήλωσεν. Ἄβυσσος γὰρ καὶ ὁ τῆς ἀβύσσου τόπος ὁμωνύμως ὀνομάζεται. τόπος δὲ τῆς θείας σοφίας, ὁ καθαρὸς καθέστηκε νοῦς. Ἆρα θέσει διὰ τὸ δεκτικὸν ἄβυσσος καὶ ὁ νοῦς προσαγορεύεται,
Cod. f. 202 b. καὶ ἡ | σοφία πάλιν τὸ αὐτὸ διὰ τὴν φύσιν κατονομάζεται.

## Ἄλλη θεωρία εἰς τὸ αὐτό.

Καθ' ἕτερον δὲ τὸ προκείμενον ἄπορον διασκοποῦντες, τρόπον τῇ βοηθείᾳ τῆς θείας χάριτος στοχαστικῶς, ἀλλ' οὐκ ἀποφαντικῶς (τὸ μὲν γὰρ μέτριον, τὸ δὲ προπετὲς), ἐγχειρεῖν τῷ προκειμένῳ ῥητῷ τολμῶμεν, φάσκοντες τὴν τῶν μέσων τυχὸν προβολὴν, κατὰ τὸ ἴσον ἀπὸ τῶν ἄκρων ἔχουσαν ἀπόστασιν, παίγνιον εἰρῆσθαι θεοῦ τῷ μεγάλῳ διδασκάλῳ, διὰ τὴν ἐπίῤῥυτον αὐτῶν καὶ εὐαλλοίωτον στάσιν, μᾶλλον δὲ, στάσιμον ῥεῦσιν εἰπεῖν οἰκειότερον. Ὃ καὶ παράδοξον, στάσιν ἀεὶ ῥέουσαν καὶ φερομένην θεᾶσθαι, καὶ ῥεῦσιν ἀεικίνητον προνοητικῶς τῆς τῶν οἰκονομουμένων ἕνεκεν βελτιώσεως θεόθεν ἐπινενοημένην, τοὺς δι' αὐτῆς παιδαγωγουμένους σοφίσαι δυναμένην, ἀλλαχοῦ μεταστήσεσθαι πάντως ἐλπίζειν, καὶ πέρας τοῦ κατ' αὐτὴν ἐπ' αὐτοῖς μυστηρίου τῇ τρὸς θεὸν νεύσει βεβαίως διὰ τῆς χάριτος θεωθήσεσθαι πιστεύειν. Μέσα δὲ λέγω τὴν τῶν ὁρωμένων καὶ νῶν περὶ τὸν ἄνθρωπον ὄντων ἢ ἐν οἷς ὁ ἄνθρωπος συμπλήρωσιν, ἄκρα δὲ τὴν τῶν μὴ φαινομένων καὶ περὶ τὸν ἄνθρωπον ἀψευδῶς ἔσεσθαι μελλόντων ὑπόστασιν, τῶν κυρίως τε καὶ ἀληθῶς κατὰ τὸν ἄῤῥητον καὶ προηγούμενον σκοπόν τε καὶ λόγον τῆς θείας ἀγαθότητος πεποιημένων τε καὶ γεγενημένων. Καθὼς ὁ σο-
Eccl. 1, 9. φὸς Ἐκκλησιαστὴς μεγάλῳ τε καὶ τρανῷ ψυχῆς ὄμματι τῶν ὁρωμένων τε καὶ ῥεόντων ὑπερκύψας τὴν γένεσιν, καὶ οἷον ἐν φαντασίᾳ τῶν ἀληθῶς πεποιημένων τε καὶ γεγενημένων γενόμενος, Τί τὸ γεγενημένον; αὐτὸ τὸ γενησόμενον· καὶ τί τὸ πεποιημένον; αὐτὸ, φησὶ, τὸ ποιηθησόμενον· τῶν πρώτων δηλαδὴ καὶ τῶν τελευταίων ἐπιμνησθεὶς, ὡς τῶν αὐτῶν ὄντων καὶ ἀληθῶς ὄντων, τῶν δὲ μέσων καὶ παρερχομένων οὐδόλως κατὰ τὸν τόπον μνησθείς. Μετὰ γὰρ τὸ ἐξελθεῖν,
Cod. f. 203 a. ὡς οἱόντε ἦν μεγαλοφυῶς | μάλιστα τὸν διδάσκαλον, περί τινος φύσεως ζώων καὶ λίθων, καὶ ἁπλῶς εἰπεῖν ἀορίστως περὶ πολλῶν τῶν ἐν τοῖς οὖσι θεωρουμένων, ἐπιφέρει τούτοις, Παίζει γὰρ λόγος αἰπὺς ἐν εἴδεσι παντοδαποῖσι. Κρίνας ὡς [1] ἐθέλει κόσμον ἐὸν ἔνθα καὶ ἔνθα. Μήποτε
Greg. Naz. Or. in Pentecost. cap. 12., p. 741. tom. I. Opp. ed. Bened. οὖν καθὼς αὐτὸς ἐν τῷ τῆς ἁγίας Πεντεκοστῆς λόγῳ φησὶ περὶ θεότητος διεξιὼν καὶ κτιστῆς φύσεως, Ἕως ἑκάτερον ἐπὶ τῆς ἰδίας μένει, τὸ μὲν περιωπῆς, τὸ δὲ ταπεινώσεως, ἄμικτος ἡ ἀγαθότης καὶ τὸ φιλάνθρωπον ἀκοινώνητον, καὶ

1. Sic cod. Gud. h. l.

Digitized by Google

riorum quae insint in divina et ineffabili condescensione significationem edidit. Abyssus enim et abyssi locus communi nomine appellatur, locus vero divinae sapientiae pura mens est. Itaque cum ad recipiendum apta est abyssus positive et mens, et sapientia rursus eadem propter suam naturam appellatur.

## Altera in idem contemplatio.

Alio autem propositam quaestionem examinare modo cum dei gratia, coniecturaliter, non affirmate (hoc enim modestum, illud protervum est), praesenti sermone aggredi audemus, statuentes mediorum fortasse prominentiam, aequabilem habentem ab extremitatibus distantiam, lusum dei a magno doctore esse dictam, ob fluctuantem eorum et mutabilem stationem, vel potius, quod magis proprie est, dicendum, ob stabilem fluctuationem. Id quod etiam mirum est, stationem videre semper fluctuantem et labentem, et fluctuationem semper mobilem, provide eorum emendandorum gratia divinitus excogitatam quae administrantur, quae erudire eruditosque ad sapientiam deducere posset, ut spem suam alibi collocandam transferrent, atque in fine eius in ipsis mysterii ad deum inclinando firmiter se per gratiam deificatum iri crederent. Media autem dico eorum quae vel nunc hominem comitari videntur, vel in quibus homo est, consummationem, extremitates contra eorum quae non videntur nec apparent quaeque certissime olim comitatura sunt hominem substantiam, quae proprie ac vere secundum ineffabilem et principalem finem et rationem divinae bonitatis instituta atque facta sunt. Quemadmodum sapiens Ecclesiastes magnum et clarum animae oculum in eorum quae videntur et fluctuant generationem convertens, et quasi in visione eorum quae vere sunt condita atque facta constitutus ait, ‚Quid est quod fuit? Ipsum quod futurum est', et, ‚Quid est quod factum est? Ipsum quod fiet': eorum videlicet memor quae in principio quaeque in fine sunt, ut quae eadem sint et revera sint, cum eorum contra quae in medio sunt et praetereunt nullo ibi modo meminerit. Postquam enim magister, quod ipse praesertim egregie poterat, de peculiari quadam animalium et lapidum natura, ac simpliciter de multis infinite quae in rebus existentibus observantur disputavit, his addit, ‚Ludit enim summa ratio in formis omnimodis, Discernens qualibet mundum suum hinc et illinc.' Nonne igitur similiter atque ipse in sermone sacrae Pentecostes, de deo et condita natura disserens, ait, ‚Quamdiu uterque in propriis manserit, deus scilicet in sua specula, et homo in humilitate sua, nec bonitas miscebitur, nec benignitas communicabitur,

Digitized by Google

χάσμα μέγα ἐν μέσῳ καὶ ἀδιάβατον, οὐ τὸν πλούσιον τοῦ Λαζάρου καὶ τῶν ὀρεκτῶν τοῦ Ἀβραὰμ κόλπων διεῖργον. πᾶσαν δὲ τὴν γενητὴν φύσιν καὶ ῥέουσαν τῆς ἀγενήτου καὶ ἑστηκυίας; Ὡι παρεμφερῆ τε καὶ ὅμοια καὶ ὁ θεηγόρος μέγας διεξέρχεται Διονύσιος ὁ Ἀρεοπαγίτης φάσκων, Τολμητέον δὲ καὶ τοῦτο ὑπὲρ ἀληθείας εἰπεῖν, ὅτι καὶ αὐτὸς ὁ πάντων αἴτιος τῷ καλῷ καὶ ἀγαθῷ τῶν πάντων ἔρωτι δι' ὑπερβολὴν τῆς ἐρωτικῆς ἀγαθότητος ἐξω ἑαυτοῦ γίνεται. ταῖς εἰς τὰ ὄντα πάντα προνοίαις, καὶ οἷον ἀγαθότητι καὶ ἀγαπήσει καὶ ἔρωτι θέλγεται, καὶ ἐκ τοῦ ὑπὲρ πάντα καὶ πάντα καὶ πάντων ἐξῃρημένου πρὸς τὸ ἐν πᾶσι κατάγεται, κατ' ἐκστατικὴν ὑπερούσιον δύναμιν ἀνεκφοίτητον ἑαυτοῦ. Μήπως οὖν, καθὼς ἔφην, κἀκ τούτων τὸν περὶ τοῦ, Παίζει γὰρ λόγος αἰπὺς, ἐπιτόμως ἀποδοθέντα τρόπον ἐξαπλῶσαι κατὰ διάνοιαν τοιαύτην ἡμῖν ἐστι δυνατὸν φάσκουσιν, Ὥςπερ οἱ γονεῖς (ἵνα τοῖς καθ' ἡμᾶς παραδείγμασι χρήσωμαι εἰς τὴν τῶν ὑπὲρ ἡμᾶς πραγμάτων ὑπογραφὴν), ἀφορμὰς τοῖς τέκνοις παρέχοντες τὴν [2] νωθεῖαν ἀποσείσασθαι συγκαταβάσεως τρόπῳ, δοκοῦσι κατὰ συμπεριφορὰν παιδικὰ παίγνια μετιέναι, ὡς φέρε εἰπεῖν καρυατίζειν, καὶ ἀστραγάλοις μεῖ' αὐτῶν συμπεριφέρεσθαι, ἢ καὶ ἄνθη πολύχροα τούτοις παρατιθέντες, καὶ | πολυβαφεῖς ἐσθῆτας τῶν αἰσθήσεων θελκτηρίους, ἀπῆγον ἢ κατέπληττον, ὡς τῶν παίδων ἑτέραν τέως ἐργασίαν οὐκ ἐχόντων, μετὰ βραχὺ δὲ καὶ παιδευτηρίοις αὐτοὺς τῶν γονέων παραδιδόντων, εἶτα καὶ λόγου τελεωτέρου καὶ πραγμάτων ἰδίων μεταδιδόντων, οὕτω τυχὸν καὶ τὸν ἐπὶ πάντων θεόν φησι διὰ τῶν εἰρημένων ὁ διδάσκαλος διὰ τῆς τέως ἱστοριώδους τῶν φαινομένων κτισμάτων φύσεως εἰς ἔκπληξιν ἢ καὶ ἀπαγωγὴν διὰ τῆς αὐτῶν θέας καὶ γνώσεως νῦν ἡμᾶς οἷα κομιδῇ παῖδας ἐμβάλλοντα, ἔπειτα καὶ τὴν τῶν ἐν αὐτοῖς πνευματικωτέρων λόγων θεωρίαν ἐνιέντα, καὶ τελευταῖον ἐπὶ τὴν ἑαυτοῦ καθὼς ἐστιν ἐφικτὸν διὰ θεολογίας μυστικωτέραν γνῶσιν ἀνάγοντα, τὴν πάσης τῆς ἐν εἴδει καὶ ποιῷ καὶ σχήματι καὶ ποσῷ, τῷ ἐν πλήθει τε καὶ ὄγκῳ παντάπασι καθαρεύουσαν, ποικιλίας τε καὶ συνθέσεως ἐν τοῖς προπαιδεύμασιν, ὡς πρὸς τὸ τέρμα τῆς θεωρίας, παίζειν εἴρηται τῷ θεοφόρῳ Γρηγορίῳ, καὶ τῷ θεοφόρῳ Διονυσίῳ θέλγεσθαί τε καὶ ἐξίστασθαι ἑαυτοῦ.

Dionys. Areopag. de Divin. Nomin. cap. 4. §. 13. p. 405. tom. I. Opp. ed. Ven.

Cod. f. 263 b.

Τῷ ὄντι γὰρ ἐκ παραλλήλου κατὰ παράθεσιν θεωρούμενα πρὸς τὰ κυρίως καὶ ἀληθῶς ὄντα, καὶ ἐς ὕστερον φανησόμενα, τὰ παρόντα καὶ φαινόμενα καὶ παίγνιον εἶναι δοκεῖ, καὶ ἔτι τούτου ποῤῥωτέρω. Πρὸς γὰρ τὴν τῶν κυρίως θείων καὶ πρωτοτύπων πραγμάτων ἀληθειαν συγκρινομένη τῶν παρόντων καὶ ὁρωμένων πραγμάτων ἡ διακόσμησις οὐδὲ τὸ παράπαν εἶναι νομισθήσεται τοῖς ὅλον χωρεῖν κατὰ τὸ δυνατὸν τὸ τῆς θείας ὡραιότητος κάλλος ἀξιουμένοις, ὥςπερ

Digitized by Google

sed erit magnus et non permeabilis hiatus interiectus, non divitem a Lazaro et expetito Abrahae sinu dirimens, verum procreatam et fluxam naturam ab increata et stabili'? His consentanea atque similia magnus dei praeco persequitur Dionysius Areopagita, dicens, ‚Nam audendum est hoc etiam de veritate dicere, quod ipsemet omnium rerum fons et causa pulchro et bono cunctorum amore, propter excessum bonitatis amantissimae extra se existit per rerum omnium providentias, et quasi delectatur eiusmodi bonitate et caritate et amore, et, cum sit supra omnia et omnia* et ex omnibus exemptus, ad universale deducitur, secundum ecstaticam supernaturalem, quae seipsum haud deserat, virtutem.' Fortasse igitur, ut dixi, meam illius, ‚Ludit enim ratio summa', quam paucis exposui rationem ex his quoque et in hanc sententiam interpretari nobis liceat, uti dicamus: Sicut parentes (ut nostrae vitae exemplis utar ad res quae superant nos delineandas), pueris pigritiam excutere studentes condescensionis modo sese accommodant et puerilia ludicra sequi videntur, veluti fac nucibus et talis ludere cum eis morigerantes, vel etiam flores colorum varietate distinctos et vestes variis coloribus tinctas, quae sensus mulceant, proponentes, primum avocant aut obstupefaciunt pueros, alio opere nondum occupatos, paulo post vero ludo litterario ipsisque disciplinam graviorem tradunt, et propriis negotiis imbuunt: sic fortasse etiam rerum universarum deum verbis istis magister per rerum creatarum quae apparent nobis veluti historialem interim naturam nos, nunc veluti maxime pueros, in obstupefactionem vel etiam avocationem conspectu nimirum earum et cognitione inicientem, deinde etiam spiritualiorum in eis rationum contemplationem immittentem, postremo ad sui cognitionem magis mysticam, quantam attingere nobis liceat, quae ab omni in forma et qualitate et specie et quantitate tam multitudinis quam molis plane pura est per theologiam deducentem, in varietatis atque compositionis tanquam primis disciplinae elementis in finem contemplationis, ‚ludere', ut ab divino Gregorio dictum est, et ab divino Dionysio, ‚delectari' et ‚extra se existere.'

Revera enim res praesentes et visui obiectae iuxta ea quae proprie ac vere sunt, quâeque in futuro apparebunt, collocata atque comparata ludus puerilis, quin hoc etiam ultra esse videtur. Nam cum veritate rerum proprie divinarum atque originalium comparatus rerum praesentium atque oculis obiectarum ordo ne esse quidem ullo modo eis videbitur qui totam pro facultatis suae gradu divinae pulchritudinis decorem capere meruerunt, sicuti nec puerilis omnino

2. Sic cod. Ged.



Digitized by Google

οὐδὲ τὸ παίγνιον ἀληθινῷ τινι καὶ ὄντι πράγματι συγκρινόμενον εἶναι καθάπαξ νομίζεται.

## Ἄλλη θεωρία εἰς τὸ αὐτό.

Τυχὸν δὲ καὶ τὸ μεταπτωτικὸν ὧν ἐγχειρίζομεν ὑλικῶν πραγμάτων ἄλλην ἄλλως μεταφερόντων τε καὶ μεταφερομένων,
Cod. f. 264 a. καὶ μηδεμίαν | βάσιν ἐχόντων στερέμνιον, πλὴν τοῦ πρώτου λόγου καθ' ὃν φέρονται σοφῶς τε καὶ προνοητικῶς καὶ φέρουσι, καὶ τῷ κρατεῖσθαι ὑφ' ἡμῶν νομίζεσθαι, διαφευγόντων πλέον ἢ κρατουμένων, καὶ τὴν ἔφεσιν ἡμῶν τῶν αὐτοῖς ἀνεχομένων κρατεῖσθαι, μᾶλλον ἑαυτῶν οἷον ἀπωθουμένων. καὶ κρατεῖν ἢ κρατεῖσθαι παντελῶς μὴ δυναμένων, οἷα δὴ μόνον σταθηρὸν τῆς ἑαυτῶν φύσεως ὅρον κεκτημένων τὸ ἀποῤῥεῖν καὶ μὴ ἵστασθαι, παίγνιον εἰκότως ἐῤῥέθη θεοῦ τῷ διδασκάλῳ, ὡς διὰ τούτων μετάχοντος ἡμᾶς ἐπὶ τὰ ὄντως ὄντα, καὶ μηδέποτε σαλευόμενα.

## Ἄλλη θεωρία εἰς τὸ αὐτό.

Εἰ δὲ καὶ ἡμεῖς αὐτοὶ, κατὰ τὴν κρατοῦσαν ἐπὶ τοῦ παρόντος τῆς φύσεως ἡμῶν ἀκολουθίαν, νῦν μὲν καθ' ὁμοιότητα τῶν λοιπῶν ἐπὶ γῆς ζώων γεννώμενοι, ἔπειτα παῖδες γινόμενοι, εἶτα ἄνθους ὠκυμόρου δίκην τῆς νεότητος ἐπὶ τὸ ῥικνὸν τῆς παλαιότητος φθασάσης τεθνηξόμενοι, καὶ πρὸς ἕτερον βίον μετατιθέμενοι, παίγνιον ἐρήθημεν τοῦ θεοῦ τῷ θεοφόρῳ τούτῳ διδασκάλῳ, οὐκ ἔξω τοῦ εἰκότος. Πρὸς γὰρ τὴν μέλλουσαν τῆς θείας καὶ ἀληθοῦς ζωῆς ἀρχετυπίαν ἡ παροῦσα συγκρινομένη ζωὴ παιγνίων ἐστι, καὶ πᾶν εἴ τι ἄλλο τούτου καθέστηκεν [1] ἀνουσιώτερον. Ὅπερ ἐν τῷ εἰς Καισάριον
Greg. Naz. Or. Funebr. in Caesarium cap. 19. p. 210 sq. tom. I. Opp. ed. Bened. ἐπιταφίῳ δείκνυσι σαφέστερον, οὕτωσὶ λέγων, Τοιοῦτος ὁ βίος ἡμῶν, ἀδελφοὶ, τῶν ζώντων πρόσκαιρα· τοιοῦτο τὸ ἐπὶ γῆς παίγνιον· οὐκ ὄντας γενέσθαι, καὶ γενομένους ἀναλυθῆναι· ὅναρ ἐσμὲν οὐχ ἱστάμενον, φάσμα τι μὴ κρατούμενον, πτῆσις ὀρνέου [2] παρερχομένου, ναῦς ἐπὶ θαλάσσης ἴχνος οὐκ ἔχουσα, κόνις, ἀτμὶς, ἐωθινὴ δρόσος, ἄνθος καιρῷ φυόμενον καὶ καιρῷ λυόμενον, ἄνθρωπος, ὡςεὶ χόρτος αἱ ἡμέραι
Cod. f. 264 b. αὐτοῦ, ὡςεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως | ἐξανθήσει, καλῶς ὁ
Psalm. 102, 15. θεῖος Δαβὶδ περὶ τῆς ἀσθενείας ἡμῶν ἐφιλοσόφησε.

Ταῦτα περὶ ὧν τοῖς θειοτάτοις τοῦ μεγάλου πατρὸς ἡμῶν καὶ διδασκάλου Γρηγορίου λόγοις ἠπορήσατε καὶ εἰπεῖν ἐκελεύσατέ μοι, μακαριώτατοι, κατὰ τὴν ἐμὴν δύναμιν. τῷ ὑμετέρῳ νεύματι δικαίως ὑπείκων ἔφην ἐγὼ στοχαζόμενος, ἀλλ' οὐκ ἀποφαινόμενος. Οὐ γὰρ ἐφικνεῖται τῆς μεγάλης καὶ ὑψηλῆς τοῦ θεοφόρου διδασκάλου διανοίας ὁ ἡμέτερος νοῦς, πολλαῖς ἔτι κατὰ θέλησιν ἀκίσι παθῶν βαλλόμενος,

1. Rescripsi *ἀνουσιώτερον* pro *ἀνοσιώτερον*, quod habet cod. Gud.

Digitized by Google

ludus cum vero aliquo et certo negotio comparatus esse existimatur.

## Alia in idem contemplatio.

Fortasse vero etiam degenerabilis ac mutabilis natura materialium quas committimus rerum alio alias transferentium et translatarum, et stabile firmamentum praeter primam rationem qua sapienter et providenter feruntur et ferunt habentium nullum, atque, cum potiri eis nobis videamur, diffugientium magis quam superatarum, appetitumque nostrum, qui eis potiri instituimus, a se velut repellentium, et superare aut superari plane non capientium, utpote quae solum stabilem suae naturae terminum habent hunc quod effluunt et non stant, ‚ludus puerilis dei' a magistro appellata est recte, ut qui per haec nos ad ea quae vere sunt et nunquam fluctuant transducit.

## Alia in idem contemplatio.

Verum si nos quoque ipsi secundum naturae nostrae impraesentiarum consequentiam, nunc quidem pari cum ceteris terrae animalibus modo generati, dein pueruli facti, tum iuventute nostra ad senectutis rugositatem festinante ad instar caduci floris morituri, et ad aliam vitam translati ‚ludus dei' a divino hoc doctore dicti fuerimus, id merito fuerimus. Nam praesens vita cum futuro vitae divinae ac verae exemplari comparata ludus est, et quodcunque aliud hoc magis essentia ac veritate carebit. Id quod magister in funebri in Caesarium oratione clarius demonstrat hisce verbis: ‚Eiusmodi vita nostra est, fratres, qui fluxam vitam ducimus, eiusmodi in terra ludus, ut cum non simus nascamur, cum nati simus rursum dissolvamur. Insomnium sumus minime consistens, spectrum quoddam quod teneri non potest, avis praetereuntis volatus, navis in mari vestigium non habens, pulvis, vapor, ros matutinus, flos momento nascens, et momento marcescens, homo, sicut foenum dies eius, tanquam flos agri sic efflorebit. Pulchre divus David his verbis de nostra imbecillitate philosophatus est.'

Hi sunt loci in magni nostri patris et doctoris Gregorii sermonibus de quibus quaesivistis, meque, beatissimi, pro virili parte exponere voluistis. Voluntati vestrae, ut par est, oboediens, disserui ego de coniectura magis commendando quam affirmando. Neque enim assequitur neque attingit magnam et sublimem divini doctoris mentem noster intellectus, qui voluntariis adhuc affectuum aculeis pungimur, quorum

2. Manus secunda correxit παρεχομένη.



Digitized by Google

ὧν τοῖς μώλωψι μᾶλλον χαίρει στιζόμενος ἢ χάρισιν ἀρετῶν καθαιρόμενος, διὰ τὴν μακρὰν τοῦ κακοῦ συνήθειαν ἕξιν λαβὼν φιλαμαρτήμονα. Καὶ εἰ μὲν φανῶσιν ὑμῖν τινα λόγον ἔχειν τῆς ὑποθέσεως ἄξιον, καὶ μὴ πάντη τῆς ἀληθείας ἀπολειπόμενον, τῷ θεῷ χάρις, τῷ τὴν χαμαίζηλον (ἵνα καὶ τοῦτο θαυματουργήσῃ) καὶ χαμαιπετῆ διάνοιαν φωτίσαντι, καὶ λόγον σύμμετρον χαρισαμένῳ, πρὸς τὸ χαράξαι τὴν συμμετρίαν τῶν νοηθέντων καὶ ὑμῖν τοῖς ὑποτάξασι καὶ τῇ τῶν εὐχῶν βοηθείᾳ τὸ πᾶν κατορθώσασιν. Εἰ δὲ οὐκ ὀρθῶς ἢ ἀτελῶς καὶ τῆς ἀληθείας ἢ ὁλικῶς ἢ μερικῶς ἀποπεπλάνημαι (τὸν γὰρ μέγαν καὶ θεοφάντορα κἂν τούτῳ σοι προσφέρω Διονύσιον παρακλήτορα), τῆς σῆς ἂν εἴη φιλανθρωπίας ἐπανορθώσασθαι τὸν ἀκουσίως ἀγνοοῦντα, καὶ μεταδοῦναι λόγου τῷ μαθεῖν δεομένῳ, καὶ ἐπαμύναι τῷ μὴ αὐτάρκη δύναμιν ἔχοντι, καὶ ἰάσασθαι τὸν οὐκ ἐθέλοντα ἀῤῥωστεῖν, ἵνα καὶ τοῦτο μετὰ τῶν ἄλλων σου καλῶν, μᾶλλον δὲ πρὸ τῶν ἄλλων, ἀνάθημα τίμιον καὶ πάσης θυσίας αἰδεσιμώτερον ἱερουργήσῃς τῷ θεῷ τὴν φιλανθρωπίαν, τῷ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς παρὰ πάσης δοξαζομένῳ τῆς κτίσεως, καὶ μόνην ἀπαιτοῦντι παρ' ἡμῶν θυσίαν τὴν εἰς ἀλλήλους φιλανθρωπίαν.

Dionys. Areopag. de Divin. Nominib. cap. 13., p. 534. tom. I. Opp. ed. Venet.

Digitized by Google

vulneribus qui sauciatur magis gaudet quam qui virtutum gratiis purgatur, postquam ob multam mali consuetudinem, habitum assumpsit in peccatum proclivem. Atque si argumento suo aliquid dignum habere hae quaestiones vobis videbuntur, et quod non prorsus a veritate alienum sit, deo sit gratia, qui humilem (ut etiam hoc ederet miraculum) et abiectam mentem illuminavit et aptum orationis modulum per gratiam suam suppeditavit, ut quod cogitatis congrueret et consentaneum esset litteris mandaremus in vestrum quoque commodum qui mandatum dedistis et precationum vestrarum auxilio totum opus auspicastis. ‚At etiam si prave et sine fructu a veritate, sive omnino sive ex parte, aberraverim' (magnum enim et divinum in hac quoque causa tibi Dionysium profero consolatorem), ‚tuae sit, precor, humanitatis corrigere eum qui invitus nec sponte sua in ignorantia versatur, et de vestro instruere eum qui instrui et optat et precatur, atque praesidio esse ei cui non sat virium est, et medicinam adferre ei qui aegrotare non vult', ut etiam hoc cum reliquis, vel potius prae reliquis, donarium honorabile, omnique sacrificio venerabilius, deo humanitatem sacrificaveris, qui in caelo et in terra ab omni creatura praedicatur, quique solum a nobis postulat sacrificium humanitatem erga alios.

Digitized by Google

Gebauer - Schwetschke'sche Buchdruckerei in Halle.

Digitized by Google

Im **Pfeffer'schen Verlage** zu **Halle** erschien:

**Ueber den Unterschied zwischen ethischem und naturalistischem Theismus.** Vom Prof. Dr. Fichte. gr. 8. $^1/_3$ Thlr.

**Geschichte der Erziehung, des Unterrichts und der Bildung bei den Griechen, Etruskern und Römern.** Von Dr. Krause. gr. 8. $2^1/_3$ Thlr.

**Altlatinische Chorographie und Städtegeschichte.** Von Dr. Bormann. Mit 1 Karte und 3 Plänen. gr. 8. 2 Thlr.

**Alkibiades,** der Staatsmann und Feldherr. Nach den Quellen dargestellt von Dr. Hertzberg. gr. 8. $1^5/_6$ Thlr.

**Homerische Forschungen.** Von K. W. Osterwald. 1. Theil: Hermes-Odyseus. Mythologische Erklärung der Odyseus-Sage. gr. 8. 1 Thlr.

**Kleinasien und Deutschland.** Reisebriefe und Aufsätze mit Bezugnahme auf die Möglichkeit Deutscher Niederlassungen in Kleinasien. Von Prof. Dr. Ross. Mit Abbild. gr. 8. $1^1/_2$ Thlr.

**Commentatio epigraphica.** Auct. Dr. M. H. E. Meier. Cum 5 tab. 4 maj. $^2/_3$ Thlr.

**Commentatio epigraphica II.** Auct. Dr. M. H. E. Meier. (Inest index Atticorum Archontum Eponymorum qui post Olymp. CXXI. 2. eum magistratum obtinuerunt emendatior et auctior.) Cum 8 tab. 4 maj. $^4/_5$ Thlr.

**Das Theseion und der Tempel des Ares in Athen.** Eine archäolog.-topograph. Abhandlung vom Prof. Dr. Ross. Mit 1 Plane. gr. 8. $^4/_5$ Thlr.

**De rebus Graecorum** inde ab Achaici foederis interitu usque ad Antoninorum aetatem. Auct. Dr. Hertzberg. 8. maj. $^4/_5$ Thlr.

**Ueber die Dionysiaka des Nonnus von Panopolis.** Von Dr. Köhler. gr. 8. $^2/_3$ Thlr.

**(Sachsenspiegel.) Das Sächsische Landrecht** nach der Quedlinburger Pergamenthandschrift herausgegeben (mit Einleitung, Inhaltsübersicht etc.) vom Prof. Dr. Goeschen. Mit einem Facsimile der Handschr. gr. 8. $^2/_3$ Thlr.

**Magistri Ricardi Anglici** ordo judiciarius. Ex codice Duacensi olim Aquicinctino nunc primum editus per Carolum Witte. 4 maj. $1^1/_3$ Thlr.

**Das Jus Postliminii** und **die Fictio Legis Corneliae.** Eine rechtshistorische Abhandlung von Dr. Hase. gr. 8. 1 Thlr.

Digitized by Google

Im **Pfeffersehen Verlage** zu **Halle** erschien:

**Ueber Irrsein und Irrenanstalten.** Für Aerzte und Laien. Von Dr. Laehr. Nebst einer Uebersicht über Deutschlands Irrenwesen und Irrenanstalten. Mit 1 color. Karte. gr. 8. $1^{11}/_{12}$ Thlr.

**Sefelege.** Eine Wahnsinns-Studie vom Geh. Rath Dr. Damerow, (Director der Provinzial-Irrenanstalt zu Halle.) gr. 8. $1^1/_2$ Thlr.

**Geologische Wanderungen** durch Wallis, Vivarais, Velay. Vom Prof. Dr. Girard. Nebst Karten, Profilen und Ansichten. gr. 8. $1^1/_2$ Thlr.

**Gervinus und die Zukunft der Slawen.** Vom Prof. Dr. Volkmuth in Posen. gr. 8. $^3/_5$ Thlr.

(Gegen Gervinus, für die grosse Zukunft der Slawen und die demnächstige Aufgabe Russlands.)

**Friedrich Wilhelm I.** König von Preussen. (Vater Friedrichs d. Gr.) Dargestellt nach den besten Quellen. Von Dr. Förster. 3 starke Bände. gr. 8. (Früher 7 Thlr.) $2^2/_3$ Thlr.

**Die Höfe und Cabinette Europa's** im 18. Jahrhundert. Mit vielen Urkunden. Von Dr. Förster. 3 starke Bände. gr. 8. 1836—39. (Früher $5^3/_4$ Thlr.) $2^1/_3$ Thlr.

**Wallenstein**, als Feldherr und Landesfürst in seinem öffentlichen und Privatleben. Eine Biographie nach des Herzogs eigenhänd. Briefen und aus Acten und Urkunden. Von Dr. Förster. gr. 8. 2 Thlr.

Mittheilungen aus dem Leben der **Herzoge zu Sachsen Meiningen** und deren Beziehung zu Männern der Wissenschaft. Herausgegeben vom Hofrath Bechstein. 8. 1 Thlr. (Prachtausgabe $2^1/_3$ Thlr.)

**Chronik des Petersberges** bei Halle a. d. S. (Augustinerkloster und Grabstätte der Grafen von Wettin.) Vom Pfarrer C. R. Wichmann. Mit Abbild. gr. 8. $^1/_2$ Thlr.

**De Bohemiae condicione** Carolis imperantibus (788—928.) Dissertatio historica, auct. Dr. Duemmler. 8. maj. $^1/_6$ Thlr.

**Shakspeare's Romeo und Julie** im englischen nach den besten Quellen berichtigten Text. Mit krit. u. erläut. Anmerkungen von Prof. Dr. Ulrici. 8. $^2/_3$ Thlr.

**Iwein**, ein keltischer Frühlingsgott. Ein Beitrag zur comparativen Mythologie. Von K. W. Osterwald. gr. 8. $^1/_3$ Thlr.

---

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google